ΒΙΒΛΙΟΘΗΚΗ ΜΑΡΑΣΛΗ

ΛΕΞΙΚΟΝ ΕΡΜΗΝΕΥΤΙΚΟΝ

ΤΩΝ

ΕΝΔΟΞΟΤΑΤΩΝ ΕΛΛΗΝΩΝ ΠΟΙΗΤΩΝ

ΚΑΙ ΣΥΓΓΡΑΦΕΩΝ

ΕΝ Ω ΠΕΡΙΕΧΕΤΑΙ ΕΡΜΗΝΕΙΑ ΜΕΝ ΠΑΣΗΣ ΔΥΣΚΟΛΟΥ ΛΕΞΕΩΣ ΚΑΙ ΦΡΑΣΕΩΣ, ΠΑΣΗΣ ΔΥΣΕΡΜΗΝΕΥΤΟΥ ΣΥΝΤΑΞΕΩΣ, ΚΑΙ ΔΗ ΠΑΝΤΩΝ ΤΩΝ ΔΥΣΚΟΛΩΤΑΤΩΝ ΧΩΡΙΩΝ, ΔΙΑΣΑΦΗΣΙΣ ΔΕ ΔΥΣΧΕΡΕΣΤΑΤΩΝ ΓΡΑΜΜΑΤΙΚΩΝ ΚΑΙ ΣΥΝΤΑΚΤΙΚΩΝ ΖΗΤΗΜΑΤΩΝ, ΕΠΙ ΔΕ ΤΟΥΤΟΙΣ ΠΑΝΤΕΣ ΟΙ ΤΥΠΟΙ ΤΩΝ ΑΝΩΜΑΛΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ

ΥΠΟ

ΓΡΗΓΟΡΙΟΥ Ν. ΒΕΡΝΑΡΔΑΚΗ

ΤΑΚΤΙΚΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΩΝ ΕΛΛ. ΓΡΑΜΜΑΤΩΝ ΕΝ ΤΩ ΕΘΝΙΚΩ ΠΑΝΕΠΙΣΤΗΜΙΩ

«Ἡ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον οὐδὲ κάλλους ἀκρίβειαν· ὁ δ' εἰς τὴν γένεσιν τῷ πόνῳ προδανεισθεὶς χρόνος ἐν τῇ σωτηρίᾳ τοῦ ἔργου τὴν ἰσχὺν ἀποδίδωσιν». Πλουτ. Περικλ. κεφ. 13.



ΕΝ ΑΘΗΝΑΙΣ

ΤΥΠΟΙΣ Π. Δ. ΣΑΚΕΛΛΑΡΙΟΥ

1908

ΤΗι ΙΕΡΑι ΣΚΙΑι

ΤΟΥ

ΑΔΕΛΦΟΥ ΔΗΜΗΤΡΙΟΥ

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Τὰ μὲν ὀνόματα καὶ τὰ ῥήματα καὶ τὰ ἄλλα τὰ οὕτω δὴ μέρη τοῦ λόγου λεγόμενα οἷον ὕλη καὶ σῶμα τῷ λόγῳ περίκειται, τὸν δ᾽ ἐνόντα νοῦν, ὥσπερ ψυχήν τινα, ὁ συμπλέκων καὶ συντάσσων καὶ εἰς ταὐτὸ συνάπτων τὰ τοῦ λόγου μέρη ἐμποιεῖ, ὥσπερ οὖν καὶ τὴν οἰκίαν οὐ λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως ἐρριμμένα ποιοῦσιν, ἀλλ᾽ ὁ ταῦτα συνάπτων καὶ συναρμόζων καὶ συντιθεὶς εἰς τὴν τοῦ ὅλου ἀπεργασίαν. Καὶ τὰ μὲν τοῦ λόγου μέρη ἕκαστα κατά τε τοὺς τύπους καὶ τὴν χρείαν καὶ τὴν δύναμιν καὶ δὴ καὶ κατὰ τὴν ὀρθὴν γραφὴν ῥᾳδίως ἄν τις ἐκμανθάνοι τοῖς τε ὀνομαστικοῖς καὶ γραμματικοῖς βιβλίοις χρώμενος· ἀλλὰ πολλοῦ γε καὶ προσδεῖ τὸν Ἕλληνα λόγον συνιέναι τῷ ταῦτα μόνα ἐπισταμένῳ. Εἰ μὴ γὰρ καὶ τὴν σύνταξιν πάνυ ἀκριβοίης καὶ πολλὴν ἐμπειρίαν ἔχοις, μάτην ἄρα πεπόνηται, ἄλλως τε καὶ καθόλου μὲν ποικίλης, εἴπερ τις ἄλλη, οὔσης τῆς Ελλ. συντάξεως, ἐνιαχοῦ δὲ περιτέχνου καὶ δυσδιεξιτήτου καὶ Δηλίου, τὸ λεγόμενον, κολυμβητοῦ δεομένης. Ἡ δ᾽ ὀρθὴ ἑρμηνεία οὔποτ᾽ ἂν ἐφέποιτο, ὀρθῆς συντάξεως μὴ ὑφηγουμένης. Καὶ μὴν καὶ τῷ τοὺς χρόνους πόρρω ἀφεστάναι πολλὴν ἀσάφειαν καὶ σκότον ἐπικεχύσθαι εἰκὸς εἶναι οὐδεὶς ὃς οὐκ ἂν συνομολογήσειέ μοι. Καὶ ἡ μὲν ὀρθογραφία καὶ ἡ σημασία αὐτῶν τῶν ὀνομάτων, ἐπιπολῆς ὡς τὸ πολὺ οὖσα, εὐχερῶς ἀνευρίσκεται, ἡ δ᾽ ἑρμηνεία ἐν βάθει ἀποκειμένη σκοτεινῷ, δυσπρόσιτος οὖσα καὶ δυστέκμαρτος, χαλεπῶς ἁλίσκεται.

Διὰ ταῦτα οὐ μᾶλλον τῆς τῶν ὀνομάτων ὀρθογραφίας καὶ τῆς τῶν ὀρθῶν τύπων ἀναγραφῆς ἢ τῆς συντάξεως ἐν τῇδε τῇ βίβλῳ ἐμέλησέ μοι, περὶ ἑρμηνείας μάλιστα σκοπουμένῳ, ὡς ἂν ἄριστα γίγνοιτο. Περὶ δὲ ταύτης ὄντος τοῦ λόγου οὐδεὶς ἂν ἀντειπεῖν ἔχοι, ὅτι ἐπὶ πᾶσι τοῖς ἄλλοις καὶ τὰ παλαιὰ σχόλια καὶ τὰ ἄλλα πολυώνυμα ὑπομνήματα πολλοῦ ἄξια ὄντα πολλὴν καὶ τὴν ὠφελίαν, ὡς εἰκός, παρέχεται· τοιαῦτα δ᾽ ἐστὶ καὶ τὰ πρῶτα ἑρμηνευτικὰ βιβλία, ὧν τῇ ἐπικουρίᾳ τε καὶ ἀρωγῇ τὰ Ἑλληνικὰ γράμματα ἀκριβέστερον συνιέναι οἷοί τ᾽ ἐγενόμεθα. Εἰς δὲ τὸν λόγον τοῦτον εἴ τις τὰ παλαιὰ ταῦτα σχόλια ταῖς νῦν οὕτω δὴ λεγομέναις ἐκδόσεσι τῶν Ἑλλήνων ποιητῶν τε καὶ συγγραφέων παραβάλοι καὶ παρεξετάσειε, πάντως τὰ παλαιὰ σχόλια, λέγω δὲ τὰ ἐν τούτοις κράτιστα, κρατήσει καὶ προτερήσει οὐ μόνον διὰ τὴν πολλὴν καὶ ἄλλην χρείαν, ἀλλὰ καὶ ὅτι ταῦτα μὲν ἔστι τε καὶ ἔσται εἰς πολὺν χρόνον, ἐκεῖναι δὲ βραχύ τι ἀνθήσασαι τάχιστα μαραίνονται. Οὐ μὴν ἀλλὰ καὶ τὰ πολλὰ ἑρμηνεύματα τὰ παρὰ Φωτίῳ, Ἡσυχίῳ, Σουΐδᾳ, καὶ τοῖς ἄλλοις, τοῖς οὕτω δὴ λεξικογράφοις καλουμένοις, ὅσον ὠφέλησέ τε καὶ προήγαγε τὰ τῆς ἑρμηνείας, πάντες δήπου ἴσμεν. Αἱ δὲ πολλαχοῦ τῆς λεξικῆς τῆσδε βίβλου σπουδῇ τε καὶ ἐπιμελείᾳ πλεῖσται ὅσαι χρήσεις καὶ φράσεις κατειλεγμέναι οὐ σμικρόν τι συμβαλοῦνται, εὖ οἶδ᾽ ὅτι, τῷ χρησίμως ἀνελίσσειν τε καὶ συνιέναι τὰ ἀρχαῖα συγγράμματα βουλομένῳ.

Ὅτι δὲ τῷ πονήματι τούτῳ ἐπιχειρήσας πᾶσαν μηχανὴν ἐμηχανησάμην, οὐδὲν οὔτε προθυμίας οὔτε σπουδῆς ἐλλιπών, ὥστε, ὅ τι τῇ ἑρμηνείᾳ προσήκοι καὶ συντείνοι, μηδὲν ἀνερεύνητον μηδ᾽ ἀνεξέταστον ἐᾶσαι, αὐτόθεν δῆλον. Ὥσπερ γὰρ ἐν ταμιείῳ τῇ βίβλῳ ταύτῃ πάντα καὶ τὰ παλαιά, ὅσα γε λόγου ἄξια, ὑπομνήματα, καὶ τὰ νεώτερα περισυναγαγόντι καὶ σαφηνίσαντι καταθεῖναι ἔδοξέ μοι, οὕτω δὲ τἀρχαῖα συγγράμματα τοῖς μελετῶσι καὶ σπουδάζουσιν εὐχερέστερα καταμανθάνειν καὶ συνιέναι ἀπεργάσασθαι, ἄλλως τε καὶ φανερὸν ὂν ὅτι, τῷ τἀρχαῖα ὀρθῶς τε καὶ προσηκόντως σπουδαζόμενα ἑρμηνεύεσθαι, πᾶσαι αἱ ἐπιστῆμαι καὶ καθόλου αἱ σπουδαί, αἱ ἐξ ἐκείνων ὁρμώμεναι, πολύ τι ἐπιδώσουσι καὶ προκόψουσιν. Ἀλλὰ μὴν μηδείς με ὑπονοείτω τέλειον τῆς ἀρχαίας Ἑλλ. γλώσσης λεξικὸν συνθεῖναι βουληθῆναι. Ἡ γὰρ τοιαύτης λεξικῆς βίβλου σύνταξις μείζων ἢ καθ᾽ ἕνα τινὰ πόνος ἐστίν. Οὐχ ἑνὸς γάρ τοι οὐδὲ δυοῖν, ἀλλὰ πολλῶν προσηκόντως τὰ φιλο-

λογικὰ κατηρτισμένων καὶ πεπαιδευμένων τὸ ἔργον, πολὺν δὲ χρόνον ἀνενδότως καὶ ἀδιαλείπτως τῷ πόνῳ τούτῳ προσκειμένων. Ἐγὼ δὲ τῷ μεγαλοφρονεστάτῳ χορηγῷ τῷ μέγιστ᾽ ἄττα καί πως θειότερα βουλομένῳ τε καὶ φρονοῦντι, ἅτε δὴ καὶ θειοτέρας μετασχόντι τῆς γνώμης, πειθόμενος, εὐθὺς ἐξ ἀρχῆς πολλῶν ἐδεήθην, ὅπως κοινῇ συνεργαζόμενοι τοιοῦτόν τι λεξικόν, τῷ μεγέθει τῆς τἀνδρὸς προαιρέσεως συμφωνότερον, συγγράψαιμεν. Ἐπεὶ μέντοι οὐδεὶς μὲν τοῦ πόνου τούτου κοινωνεῖν μοι ἐβούλετο, ἐγὼ δὲ μόνος τοιοῦτον καὶ τηλικοῦτον ἔργον εἰς πέρας ἄγειν οὐχ οἷός τ᾽ ἦν, ἔννοια μοι ἐγίγνετο, ἥν τιν᾽ ἂν λεξικὴν βίβλον ἀπεργασάμενος αὐτὸς καὶ τοῖς περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδάζουσιν ἐπικουρήσαιμι, ἅμα δὲ καὶ τὰς ἐμάς, ὅση γε δύναμις, τῷ μεγάλῳ τῆς Ἑλληνικῆς γλώσσης θησαυρῷ συμβολὰς συντελέσαιμι. Οὕτω δὲ τῇ λεξικοῦ ἑρμηνευτικοῦ συγγραφῇ ἐπεχείρησα πασῶν τῶν δυσερμηνεύτων ῥήσεων καὶ φράσεων καὶ λέξεων, ἃς ὁ καταμανθάνειν βουλόμενος εἰς τὰ λεξικὰ καὶ τὰ ἄλλα ἑρμηνευτικὰ βιβλία καταφεύγει, ἑρμηνείαν παρεχομένου. Σκοπούμενος οὖν εὕρισκον, ὅτι σύμπαντα τὸν τῆς Ἑλλ. φωνῆς λεξικὸν θησαυρὸν περισυναγαγὼν ἑρμηνεῦσαι καὶ σαφηνίσαι οὐκ ἂν δυναίμην, μικροῦ δέ τινος μέρους πάντως κρατῆσαι ἂν ἐξείη μοι. Εἰ δὲ τὸ μικρὸν τοῦτο μέρος, ὃ ἐγὼ συμβάλλεσθαι ἂν δυναίμην, οὐδὲν ἄλλο ἢ τὰ δυσερμήνευτα χωρία τῶν τε ποιητῶν καὶ τῶν καταλογάδην συγγεγραφότων εἴη, καὶ πάνθ᾽, ὡς εἰπεῖν, τὰ ἑρμηνείας χρῄζοντα, οὐ μόνον αὐταὶ καθ᾽ ἑαυτὰς αἱ ἐμαὶ μικραὶ συμβολαὶ ἄξιαι λόγου, ἀλλὰ καὶ τοῖς ὑπάρχουσι λεξικοῖς ἐν συμπληρώματος μέρει ἂν γένοιντο, ἐπὶ δὲ τούτοις καὶ πολλὴν τὴν ὄνησιν τῇ σπουδαζούσῃ νεότητι φέροιεν. — Φέρε οὖν ἐξετάσωμεν, ὡς οἷόν τε διὰ βραχυτάτων τὸ πρᾶγμα ὡς ἔχει. Ὁ γὰρ ἀρχαῖον ποιητὴν ἢ συγγραφέα ἀναγιγνώσκων καὶ μελετῶν, ἄλλα μὲν δήπου καταμανθάνει καὶ ἀκριβοῖ, ἄλλα δ᾽ οὔ. Ταῦτα δὲ τὰ ἄλλα, ἃ οὐκ ἀκριβῶς εἰδὼς οὐδὲ κατανοῶν ἐπὶ τὰ λεξικὰ καὶ τὰς ἐκδόσεις καταφεύγει, ἑρμηνείαν ποθῶν καὶ ἀναζητῶν, ἐν τῷ λεξικῷ τῷδε κατεχώρισα. Τίνα δ᾽ ἐστὶ ταῦτα; Λέξεις, καὶ φράσεις καὶ χρήσεις καὶ ῥήσεις καὶ χωρία, ἅπερ ἤτοι ἐν τοῖς ὑπάρχουσι λεξικοῖς καθόλου οὐχ εὑρίσκεται, ἢ εὑρίσκεται μέν, ἀλλ᾽ ἢ οὐχ ἡρμήνευται ἢ πλημμελῶς τε καὶ ἀτελῶς σαφηνίζεται ἢ καθόλου δυσχέρειάν τινα ἐμφανίζει. Οἱ δὲ πλεῖστοι τῶν τοῖς λεξικοῖς χρωμένων ταῦτ᾽ ἀνελίσσοντες φαίνονται, ἵν᾽ ἤτοι δυσνοήτου χωρίου ἢ σπανίας λέξεως καὶ φράσεως καὶ χρήσεως τὴν ἐξήγησιν ἀνεύρωσιν.

Ἀλλ᾽ ὅπερ μάλιστα εὐθὺς ἐξ ἀρχῆς οὐ συνιεὶς οὐδὲ καταμανθάνων ὁ περὶ τὰ ἀρχαῖα γράμματα διατρίβων φαίνεται, τοῦτ᾽ ἐστὶν ἡ σύνταξις. Καὶ γὰρ πολλὰ χωρία οὕτω συνέστραπται καὶ πεπύκνωται τοῖς τε νοήμασι καὶ τῇ λέξει, ὥστε μηδ᾽ ἂν τὸν τῆς ἀρχαίας φωνῆς ἔμπειρον καὶ εἰδήμονα εὐθὺς ἐξ ἀρχῆς τὰ σκοτεινὰ καὶ ἄπορα διαλύειν καὶ διασαφεῖν. Ταῦτα δὴ μάλιστα τὰ χωρία ἑρμηνεῦσαί τε καὶ ἐξηγήσασθαι ἐν τῷδε τῷ λεξικῷ προυθέμην. Ἔστι δὲ καὶ ἄλλως σαφηνίζειν τὸ πρᾶγμα. Εἰ γάρ τις, καὶ φιλόλογος ὤν, βούλοιτο τὰ Πινδάρου, ἵν᾽ ἑνὶ τούτῳ παραδείγματι χρήσωμαι, ἀναγνῶναι αὐτὰ αὐτός, οὐκ ἂν δύναιτο μὴ συνεπίκουρον ἔχων ἔκδοσίν τινα ἑρμηνευτικήν. Εἰ δέ τις ὅμως τῷδε τῷ λεξικῷ συνεκδήμῳ χρῷτο, ῥᾳδίως ἂν καὶ τὰ Πινδάρου καὶ τὰ τῶν ἄλλων διεξέλθοι. Τοιόνδε τι οὖν ἐποίησα. Πρῶτον μὲν τοὺς ἀρχαίους ποιητάς τε καὶ συγγραφέας αὐτὸς ἀνέγνων, καὶ μάλιστα τοὺς ἐγκρίτους, ἐξ ὧν πάντα τὰ χωρία, τὰ κατά τινα λόγον σημειώδη, ἐξεγραψάμην. Εἶτα λαβὼν ἀνὰ χεῖρας καὶ τὰς ἀρίστας ἐκδόσεις ἐσημειούμην πάνθ᾽ ὅσα καὶ οἱ ἐκδόται διασαφήσεώς τινος καὶ σημειώσεως κρίνουσιν ἄξια· τούτοις δὲ προσθεῖναι ἔδοξέ μοι καὶ ὅσα δυσνόητα χωρία ἀναγεγραμμένα εὗρον ἐν τοῖς εἰδικοῖς λεγομένοις λεξικοῖς, οἷον τὸ Αἰσχύλου, τὸ Σοφοκλέους, τὸ Πινδάρου, τὸ τῶν τραγικῶν καὶ τὸ τῶν κωμικῶν ποιητῶν, τὸ Θουκυδίδου καὶ τὰ τοιαῦτα. Οὕτω δὲ τελειοτέραν καὶ ἀκριβεστέραν ἐκ τῶν ἐνόντων τὴν τῶν δυσερμηνεύτων χωρίων συναγωγὴν ἀπεργασάμενος, ὅμως παρέλιπον πάνθ᾽ ὅσα καὶ ἐμοὶ ἀποπειρωμένῳ ἐφθαρμένα καὶ πλημμελῶς ἔχοντα ἐδόκει εἶναι, εἰ μή τι ἐπανορθοῦσθαι εἴη. Ἐπεὶ δὲ σκοπὸς μάλιστα τοῦ λεξικοῦ τοῦδ᾽ ἐστὶν οὐ μᾶλλον ἡ τῶν λέξεων ἢ ἡ τῶν χωρίων ἑρμηνεία, διὰ τοῦτο ἡ διηκριβωμένη καὶ λεπτὴ καί πως περιττοτέρα τῶν λέξεων ἐξήγησις πολλαχοῦ παραλείπεται. Ἴσθι δέ με ἐν πᾶσι τούτοις τῆς παραδόσεως ἀπρὶξ ἐχόμενον καὶ μόνον, εἴ που τὰ παραδεδομένα οὐχ ὑγιῶς ἔχοι, ἐπανόρθωμά τι ἐπεισάγοντα, τῶν δὲ λεγομένων διαφόρων γραφῶν καὶ ἐπανορθώσεων μόνον, εἴ πού τις ἀνάγκη εἴη, μνημονεύοντα. *Τοῦτο δὲ τὸ ἔπος ἐχέτω μοι ἐς πάντα τὸν λόγον.*

Εἰ δέ τις καὶ τοὺς ποιητὰς καὶ συγγραφέας ἀκριβέστερον εἰδέναι βούλοιτο, ὅσον τῇ λεξικῇ τῇδε βίβλῳ χρήσιμοι τε ἐγένοντο καὶ συνεβάλοντο, πλεῖστα μὲν χωρία ἡρμήνευταί μοι ἐκ τῶν Σοφοκλέους πρώτου καὶ Αἰσχύλου δευτέρου, εὖ δὲ μάλα καὶ ἐκ τῶν Εὐριπίδου, Ἀριστοφάνους, Ἡρώνδα, Πινδάρου, Βακχυλίδου, Ὁμήρου, Ἡσιόδου, Καλλιμάχου, Θεοκρίτου, τῶν λυρικῶν ποιητῶν καὶ τῶν ἀποσπασμάτων τῶν τραγικῶν καὶ κωμικῶν, ἔτι δ' Ἀράτου, Νικάνδρου, Ὀππιανοῦ, τῶν τῆς Ἀνθολογίας ποιητῶν, καὶ εἴ τις ἄλλος. Ἐκ δὲ τῶν καταλογάδην συγγεγραφότων μάλιστα μὲν ἐξηγούμην τὰ Θουκυδίδου, εἶτα δὲ τὰ Πλάτωνος, Δημοσθένους (καὶ τῶν ἄλλων ῥητόρων), ἐπὶ δὲ τούτοις τὰ Ξενοφῶντος, Ἡροδότου καὶ Ἀριστοτέλους καὶ Πλουτάρχου καὶ Λουκιανοῦ. Ἡ δὲ τάξις τοῦ ποσοῦ τῶν ἐξ αὐτῶν παρειλημμένων χωρίων δηλωτική· ὅσῳ γὰρ πρότεροί εἰσι τῇ τάξει, τοσῷδε καὶ πλείω χωρία παρέσχηνταί μοι. Εἰρήσθω δέ μοι καὶ τόδε τῆς ἀκριβείας ἕνεκα, ὅτι κατὰ τὸν αὐτὸν λόγον πλείω χωρία ἐκ τῶν ἐν ταῖς σχολαῖς διδασκομένων παρείληπται ἢ ἐκ τῶν ἄλλων συγγραμμάτων τοῦ αὐτοῦ συγγραφέως. Ὅτι δὲ πολλὰ τῶν συγγραμμάτων τούτων οἱ βουλόμενοι τῶν ἡμετέρων ἀναγιγνώσκειν οὐκ εὐχερῶς ἠδύναντο, οὔτε ἐκδόσεως οὔτε ἄλλης βίβλου βοηθητικῆς συνεπικουρούσης, περιττὸν ἂν εἴη καὶ δηλῶσαι. Καὶ ταῦτα μὲν δὴ ταύτῃ.

Εἰ δέ τινα τῶν ἐν τῷδε τῷ λεξικῷ κατακεχωρισμένων χωρίων εὐχερῆ καὶ εὔληπτα δόξει τισὶν εἶναι, ταῦθ' εὖ οἶδ' ὅτι ἄλλοις δυσχερῆ καὶ δύσληπτα ἔσται, μᾶλλον δὲ πάνυ ὀλίγα περιττὰ φανήσεται, πλείονα δ' ἐλλείποντα ποθήσουσιν οἱ τῇ βίβλῳ ἐντυγχάνοντες. Ἐν τῷδε οὖν τῷ λεξικῷ, ἑρμηνευτικῷ μάλιστα ὄντι, εὕροι ἂν ὁ ἐπιεικὴς κριτὴς ἑρμηνευόμενα οὐ μόνον τὰ ἐν πᾶσι τοῖς Ἑλληνικοῖς λεξικοῖς δυσχερῆ χωρία, ὧν ἔνια, καίπερ παρατιθέμενα, ἀνερμήνευτα φέρεται, ἀλλὰ καὶ πολλὰ ἄλλα, ἃ οὐδ' ἐν αὐτῷ τῷ πολυθρυλήτῳ Θησαυρῷ ἀναγεγραμμένα τυγχάνει. Καθόλου δ' εἰπεῖν, ὅσα δυσχερῆ χωρία ἀνερμήνευτα ἐν τοῖς λεξικοῖς κεῖται, πάντα ταῦτα ἐπιμελῶς ἡρμήνευσα, πλὴν τῶν εὐχερεστέρων· ταῦτα γὰρ πάντα οὐδενὸς φεισάμενος παρέλιπον. Πᾶσι δὲ τούτοις προσέθηκα κἀγώ, ὅσα αὐτὸς ἑκάστοτε εἶχον συναγαγών, πάσῃ σπουδῇ θηρώμενος καί, ὅτῳ ἀπόρῳ καὶ δυσερμηνεύτῳ χωρίῳ ἐντυγχάνοιμι, τοῦθ' ὥσπερ ἕρμαιόν τι ὑπολαμβάνων. Ἐπὶ δὲ τούτοις καὶ πολλαῖς χωρίων συναγωγαῖς ὑπὸ τῶν μαθητῶν ἐμὴν χάριν παρεσκευασμέναις ἐχρησάμην. Ἃ πάντα κατὰ δύναμιν ἡρμήνευταί μοι. Πολλοῖς δ' οὖν χωρίοις παρ' οὐδενὶ ἡρμηνευμένοις ἐντυχών, αὐτὸς ἐπεθέμην ἑρμηνεῦσαι. Οὕτω δ' οὐκ ὀλίγα χωρία, ὧν τὴν ἑρμηνείαν μάτην ἂν παρ' ἄλλοις ἀναζητοίη τις, ἐν τῷ λεξικῷ τῷδε εὑρίσκοι ἂν ἡρμηνευμένα. Τῶν δὲ παραλειφθέντων, — πολλὰ δ' εἰκὸς παραλειφθῆναι — αἰτιάσαιτο ἄν τις μάλιστα μὲν τὴν ἐμὴν ἀδυναμίαν, ὑφ' ἧς πάντα τὰ ἀπόρως ἔχοντα καὶ δυσερμήνευτα ἐν βραχεῖ πάντως χρόνῳ ἀνευρεῖν τε καὶ συναγαγεῖν καὶ διερμηνεῦσαι οὐκ εἶχον, ἥκιστα δὲ τὴν ἐμὴν προθυμίαν καὶ προαίρεσιν. Τῷ δ' οὖν μέλλοντι μιμητῇ ἔσεσθαι, εἴ τις καὶ εἴη, τὰ προσήκοντα πάντως ἂν ὑπόκειτο. Παρέλιπον μέντοι τὰ ἐκ τῶν ἐπιγραφῶν χωρία πάντα, οὐ τοῦ παρόντος ἡγησάμενος εἶναι τὴν τούτων ἑρμηνείαν οὐδ' οἷα ἐκ παρέργου μελετᾶσθαι.

Ἐπειδὴ δὲ τὰ δυσερμήνευτα καὶ δυσνόητα ἐν πᾶσι καὶ εἰς πάντα λόγον ἐθηρώμην, τοῦτ' αὐτὸ καὶ ἐν τοῖς γραμματικοῖς ἐπετήδευον, ὧν τὰ μὲν δυσχερέστερα καὶ ὑπό τι ἀσαφῆ πανταχόθεν περισυνήγαγον, μάλιστα δ' ἐκ τῶν τοῦ Κοβήτου καὶ Μαδβιγίου καὶ Ἑρουερδῆνος, καὶ ἄλλων κριτικῶν τε καὶ ἑρμηνευτικῶν συγγραφῶν, οὐχ ἧττον δὲ καὶ ἐκ τῶν τοῦ Κυνέρου γραμματικῶν τε καὶ συντακτικῶν βίβλων, τῶν ὑπὸ Βλασσίου καὶ Γερθίου ἐπεξειργασμένων, τὰ δ' εὐχερέστερα καὶ εὐληπτότερα παντάπασιν ἀπέβαλον· ἀτελεύτητος γὰρ καὶ ἀνήνυτος ἂν ἦν ὁ πόνος, καὶ ἄλλως καὶ τοῦ μὲν βίου βραχέος, τῆς δὲ τέχνης μακρᾶς οὔσης. Ἐν παρέργῳ δ' εἰρήσθω μοι, ὅτι καὶ τῶν συνωνύμων καὶ ἄλλων ἰδίων χρήσεων οὐκ ἠμέλησα, πᾶν ὅ τι βέβαιον περὶ τούτων ἐγέγραπτο παραλαβών. Σημειοῦ δέ μοι καὶ τόδε, ὅτι ἐν τῷ τὴν βίβλον τήνδε συγγράφειν ἀείποτε εἰς τὰ πρὸς ἡμᾶς τοὺς Ἕλληνας ἄπορα καὶ δυσχερῆ ἀπέβλεπον μᾶλλον ἢ εἰς τὰ πρὸς τοὺς ἄλλους, ἅτε δὴ τῆς βίβλου μάλιστα τοῖς Ἕλλησιν ἀφωρισμένης. Πάντως δὲ δήπου, ὥσπερ πολλά τινα χωρία οὐχ οὕτω δυσνόητα, ὡς ἄλλα, τυγχάνει ὄντα οὐδὲ πράγματα τῷ ἑρμηνεύοντι παρέχει, οὕτως αὖ πόλλ' ἄλλα δύσληπτά ἐστι καὶ χαλεπὰ νοῆσαι, πολλοῦ μὲν πόνου εἰς διασάφησιν δεόμενα, πολλοῦ δὲ χρόνου, ἔστι δ' ὅτε

καὶ δαπάνης, εἴ τι χρήσιμον περὶ τῶν τοιούτων βιβλίον ὑπάρχει ἐκδεδομένον, πορίσασθαι ἄξιον. Ἀντισήκωμά γε μὴν καὶ ἀντιστάθμημά τι πολλαχοῦ ἐπεγένετο. Ὥσπερ γὰρ πολλά τινα ὀνόματα, περὶ ὧν οὐκ ἦν ἱκανὰ σημειώσασθαι, ὅλως παρέλιπον, οὕτως αὖ ἄλλα, ἐν οἷς πόλλ᾽ ἄττα ἐξηγήσασθαι εἶχον, οὐχ ὅπως ἀπεσιώπησα, ἀλλὰ καὶ ἄλλα, ἧττον δυσνόητα καὶ δυσερμήνευτα, ἡρμήνευσα καὶ προσέθηκα, ἵνα τὸ κεφάλαιον ἕκαστον ἐν τῷ μέρει ἀπαρτίζοιτο.

Τὰς δ᾽ ἑρμηνείας ἑκάστας πολλαχόθεν μὲν ἐποριζόμην τε καὶ ἠρυόμην, οὐχ ἥκιστα δὲ ἐκ τῶν ἀρίστων ἐκδόσεων, αἷς ἀείποτε ἐχρώμην. Τοιαῦται δ᾽ ἐκδόσεις καὶ παρ᾽ ἄλλοις μέν, ὡς εἰκός, ὑπάρχουσι, μάλιστα δὲ παρὰ τοῖς ἑλληνομαθεστάτοις Γερμανοῖς, πρὸς οὓς πάντας χάριν πλείστην ὁμολογῶ. Καὶ ὅπου μὲν κατὰ λέξιν, τὸ λεγόμενον, παραλαμβάνοιμι τὴν ἑρμηνείαν, ἐνταῦθα καὶ τοὔνομα τοῦ ἑρμηνευτοῦ ἐμνημόνευον, εἴ τι λόγου ἄξιον εἴη, ὅπου δ᾽ ὠφελοίμην μέν τι ἐκ τῶν παρ᾽ ἄλλοις ἑρμηνειῶν, ἀλλ᾽ οὐκ αὐταῖς λέξεσι χρῴμην, ἢ ἄλλως διασκευάζοιμι, ἐνταῦθα καὶ τῶν ἑρμηνευτῶν πάντων μνείαν ποιεῖσθαι οὐχ οἷόν τ᾽ ἦν ἐμοί, ἄλλας μὲν ἑρμηνείας μεταβαλόντι, ἄλλας δὲ κατὰ τὸ δοκοῦν διασκευάσαντι, ἐν τῷ αὐτῷ δὲ χωρίῳ μέρος μὲν τούτῳ, μέρος δ᾽ ἐκείνῳ τῷ ἑρμηνευτῇ κατακολουθήσαντι, ἐνιαχοῦ δὲ λεξειδίων τινῶν μόνον τὴν ἑρμηνείαν παραλλάξαντι. Ἀλλ᾽ ὡς ἀληθῶς ὅμως καὶ αὗται εἰς ἐκείνους, παρ᾽ ὧν ὥσπερ ἐνδόσιμον καὶ ῥοπήν τινα εἰλήφειν, τὴν ἀρχὴν ἀναφέρουσι. Καθόλου δ᾽ εἰπεῖν ἐμοὶ μὲν ἀποδοτέον τὴν τοῦ ὅλου διακόσμησιν, πρὸς δὲ ταύτῃ πάσας τάς τε ἑρμηνείας καὶ ἐπανορθώσεις, ἃς αὐτὸς ἐμαυτῷ διαρρήδην ἀνατίθημι, πάντα δὲ τἄλλα ἄλλοις ὀφείλεται καὶ προσήκει καὶ ἀναφέρεσθαι χρὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον, ὡς δικαιότατα.

Πανταχοῦ μέντοι τὴν κατὰ λέξιν ἐξήγησιν προκρίνων ἐπεδοκίμαζον καὶ ἐπετήδευον, ἄλλως τε καὶ τῆς τοιαύτης ἑρμηνείας τὴν ὁδὸν τοῖς ἐντυγχάνουσιν ὑποδεικνύσης, ᾗ καὶ τὸ ὅλον καὶ ἕκαστα ἑρμηνεύεσθαι δεῖ, οὐ μόνον ἐν τῷ ἀεὶ προκειμένῳ χωρίῳ, ἀλλὰ καὶ ἐν τοῖς παρομοίοις. Αὕτη δ᾽ οὖν καὶ διδακτικωτάτη ἂν εἴη. Πολλαχοῦ μέντοι ἡ κατὰ λέξιν αὕτη καὶ ἀκριβὴς ἑρμηνεία λυμαίνεται καὶ ἄντικρυς μάχεται τῇ τοῦ λόγου κομψότητι καὶ καλλιεπείᾳ· τῆς γὰρ ἑρμηνείας τὴν σαφήνειαν, ὡς εἰκός, σκοπούσης, πάσῃ φωνῇ ἀπὸ τῆς ἀρχαίας ἀρξάμενος μέχρι τῆς καθ᾽ ἡμᾶς συνηθείας ἐχρησάμην· πᾶσαι γὰρ δίκαιαι ὑπάρχειν, τῶν τοῦ ἀρχαίου λόγου ποικίλων χρειῶν ὁτὲ μὲν ταύτῃ, ὁτὲ δ᾽ ἐκείνῃ συμμέτρως συμμεθαρμοζόμεναι. Ἄλλῃ γὰρ φωνῇ τὰ τοῦ Πλάτωνος ἀποδίδοσθαι προσήκει, ἄλλῃ δὲ τὰ Ἀριστοφάνους, ἄλλῃ δ᾽ εὖ μάλα τὰ τῶν ἄλλων. Ἡ δ᾽ οὖν τῆς μεταφράσεως λέξις κατ᾽ ἀνάγκην ποικίλη ἐστίν, ἅτε δὴ τῷ τε εἴδει καὶ τῇ ὕλῃ τῆς μεταφραστέας φράσεως παρακολουθοῦσα. Χρῆν δέ με ἐξηγούμενον, ἄλλως τε καὶ μίαν τὴν ἐμοὶ ἀρίστην δοκοῦσαν ἑρμηνείαν παρατιθέμενον, χρῆσθαι λέξει, ἣ ἀκριβῶς διερμηνεύουσα μὴ μόνον τὴν διάνοιαν ἀλλὰ καὶ τὸ ἦθος τοῦ ἑρμηνευομένου χωρίου καθόλου τε καὶ ἐπὶ μέρους ἀποδιδοίη, πρὸς πάντας καὶ τοὺς ἧττον λογίους. Δι᾽ ὃ τὰ μὲν ἑτέρας ἑρμηνείας προσχρῄζοντα ἑρμηνεύματα ἐξέκλινα, προέκρινα δὲ τὰ ἀκριβῶς ἑρμηνεύοντα, καὶ εἰ χυδαιότερά πως εἴη· ἑρμηνευτικὸς γὰρ μάλιστα τῆς βίβλου ὁ σκοπός. Εἰ δέ που βραχύτερα τοῦ δέοντος τὰ ἐξηγήματα ταῦτα τυγχάνει ὄντα, δῆλον ὅτι πλείω λέγειν ἤτοι οὐκ ἠβουλήθην ἢ οὐκ ἠδυνήθην. Ὅτε δὲ ἡ ἐξήγησις, οἷς καθ᾽ ἡμέραν ἐν τῇ συνηθείᾳ χρώμεθα ὀνόμασι καὶ ῥήμασι, ταῦτα παρεχομένη τὴν ἀρχαίαν ῥῆσιν ὡς οἷόν τε ἀκριβέστατα κατά τε τὴν λέξιν καὶ τὸ ἦθος ἀποδίδωσι, πάντες δήπου χαίρομεν, ὅτι ἀρχαία φράσις ἡ αὐτὴ καὶ ἀπαράλλακτος περιγεγένηται, ὥσπερ παλαιά τις γνώριμος εἰς ὄψιν ἡμῖν ἐρχομένη. Ὅσον δὲ ταῦτα καὶ τὰ τοιαῦτα εἰς τὴν τῆς γλώσσης ἀκριβεστέραν νόησιν καὶ αἴσθησιν συμβάλλεται, ὅταν μὴ μόνον νοῶμεν ἀλλὰ καὶ αἰσθανώμεθα, περιττὸν ἂν εἴη καὶ λέγειν. Ἐνταῦθα δέ μοι τοῦ λόγου γενομένῳ δοκεῖ, ὅσα ἄλλοτε περὶ τούτου ἔγραψα, παραθέσθαι[1]).

[1]) «Περὶ τούτων δ᾽ ὄντος τοῦ λόγου παρατηρητέον, ὅτι τὰ *ἄριστα γλωσσικὰ σχόλια*, ὧν στεροῦνται πάντα τὰ ἄλλα ἔθνη, εἶνε αἱ ἀντίστοιχοι δημώδεις φράσεις καὶ λέξεις. Ἑκάστη φράσις εἶνε μνημεῖον τῆς γλώσσης. Ἑκάστην ἠκούσαμεν καὶ ἀκούομεν καὶ ἡμεῖς οἱ σύγχρονοι Ἕλληνες ἐξ ἁπαλῶν ὀνύχων καὶ οἱ προγενέστεροι ἡμῶν ἀπὸ αἰώνων μέχρι τῆς σήμερον· δι᾽ αὐτῶν ἀνατρεφόμεθα καὶ παιδευόμεθα. Ἑκάστη λοιπὸν φράσις εἶνε ζωηρῶς ἐντετυπωμένη ἐν ἡμῖν καὶ ζωηρῶς διεγείρει καὶ τὸ γλωσσικὸν αἴσθημα ἡμῶν, κυρίως διότι εἶνε τὸ ὄργανον τῆς διανοήσεως ἡμῶν, καὶ τὸ ἐθνικὸν αἴσθημα, διότι ὑποδεικνύει τὴν ὑπάρχουσαν ἑνότητα. Πᾶσα δὲ ἀρχαία φράσις ἀναζῇ καὶ εἶνε ζωντανὴ δι᾽ ἡμᾶς, ὡς ἡ γλῶσσα, ἣν ὁμιλοῦμεν, ὅταν καὶ ὁσάκις ἀποδίδεται δι᾽ ἀντιστοίχου δημώδους. Ἡ δημώδης φράσις εἶνε ἡ τελευταία φύσις τῆς ἀρχαίας, ὀλίγον παρηλλαγμένη ἐξωτερικῶς, ἀλλὰ διασῴζουσα πλήρη καὶ ἀκέραιον τὸν ἐσωτερικὸν τυρῆνα, καὶ οἷον μαγνητικὴν δύναμιν ἀσκοῦσα ἐπὶ πᾶσαν Ἑλληνικὴν ψυχήν. Καὶ δικαίως, διότι, ὡς εἴπομεν, ἑκάστη

Ταύτης δὲ τῆς σαφηνείας ἕνεκα καὶ ἧττον ὀρθὰ ἔστιν ὅπου ὀνόματα ἐνέκρινα, συνήθη μέντοι καὶ καθιερωμένα καὶ καθωμιλημένα. Ἓν γάρ τι ὄνομα καὶ αὐτὸ τὸ πλημμελέστατον ἡ ἀδιάλειπτος καί πως χρονιωτέρα χρῆσις καθωμιλημένον καὶ κοινὸν ἐποίησεν.

Ὡς δὲ τὸ πολὺ μία μόνη ἐν τῷ λεξικῷ κατακεχώρισται ἑρμηνεία, σπανιώτερον δὲ δύο ἢ τρεῖς, ἄλλως τε καὶ τῆς ὀρθῆς μιᾶς πάντως οὔσης. Χρὴ δὲ τὸν τοιοῦτον ἐκπονοῦντα λεξικόν, καὶ μάλα ἐπιπονήσαντα καὶ ἐπιταλαιπωρήσαντα, τὴν μίαν ταύτην ὀρθὴν ἑρμηνείαν ἀνευρίσκειν, ἣ πάντως πολὺ πλείονος ἀξία τυγχάνει οὖσα ἢ αἱ πολλαὶ ἐκεῖναι ἑρμηνεῖαι, αἱ ὑπό τινων ἔν τισι παχυτάταις βίβλοις συλλήβδην παρατιθέμεναι, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐνίοτε, ὡς ἔτυχεν ἑκάστη ὑπὸ τοῦ πρώτου γράψαντος γεγραμμένη, ἀμετάφραστοι δῆλον ὅτι καὶ ἀδιασκεύαστοι, ὡς τούτου δὴ τοῦ ἐπιτηδεύματος ἀκριβεστέρου ὄντος, ὡς δ᾽ ἀληθῶς ἀταλαιπώρου καὶ ἀνυπευθύνου. Οὐδὲν γὰρ τῆς ἀντιγραφῆς ταύτης εὐχερέστερον, ὅπου καὶ μηχανή τις (οἷαι νῦν ὑπάρχουσι), μή τί γ᾽ ἄνθρωπος, ταὐτὸ ἀπεργάζεσθαι δύναιτ᾽ ἄν. Καὶ αὐτὴν γὰρ τὴν ἐξελλήνισιν οὐκ ἄμοιρον οὖσαν δυσχερειῶν τινων πάντες δήπου ἴσμεν. Εἰ δὲ καὶ τὴν μίαν ἐκείνην ἑρμηνείαν ποθοῖεν οἱ ἐντυγχάνοντες, τὴν ἀντιγραφὴν μέντοι τῶν ἤτοι ἀρχαίων ἢ νεωτέρων χωρίων, πολλῆς μὲν σοφίας ἐπιδεικτικὴν εἶναι, ὅλως δ᾽ ἀνεπισφαλῆ καὶ ἀνυπεύθυνον καὶ πάντη ἀκίνδυνον, ἔτι δὲ τῶν παχυτάτων ἐκείνων βίβλων, τῶν ἀναλώμασιν ἄλλων ἐκτυπουμένων, ἀπεργαστικήν, τίς οὐκ ἂν πείθοιτο;

Καὶ δίκαιοί εἰσι τοιαῦτα ποιεῖν οἱ τοιούτοις χρώμενοι λογισμοῖς. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα εὐδοκιμεῖ σήμερον παρ᾽ ἡμῖν, καὶ δὴ καὶ θαυμάζεται. Οὐ μὴν ἀλλ᾽ ἡ πολλῶν καὶ ποικίλων ἑρμηνειῶν παράθεσις δίκαιον ἂν ἕνα λόγον ἔχοι μόνον, εἰ ἑκάστη μέλλοι ἐξελέγχεσθαι. Ἀλλὰ πῶς ἂν τοῦτο ἐν τοιούτῳ λεξικῷ γένοιτο; Ἄλλοι δὲ πάλιν, ἀντὶ τοῦ ἑρμηνεύειν τὰ χωρία, σχόλιά τινα καὶ τὰ παράλληλα λεγόμενα χωρία παρατίθενται καὶ περιγραφάς τινας ἐπιτηδεύουσιν· ἃ πάντα προσήκει

φράσις, ἐν ᾧ φέρει τὸ κῦρος τόσων αἰώνων, φέρει ἅμα τὴν σφραγῖδα τὴν ἐθνικήν· ἐν ᾧ ἑκάστη φράσις, ἣν ἕκαστος ἡμῶν κατασκευάζει, εἶνε συνήθως προσωρινόν τι κατασκεύασμα.

«Καὶ δὲν εἶνε μόνος ὁ λεξικὸς καὶ φρασιολογικὸς πλοῦτος τῆς ἀρχαίας, ὅστις διεσώθη κατὰ μέγα μέρος ἐν τῇ σημερινῇ, εἶνε καὶ ἡ διατύπωσις τῶν νοημάτων, αὐτὰ πολλάκις τὰ νοήματα, παροιμίαι, παροιμιώδεις φράσεις κττ. Πάντα ταῦτα εἶνε τὰ ἄγραφα μνημεῖα τῆς γλώσσης, ἅτινα ὀφείλομεν νὰ τιμῶμεν καὶ περιέπωμεν, ὅπως καὶ τὰ ἄλλα μνημεῖα, ὧν κατ᾽ οὐδὲν ὑπολείπονται. εἶνε δὲ ἀσέβεια ν᾽ ἀπορρίπτωμεν αὐτὰ ὡς τὸ πρῶτον τυχὸν σκύβαλον. Εἶνε ἠκρωτηριασμένα καὶ παραμεμορφωμένα· ἀλλὰ μήπως καὶ τὰ ἄλλα εἶνε ὀλιγώτερον ἠκρωτηριασμένα καὶ συντετριμμένα; Ὅπως καὶ τῶν ἄλλων μνημείων πολλὰ ποθοῦνται ἀπολωλότα, οὕτω καὶ ἐν τοῖς μνημείοις τῆς γλώσσης ὑπάρχουσι πολλὰ τὰ ἐλλείποντα, ἀλλὰ τὰ ὑπάρχοντα εἶνε τοιαῦτα, ὥστε δύναταί τις, ἄνευ ὑπερβολῆς, νὰ τὰ χαρακτηρίσῃ ὡς τὰ ἄριστα μὲν σχόλια τῆς ἀρχαίας γλώσσης, ἀκρογωνιαίους δὲ λίθους τῆς σημερινῆς. Ἡ δημώδης εἶνε ἡ μόνη γέφυρα, ἥτις δύναται ἀσφαλῶς νὰ ὁδηγήσῃ ἡμᾶς εἰς τὴν κατανόησιν τῆς ἀρχαίας ὡς ζώσης γλώσσης, συγχρόνως δὲ αὐτὴ μόνη συνενώνει τὸν νῦν Ἑλληνισμὸν πρὸς τὸν παλαιόν, ὑποδεικνύουσα, ὡς εἴπομεν, τὴν ὑπάρχουσαν ἑνότητα. Ἀλλὰ δὲν θέλομεν νὰ ἐπωφεληθῶμεν· προτιμῶμεν νὰ μεταφράζωμεν τὴν ἀρχαίαν δι᾽ ἀντιστοίχων ξενικῶν ἐκφράσεων ψυχροτάτων καὶ ὄχι διὰ τῶν ζωντανῶν καὶ φερουσῶν τὸ κῦρος τόσων αἰώνων γνησίων Ἑλληνικῶν».

«Ἀπ᾽ αἰώνων ἤδη ἡ δημώδης καὶ αἱ ἐξ αὐτῆς φράσεις εὕρισκον πτωχικήν τινα γωνίαν ἐν τῇ λεγομένῃ *ψυχαγωγίᾳ*, ἐπ᾽ ἐσχάτων δὲ ἐν τῇ *ἐξηγήσει*. Ἀλλὰ δυστυχῶς καὶ ἡ ἐξήγησις αὕτη μικρὸν κατὰ μικρὸν ἐξηλείφθη ἐκ τῶν σχολείων, εὑρεθεῖσα περιττὴ καὶ ἐπιβλαβὴς (πῶς γὰρ οὔ;) οὐ μόνον διὰ τοὺς μαθητάς, ἀλλὰ καὶ δι᾽ αὐτοὺς τοὺς διδασκάλους καὶ καθηγητάς. Καὶ ὅμως καὶ αὐτὸς ὁ καθηγητής, ὁ συνηθισμένος ν᾽ ἀναγινώσκῃ τὴν ἀρχαίαν γλῶσσαν, θὰ ἐννοήσῃ πολὺ καλλίτερον αὐτήν, ὅταν προσπαθήσῃ νὰ φιλοτεχνήσῃ μετάφρασιν (διότι ἡ προσπάθεια αὕτη συμπίπτει μὲ τὴν προσπάθειαν, ὅπως ἐννοήσῃ καλλίτερον τὸ ἀρχαῖον κείμενον), ἔνθεν μὲν πιστήν, ἔνθεν δὲ διασῴζουσαν κατὰ τὸ ἐνὸν τὸν χρωματισμὸν καὶ τὸ κάλλος τοῦ ἀρχαίου λόγου. Τόσον εἶναι τοῦτο ἀληθές, ὥστε ἂν ὁ καθηγητὴς ὑποχρεωθῇ νὰ τυπώσῃ τὴν ἤδη δεδομένην εἰς τοὺς μαθητάς του μετάφρασιν, θὰ διορθώσῃ καὶ θὰ καλλωπίσῃ καὶ θὰ ῥινίσῃ αὐτὴν ἐπὶ πολὺν ἔτι χρόνον. Ἀκριβῶς δὲ τοῦτο εἶναι τὸ ἀναπτύσσον τὸ γλωσσικὸν αἴσθημα. Ἀλλ᾽ εἶνε ὅμως δύσκολον καὶ ἀπαιτεῖ κόπον, καὶ διὰ τοῦτο σήμερον ἀπὸ τοῦ Ἑλληνικοῦ σχολείου μέχρι τῆς ἀνωτάτης τοῦ Γυμνασίου τάξεως συμπεριλαμβανομένης, πλὴν ὀλίγων ἐξαιρέσεων, οἱ μαθηταὶ παρασκευάζουσι μόνοι των τὴν μετάφρασιν, οἱ δὲ καθηγηταὶ ἐνιαχοῦ μόνον διορθοῦσιν ἀπὸ στόματος τὴν δεῖνα φράσιν ἢ τὴν δεῖνα λέξιν. Οὕτω δὲ προχωροῦσιν ἀνεύθυνοι κατωτέρω λίαν ἀνέτως. Περιττὸν δὲ νὰ εἴπω, ὅτι ἡ τοιαύτη μετάφρασις πᾶν ἄλλο εἶναι ἢ ἐξήγησις τοῦ κειμένου, ἓν μόνον πλεονέκτημα (!) ἔχουσα, ὅτι πολλὰ ὀλίγον διαφέρει τῆς ἀρχαίας. Πλὴν τῆς ἀναλύσεως τῶν ἀπαρεμφάτων καὶ μετοχῶν, τῆς μονοτόνου μεταφράσεως τοῦ *ἄν*, τοῦ *γὰρ* καὶ τοῦ *οὖν*, καὶ δύο τριῶν ἄλλων, πάντα σχεδὸν τὰ ἄλλα εἶνε τὰ αὐτά. Ἀλλὰ πόθεν καὶ πῶς θὰ ἐπαναλάβῃ τὸ Ἑλληνικὸν μάθημα ὁ δυστυχὴς μαθητής; ἐπὶ τίνος ἐξηγήσεως στηριζόμενος; Εἰς τὸ ἐρώτημα τοῦτο δύναται ν᾽ ἀποκριθῇ οἱοσδήποτε μαθητής. Οἱ εὐπορώτεροι ἐξ αὐτῶν ἀγοράζουσι μεταφράσεις ἀγνώστου προελεύσεως καὶ ποιότητος, ἔργα, ὡς εἰκός, βιβλιοκαπηλικά, πολὺ πλέον βλάπτοντα ἢ ὠφελοῦντα, ἐκτὸς τινῶν ἐξαιρέσεων ἴσως. Ἀλλ᾽ ἡ ὀρθὴ ὅμως καὶ χρήσιμος καὶ ἁρμόζουσα εἰς τὸν μαθητὴν μετάφρασις, πόρισμα οὖσα ὀρθῆς συντάξεως, πρέπει νὰ ὑπομιμνήσκῃ πανταχοῦ τὴν σύνταξιν καὶ τοὺς λόγους, δι᾽ οὓς οὕτως ἔχει καὶ ὄχι ἄλλως· πρέπει νὰ φέρῃ πανταχοῦ καταφανῆ τὰ ἴχνη τῆς μετὰ τοῦ καθηγητοῦ συνεργασίας τοῦ μαθητοῦ. Διὰ ταῦτα ὀφείλει νὰ δίδῃ ὁ καθηγητὴς μίαν τοιαύτην μετάφρασιν, ἐξοδεύων μίαν ὥραν τὴν ἑβδομάδα ἢ ἄλλως, πρὸς ἀνυπολόγιστον ὠφέλειαν τοῦ γλωσσικοῦ τούτου μαθήματος (οὐ μὴν ἀλλὰ καὶ τοῦ γλωσσικοῦ ζητήματος). Αὕτη δὲ εἶνε μία τῶν αἰτιῶν, δι᾽ ἃς οἱ ἀρχαιότεροι ἐγνώριζον καὶ ᾐσθάνοντο κάλλιον ἡμῶν τὴν ἀρχαίαν γλῶσσαν». (Ταῦτα πρὸς ἄλλοις ἔγραφον ἐν τῇ *Ἁρμονίᾳ* τῷ περιοδικῷ, τῷ 1901).

μέν τι καὶ λόγον τινὰ πρὸς τὸ παραβαλλόμενον χωρίον ἔχει, καί πως διασαφητικὰ τυγχάνει ὄντα, ἀλλ᾽ οὐδαμῶς ἑρμηνευτικά ἐστι, τῆς μὲν περιγραφικῆς, εἰ ἔξεστι λέγειν, ἑρμηνείας τῇ πολλῶν χωρίων παραθέσει καὶ τοῖς ἄλλοις σχολίοις κατορθουμένης, τῆς δ᾽ ἀκριβοῦς ἑρμηνείας ἐπισκέψεως πολλῆς καὶ πόνου δεομένης.

Φανερὸν δ᾽ ὅτι μία ὀρθὴ ἑρμηνεία πλέον τὴν ἐπιστήμην ὠφέλησεν ἢ πολλαὶ συλλήβδην ἡμαρτημέναι. Ἀλλὰ μὴν κἀνταῦθα τὰ ἐξαιρετέα ἐξαιρῶ, καὶ δὴ ὅπου ἂν ἀμφιγνοῶν μὴ βεβαίαν μηδ᾽ ἀσφαλῆ γνώμην ἀποφαίνεσθαι ἔχω. Σημειωτέον μέντοι ὅτι, ὅπου ἂν τῇ προεκκειμένῃ ἑρμηνείᾳ μὴ ἀγαπῶ ἢ καὶ παντελῶς μεταγιγνώσκω, ὅπερ ἐπὶ ῥήσεων ἀπόρων, τῆς προσηκούσης ἐπεξεργασίας οὔπω τυχουσῶν, γίγνεσθαι φιλεῖ, ἑτέραν ὀρθοτέραν ἑρμηνείαν παρατίθεσθαι φροντίζω ἐν ἄλλῳ τόπῳ, ἐν ᾧ τὸ χωρίον πάλιν μνημονεύεται. Τὰ δὲ χωρία ἐν τῇ κυριωτάτῃ ὡς τὸ πολὺ παρατίθεται καὶ ἑρμηνεύεται λέξει, ἣν δεῖ ἐν νῷ ἔχοντα τὸν ζητοῦντα ζητεῖν. Εἰ δ᾽ ἔν τισι τῶν εἰδικῶν λεγομένων λεξικῶν τὸ χωρίον ἐν ἑκάστῃ αὐτοῦ λέξει ἐπαναλαμβάνεται, τοῦτο τοῖς μὲν χρωμένοις εὐμάρειάν τινα παρέχει, ἀλλὰ καὶ μέγαν τῷ λεξικῷ ὄγκον περιποιεῖ. Ἐγὼ δ᾽ ὡς τὸ πολὺ τὸ χωρίον μόνον ἐν ταῖς κυριωτέραις τῶν λέξεων, οὐχὶ δ᾽ ἐν πάσαις μνημονεύω, συντομίας χάριν. Πολλαχοῦ δὲ τοῦτο ἐπιτηδεύω, ἵν᾽ ἤτοι ὀρθοτέραν τῆς ῥήσεως ἑρμηνείαν παραθῶμαι, ἢ κάλλιον σαφηνίσω αὐτὴν (ἴδε π. χ. *τολμῶ* παρ᾽ Αἰσχύλῳ καὶ *σκῦτος* παρ᾽ Ἡρώνδᾳ). Δεῖ οὖν, καὶ ἐπάν τις τὸ χωρίον ἀνεύρῃ, καὶ ἐν ἄλλῃ λέξει ἀναζητεῖν, ἥν πως ὀρθοτέρᾳ ἑρμηνείᾳ ἐντύχῃ. Δεύτεραι γὰρ φροντίδες ἀεὶ σοφώτεραι. Πολλαχοῦ δὲ καὶ λέξεις, ἄλλως ἀχρήστους, ἐμνημόνευσα, μόνον ἵνα τὴν λέξιν, *ἐν ᾗ* τὸ χωρίον ἡρμηνευμένον εὕρηται, δηλώσαιμι.

Ἐπεὶ δ᾽ ὡς τὸ πολὺ τὸ ῥῆμά ἐστιν ἡ τοῦ λόγου κρηπὶς καὶ τὸ θεμέλιον, καὶ μετ᾽ αὐτοῦ μὲν συνυφίσταται ὁ λόγος, ἄνευ δ᾽ αὐτοῦ κατερείπεται καὶ ὑπορρεῖ καὶ οἷον ἀνυπόστατος, ὥσπερ κάλαμος, τῇδε κἀκεῖσε φέρεται, τούτου ἕνεκα ἐν τῷ περὶ ῥημάτων λόγῳ, καὶ ἄλλως μηκυνομένῳ, παρεθέμην μὲν τὰ χωρία, προσπαρεθέμην δὲ καὶ τῶν ῥημάτων τοὺς τύπους. Ἐπεὶ γάρ, ὡς ἔφθην εἰπών, τὸ ῥῆμα, πολλὰ χωρία περιειληφός, πλείστης ἑκασταχοῦ ἐκτάσεως ἔτυχεν, εἰκὸς ἦν καὶ τοὺς τύπους τοῦ ῥήματος, πολλάκις τῆς τοῦ χωρίου ἑρμηνείας οὐκ ἀλλοτρίως ἔχοντας, μνημονευθῆναι. Τοὺς δὲ τῶν ῥημάτων, ἔτι δὲ καὶ τῶν ὀνομάτων, ὅσους μνημονεύω τύπους, ἐπὶ δὲ τούτοις καὶ πολλὰ ἄλλα γραμματικὰ κεφάλαια, ἐκ τῆς τοῦ Κυνέρου γραμματικῆς τῆς ὑπὸ τοῦ πολλοῦ Βλασσίου ἐπεξειργασμένης παρέλαβον, εὐμενῶς συναινέσαντος τοῦ σοφωτάτου ἀνδρός. Οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς γραμματικοῖς τούτοις ζητήμασιν, ὁ σκοπὸς αὐτὸς τοῦ πονήματος οὐ παρεώραταί μοι, εἰς μὲν τὰ δυσχερῆ καὶ δυσεπίλυτα καὶ ἄπορα ἀείποτε ἀποβλέψαντι, τὰ δ᾽ εὐχερῆ καὶ πρόχειρα καὶ εὐνόητα πάνθ᾽, ὡς ἔπος εἰπεῖν, ἀμεταμελήτως χαίρειν ἐάσαντι. Ὁ ἀοίδιμος ἐκεῖνος ἀνήρ, ὁ Φρειδερίκος Βλάσσιος, ἐν τοῖς πρώτοις ἦν τῶν Γερμανῶν φιλολόγων, εἴπερ τις ἄλλος ἄριστα ἐν τῇ φιλολογίᾳ κατηρτισμένος τε καὶ πεπαιδευμένος. Φύσει δ᾽ ὀξυνούστατος ὢν πολλὰ φιλολογικὰ ζητήματα, ἄλλως δυσεπίλυτα, εὐχερῶς ἅμα καὶ ὀρθῶς ἐπιλύειν ἠδύνατο· ὃ μαρτυροῦσιν οὐ μόνον πολλαὶ τῶν Ἑλλήνων συγγραφέων καὶ ποιητῶν ἐκδόσεις, ἐν αἷς ὑφηγεῖσθαι τοῖς ἄλλοις ἐφίλει, ἀλλὰ καὶ πολλὰ ἄλλα θεωρητικὰ πονήματα σπουδαιότατα, οἷα τὰ περὶ τῶν Ἀττικῶν ῥητόρων, τὰ ἐπιγραφικὰ καὶ παλαιογραφικά, τὰ ἑρμηνευτικὰ καὶ κριτικὰ καὶ ἄλλα. Καὶ μὴν ὁ ἀείμνηστος ἀνὴρ ἄριστα μὲν κατενόει, ἄριστα δ᾽ ἡρμήνευε τὴν Ἑλληνίδα φωνήν, καλλιεπῶς δὲ καὶ ὀρθοεπῶς ἔγραφε, καὶ δὴ πολὺ ὀρθότερον ἄλλων Γερμανῶν τῷ Ἑλληνίζειν ἐνασμενιζόντων καὶ ἐπιδεικνυμένων, ὡς προσεπιμαρτυρεῖν ἔχω αὐτός, οὐκ ὀλίγα πολλάκις τοῦ ἀνδρὸς Ἑλληνιστί μοι ἀντεπιστείλαντος. Πολλὴν δ᾽ ἐγὼ καὶ χάριν καὶ διδασκαλίαν τῇ τοῦ μακαρίτου φιλόφρονι προθυμίᾳ ὀφείλω. Νῦν δ᾽ ἀποθανόντα πολλαχῶς πολλοὶ πολλάκις εὖ οἶδ᾽ ὅτι μνημονεύσουσί τε καὶ ποθήσουσιν, ἐν δὲ τοῖς πρῶτοι οἱ φίλοι.

Τῶν δὲ χωρίων οὐ τμήματά τινα καὶ μόρια βραχύτατα, οἷα νῦν φιλοῦσιν οἱ πολλοί, παράκειται, ἀλλ᾽ ὡς τὸ πολὺ γενναῖά τινα τεμάχη, καλὴν μὲν διάνοιαν, καλὴν δὲ λέξιν καὶ φράσιν, γνησίως δ᾽ Ἑλληνικὴν καὶ οὐ πεπλασμένην. Πολλὰ δὲ τοιαῦτα χωρία πολυθρύλητοί εἰσι γνῶμαι ἢ παροιμίαι, καὶ ῥήσεις γενναῖαι, ῥᾳδίως ὑπὸ τῶν μνημονικωτέρων ἀπομνημονευόμεναι. Ἐν δὲ τούτοις οὐκ ὀλίγα ἐστὶ πλεῖστον διαφέροντα τὰ μὲν ταύτῃ τὰ δ᾽ ἐκείνῃ τοῖς φιλαρχαίοις καὶ φιλολόγοις. Εἰ δέ τις καὶ

τὰς λέξεις θεωροίη, ἴστω ὅτι, καίπερ οὐ πάσας τὰς λέξεις τοῦ παρόντος λεξικοῦ παρεχομένου, ὅμως κατακεχωρισμέναι εὕρηνται καί τινες παντάπασι νέαι, ὡς *βουγενής*, *λεσχήν*, *ὀξυπαραύδητος*, *παύσυβρις*, καὶ εἴ τις ἄλλη.

Τὴν δὲ σύνταξιν μόνον εἴ που ἀναγκαῖον ἐδόκει προδιετύπωσα, πολλαχῶς δηλώσας καὶ διασαφήσας, πάντως μέντοι ἀνελλιπέστερον ἐν τοῖς μετὰ τὸ Ε στοιχείοις. Καὶ ἐν ἀρχῇ μὲν ὡς ἐν τύπῳ ἐδήλωσα, ὕστερον δὲ καὶ προσδιεσάφησα, τῆς διασαφήσεως μόνον, εἴ που δυσχέρειά τις ὑπῆν, προσγενομένης, ἅτε δὴ ἐμοῦ καὶ ἐνταῦθα, ὥσπερ καὶ ἀλλαχοῦ, διασαφοῦντος μὲν τὰ δυσχερῆ καὶ διὰ πλειόνων πραγματευομένου, τῶν δ᾽ εὐχερεστέρων ἤτοι ὀλιγωροῦντος ἢ διὰ βραχυτάτων ἐξηγουμένου. Εἰ δὲ μὴ τῷ αὐτῷ τρόπῳ πανταχοῦ ἐν τῷ τὴν σύνταξιν ὑποτυποῦσθαι ἐχρησάμην, δῆλον ὅτι ὅσῳ πορρωτέρω ἐν τῇ τοῦ πονήματος ἀπεργασίᾳ ἐχώρουν, τοσούτῳ ἤτοι τελειοτέραν τὴν μέθοδον ἐξεύρισκον, ἢ τὴν ἤδη εὑρημένην συνεπλήρουν. Τὴν δὲ σημασίαν, καὶ δὴ τὴν σημασιολογίαν καλουμένην, οὐ δι᾽ ἀκριβείας πανταχοῦ ἐπεξῆλθον, ὑπό τι περιττὸν τοῦτο ἡγησάμενος, οὐ μόνον διὰ τὸ τὴν τῶν χωρίων ἑρμηνείαν παρακεῖσθαι, ἀλλ᾽ ἔτι μᾶλλον, ὅτι ἀνάγκη ἂν ἦν καὶ τῆς εὐχερεστέρας χρήσεως παραδείγματα προσπαραθέσθαι, ὅπερ τῇ ἐμῇ δήπου βουλήσει ὑπηναντιοῦτο. Οὐ μὴν ἀλλ᾽ ὅπου ἀναγκαῖον ἐφαίνετο καὶ σκόπιμον εἶπον τὰ δέοντα.

Ἐν τῷ λεξικῷ τούτῳ πολὺς ἀποτεθησαύρισται πόνος, οὐ φανερὸς μᾶλλον ἢ λανθάνων καὶ τῷ πρῶτον καὶ τῷ δεύτερον καὶ τῷ τρίτον σκοποῦντι, ἄλλως τε καὶ ὅτι οὐδεὶς οὕτω καρτερικὸς ἂν εἴη, ὥστ᾽ ἀπ᾽ ἀρχῆς εἰς τέλος τὸν πόνον διεξελέγχειν, καὶ δὴ κριτικῶς. Δῆλον μέντοι, ὅτι τοῦ λόγου ἐξαιρῶ τῶν παρ᾽ ἡμῖν τοὺς ἔργον ποιουμένους τὰ μὲν τῶν ἑταίρων θαυμάζειν ἀεὶ ἐπὶ σοφίᾳ, τὰ δὲ τῶν ἀλλοτρίων, καὶ δὴ τῶν ἀντιτέχνων, παντί τε τρόπῳ καὶ πάσῃ μηχανῇ ἐπικρίνειν καὶ ἐλέγχειν καὶ διασύρειν καὶ συκοφαντεῖν, ἔκ τε προαιρέσεως καὶ ἐπιτηδεύσεως, κατὰ στάσιν. Τῇ γὰρ τοῦ ὅλου ἐξ ἐλαχίστου μέρους ἀποδεικτικῇ δῆθεν μεθόδῳ χρώμενοι τῶν μὲν ἑταίρων καὶ φίλων ἐπιεικέστατοι καὶ συγγνωμονικώτατοί εἰσι κριταί, καὶ πλεῖστα σφαλλομένων, ἅτε δὴ τῶν σφαλμάτων οὐδένα λόγον ποιούμενοι, τῶν δ᾽ ἀντιτέχνων, καὶ πλεῖστα κατορθούντων, αὐστηρότατοι καὶ πικρότατοι ἐπιτιμηταί, τὰ μὲν κατορθώματα παντὸς ἐξαιροῦντες λόγου καὶ παντελῶς παρορῶντες καὶ σιωπῶντες, μόνα δὲ τὰ σφάλματα διαμνημονεύοντες καὶ ἐκ παντὸς τρόπου διασύροντες. Ἔστι δ᾽ ἄρ᾽ ἄλλο μὲν τὸ τἀλλότρια ἐπανορθοῦν καὶ ἐξελέγχειν (ὃ ῥᾷστόν ἐστιν), ἄλλο δὲ τὸ κατορθοῦν αὐτὸν προὔργου τι ποιοῦντα. Ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἐπανιὼν φημὶ δὴ καὶ ἓν μόνον χωρίον πολλάκις πολλοῦ μὲν πόνου, πολλοῦ δὲ χρόνου εἰς ἐξακρίβωσιν προσδεηθῆναι, ἄλλως τε καὶ ἐπειδὴ προσηνάγκαζον ἐμαυτὸν ἐπὶ πάντων, καὶ ἐπὶ τῶν εὐχερεστέρων ὁμοίως καὶ τῶν δυσχερεστέρων χωρίων, πάσας τὰς ἐκδόσεις καὶ τὰ ἄλλα βοηθητικὰ βιβλία ἐπισκοπεῖν, ἵνα μή τι ῥηθέν με λανθάνοι. Πολλὰ δ᾽ ἐστὶ τὰ ἐν τῷδε τῷ λεξικῷ ἑρμηνευόμενα χωρία, οὐκ ὀλίγα δὲ καὶ τὰ ἐπανορθούμενα, τὰ δ᾽ ἄνευ ἐπανορθώσεως σαφηνιζόμενα πολὺ πλείονα. Εἰ δὲ πάντα τὰ χωρία, περὶ ὧν ἰδίαν γνώμην ἀπεφηνάμην, οὐκ ὀρθῶς ἐπιλέλυται, — τίς γὰρ ἂν τοιοῦτό τι καὶ ἐπικομπάσειεν; — ἐλπίζω πάνυ τὴν ἐμὴν γνώμην, καὶ εἰ μὴ πάνυ ὀρθοῖτο, ὀρθοτέρας γνώμης ἄλλοις αἰτίαν ἔσεσθαι.

Τὸ δὲ πρῶτον μέρος τοῦ παρόντος λεξικοῦ, τὸ πρῶτον νῦν ὑποτυπουμένου, εἰκότως ἀτελέστερόν πως τοῦ λοιποῦ τυγχάνει ὄν. Ἐν γὰρ τῷ μεταξὺ χρόνῳ πλεῖστα μὲν ὅσα χωρία νέα, πολλὰς δ᾽ ἄλλας ἑρμηνείας ἤτοι αὐτὸς ἢ ἄλλοθεν ἐξεύρισκον, ἐπὶ δὲ τούτοις νέας ἐκδόσεις καὶ ἄλλα ἑρμηνευτικὰ συγγράμματα καὶ τὰ τοιαῦτα. Ὃ γιγνόμενον ἐν πᾶσι τοῖς λεξικοῖς πάντες ἴσασιν, ἅτε δὴ πολλοῦ χρόνου καὶ τῆς ἐξεργασίας δεομένης καὶ τῆς ἐκτυπώσεως. Ἀλλ᾽ ἵνα καὶ ἐν τούτῳ τὸ πόνημα μὴ ὑπολείποιτο, καὶ παράρτημα, ἐν ᾧ ἑρμηνεύεται μὲν τὰ παραλειφθέντα ἐπανορθοῦται δὲ τὰ ἐπανορθωτέα, προσέθηκα.

Παιδαγωγικῆς δὲ καὶ ἄλλης διδασκαλίας πλεῖστον μετέχει ἡ βίβλος, καὶ ἄλλως καὶ τῷ τοὺς παλαιοὺς προγόνους ἐπεισάγειν διανοουμένους τε καὶ διαλεγομένους καὶ αἰσθανομένους καὶ οἷον παραβάσει τινὶ χρωμένους, τὰ δὲ παλαιὰ ἐκεῖνα διανοήματα καὶ φρονήματα οὐ δι᾽ ἑρμηνέων ἐκφέροντας, ἀλλ᾽ αὐτοὺς δι᾽ ἑαυτῶν, πλὴν ὅτι πάντα ταῦτα τῇ νεωτέρᾳ ἡμῶν φωνῇ, οἷον μετημφιεσμένα, ἐξαγγέλλεται. Πᾶν δὲ νέον χωρίον ὀρθῶς ἑρμηνευόμενον καὶ νέαν ἔννοιαν καὶ νέον τι φρόνημα

παρεχόμενον εὑρίσκεται. Πῶς δ᾽ οἴει ἡμᾶς ἥδεσθαί τε καὶ εὐφραίνεσθαι, πῶς δ᾽ αὔξεσθαι καὶ προάγεσθαι ἡμῖν τὰ τῆς γλώσσης νοοῦσί τε καὶ φρονοῦσι καὶ αἰσθανομένοις, ὁρῶσιν, ὅτι τοσούτου χρόνου διαγενομένου, πολλὰ διανοήματα καὶ φρονήματα τῷ αὐτῷ τρόπῳ τε καὶ τύπῳ διατελεῖ καὶ χαίρει ἐκφερόμενα;

Ὅτι δ᾽ ἐν τοσαύταις χωρίων μυριάσι πάντως πολλοῖς τισιν ἁμαρτήμασι περιπεπτωκὼς ἂν εἴην, οὐδὲν θαυμαστόν, τοῦτο μὲν λογιζομένῳ τὴν ἀνθρωπείαν φύσιν οὐδὲν μὴ ἐξαμαρτάνειν οὐχ οἵαν τ᾽ οὖσαν, τοῦτο δὲ καὶ τὰς πολλὰς τῶν ἑρμηνευομένων χωρίων, ὧν ἔνια τὸ πρῶτον νῦν ἑρμηνεύεται, δυσχερείας σκοπουμένῳ. Ὁ περὶ τὰ τοιαῦτα σπουδάζων ἔοικεν ἀγνώστους χώρας διαπορευομένῳ καὶ ἐκτὸς τῆς καθημαξευμένης ὁδοῦ ἤτοι ἰέναι ἀναγκαζομένῳ ἢ καὶ παραγομένῳ. Τὸν οὖν τοιοῦτον εἰκὸς *ἀλλαχοῦ* μὲν προσπταίοντα σφάλλεσθαι καὶ ἐκτρέπεσθαι, πολλαχοῦ δὲ καὶ ὀρθοῦσθαι τοῖς ἐπιγιγνομένοις τὴν ὁδόν, ᾗ δεῖ βαδίζειν, ὑποδεικνύντα. Μόνοι γὰρ οἱ πιστῶς καὶ ἀκριβῶς τὰ ἀλλότρια ἐκγράφοντες χωρία οὐ πολλὰ ἐξαμαρτάνουσιν, ἀλλὰ τοὺς ἀνθρώπους πεφυκότας καί, οἷα δὴ ἄνθρωποι, διανοουμένους καὶ δὴ καὶ συγγράφοντας οὐκ ἔστι μὴ οὐ σφάλλεσθαι. Τοιοῦτον δὲ λεξικὸν νῦν τὸ πρῶτον ἐκδίδοται. Πολλάκις δ᾽ οὖν ἀναμιμνῄσκομαι τῶν τοῦ Ξενοφῶντος καλλίστων ῥημάτων ἐκείνων (Ξεν. Ἀπ. Β′, η′, ε′): *Οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ᾽ ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι· χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντι μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν».* Ἀλλὰ τοῦτο μὲν ἀφορμὴν ἐνδίδωσιν ἄλλοις, ἀκριβέστερον τὸ πρᾶγμα ἐξετάσαντας καὶ ἐρευνήσαντας, ἀνευρεῖν τὴν ἀλήθειαν, ἣ πολλάκις ἐν πολλῷ τινι ἀποκειμένη βάθει, δυσδιεξιτήτῳ τε καὶ δυσερευνήτῳ, οὔτε ὁρατὴ οὔτε ἁπτή, οὔτε ἄλλως προσιτὴ τυγχάνει οὖσα, ἡ δ᾽ ἀλήθεια ὅμως σκοπὸς τῆς ἐπιστήμης.

Εἰ δ᾽ ἐξεγένετό μοι τῷ Ὁρατίου παραγγέλματι κατακολουθεῖν, καὶ εἰ μὴ ἐννέα Διὸς μεγάλου ἐνιαυτούς, ἀλλὰ γοῦν τὸ ἥμισυ τοῦ χρόνου τὴν τοῦ λεξικοῦ τοῦδε ἔκδοσιν ἀναβάλλεσθαι, πάντως ἂν τελειότερον καὶ ἀρτιώτερον ἐξειργασάμην. Νῦν μέντοι τὸ μὲν καὶ αὐτὸς σπεύδων καὶ οἷον ὑπὸ τοῦ προβεβηκότος μοι χρόνου διωκόμενος, ἐπὶ τὴν τῆς βίβλου τελευτὴν πάντα τρόπον ἵεμην. Τοῦ γὰρ βίου βραχέος ὄντος, τῆς δὲ τέχνης μακρᾶς, οὐ διέλιπον ἐννοούμενος, μήποτε ἡ ἐμὴ τελευτὴ τὴν τῆς βίβλου προκαταλάβοι· εἰ δ᾽ ἀτελὴς καταλειφθείη, πῶς ἂν τελειοτέραν γενέσθαι ὑπὸ τοῦ διαδεξομένου με, εἴ τις καὶ διαδέξαιτο εἰς συμπλήρωσιν, ἢ εἴπερ ὑπ᾽ ἐμοῦ αὐτοῦ, καὶ σπεύδοντος, εὖ τε καὶ χεῖρον συμπληρωθείη; Ἦν δὲ καὶ ἕτερόν τι τὸ τὴν ἐμὴν σπουδὴν παροξῦνον, ὅτι τοῦ ἀοιδίμου χορηγοῦ ἐν τῷ μεταξὺ τελευτήσαντος, ὁ κληρονόμος πάντας τοὺς τῆς Βιβλιοθήκης μετέχοντας, ἀναπετάσαντας τὰ ἱστία πλησιστίους ἐπὶ τὸ τέρμα κατάγεσθαι ἐκέλευεν. Εἰ γὰρ πλέον τοῦ ἐνιαυτοῦ διαγένοιτο, πρὶν τὰ τῆς Βιβλιοθήκης πονήματα ἐκτυπωθῆναι, τὴν λοιπὴν δαπάνην οὐκ ἀναδέχεσθαι. Οὕτω δὴ τῇ ἐμῇ σπουδῇ ἑτέρας ἐπιγενομένης, εἰκὸς τοὺς τῇ βίβλῳ τῇδε τῇ κατεσπευσμένῃ μᾶλλον ἢ κατεσπουδασμένῃ χρησομένους, συγγνώμονάς μοι καὶ ἐπιεικεῖς εἶναι, τὰ τοῦ Πλουτάρχου σοφὰ ῥήματα διαμνημονεύοντας: «Ἡ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον οὐδὲ κάλλους ἀκρίβειαν· ὁ δ᾽ εἰς τὴν γένεσιν τῷ πόνῳ προδανεισθεὶς χρόνος ἐν τῇ σωτηρίᾳ τοῦ γενομένου τὴν ἰσχὺν ἀποδίδωσι» (Πλουτ. Περικλ. κεφ. 13).

ΣΥΝΤΕΤΜΗΜΕΝΑΙ ΛΕΞΕΙΣ, ΑΞΙΑΙ ΣΗΜΕΙΩΣΕΩΣ

Ἀ. Β. = Ἀνέκδοτα Βεκκέρου.
ἀδ = ἀδέσποτος.
ἀλλ. = ἀλλαχοῦ.
ἀναπ. = ἀνάπαιστος.
ἀναφ. = ἀναφέρεται.
Ἀπ. = ἀπόσπασμα.
ἀπρφ. = ἀπαρέμφατος.
Ἀρφ. = Ἀριστοφάνης.
γρ. = γράφε, γραφή, γραπτέον
Δ. Γ. = διάφορος γραφή.
Df ἢ *Ddf* ἢ *Dind.* = Dindorf.
ἔγρ. = ἔγραψε.
εἰδ. = εἰδικός.
ἐν. = ἐνεστώς.
ἑν = ἑνικός.
ἐνν. = ἐννοεῖται.
ἐπ. = ἐπικός (-κῶς).
ἰδ. = ἰδίως.
ἴδ. = ἴδε.
ἴσ. = ἴσως.
κ. = κεφάλαιον.
κἀλλ. = κἀλλαχοῦ.
κατ. = κατωτέρω.
κἑ. = καὶ ἑξῆς.
λ. = λέξις.
μ. = μέλλων.
μελ. μελικός.
μτβ. = μεταβατικός.
μτγ(ν). = μεταγενέστεροι.
μτφ. = μεταφορά, μεταφορικός (-κῶς).
παρ. = παροιμία.
πλ. = πληθυντικός.
πλ. γρ. = πλημμελὴς γραφή.
Πλ. = Πλάτων.
πρ. = πρόσωπον.
πρκ. = παρακείμενος.
πρτ. = παρατατικός.
ῥ. = ῥίζα.
σ. = σελίς.
σημ. = σημασία, σημαίνει· καὶ = σημειωτέον.
σύντ. = σύνταξις.
συντ. = συντάσσεται.
Σχ. = σχολιαστής, σχόλιον.
τρ. ἢ *τραγ.* = τραγικός.
τριμ. = τρίμετρος.
χ/φον ἢ *χ/φα* = χειρόγραφον (-φα).

Αἱ ἄλλαι συγκεκομμέναι λέξεις εἶνε οἴκοθεν δῆλαι. Αἱ παραπομπαὶ γίνονται εἰς τὰς νεωτάτας ἐκδόσεις.

ΛΕΞΙΚΟΝ ΕΡΜΗΝΕΥΤΙΚΟΝ

ΤΩΝ

ΕΝΔΟΞΟΤΕΡΩΝ ΕΛΛΗΝΩΝ ΠΟΙΗΤΩΝ

ΚΑΙ ΣΥΓΓΡΑΦΕΩΝ

Α

ἀάω (ἀϜάω· πρβ. αὐάταν ⏑ ⏑ – τ. ἔ. ἀϜάταν = ἄτην Πίνδ. Π. 2, 28. 3, 24· ἶσ' ἀάτῃσι Ἡσ. Ἔργ. 352 ἐπιστώθη ἐκ παπύρου. Λακων. ἀάβακτος Ἡσ. (πρβ. ἀϜάζω) ἀντὶ τοῦ ἀάατος) ἐπ. ποιητ. = βλάπτω, ὡς ἄτη = βλάβη· τὸ πρῶτον α εἶνε βραχύ. Ὁ ἐνεστὼς δὲν εὑρίσκεται, ἀντὶ δὲ τούτου ἀάσκει βλάπτει Ἡσ. Ἀόρ. ἄασας Θ 237· ἄασε (ἄᾰ) Μάτρων π. Ἀθην. 135 B (ἐκ διορθ. Σκαλιγέρου: εἴασε), ἆσε λ 61, ἄασαν (ᾰᾱᾰ) κ 68, ἄσας Ἀπ. Σοφ. 571. ἆσαι Ἀπ. Αἰσχ. 417. — Μέσ. ἀᾶται Τ 91. 129. ἀασάμην (ᾱᾰσ-) Ι 116. 119. Τ 137, ἀάσατο (ᾰᾱσ-) Ι 537, ἀάσατο (τὸ πρῶτον α μακρὸν) Λ 340. Τ 95, ἀασάμεσθα (ᾰᾰσ-) Κ. Σμυρν. 5, 422. 9, 509. ἀάσθην (τὸ πρῶτον α βραχὺ) Τ 136, ἀάσθης Ὕμν. Δήμ. 258, ἀάσθη Τ 113, ἀάσθη Ὕμν. 246 (τὸ πρῶτον α μακρόν). Ὑποτ. ἀασθῇ Ἡσ. Ἔργ. 283. ἀασθεὶς (ᾰᾰσ-) φ 301. Ἐπίθ. ῥ. ἄατος (ᾰα) βλαπτικός Ἀπ. Ῥ. 1, 459. ἀάατος (ᾰᾱᾰ) ἄνευ βλάβης χ 5. ἀάατος (ᾰᾰα) Ξ 271. ἄνᾱτος Αἰσχ. Ἀγ. 1210. Σοφ. Ο. Κ. 786.

Σημαίνει: βλάπτω (πνευματικῶς), ἀποτυφλώνω, ἀπομωραίνω, ἀπατῶ. Ζεῦ, ἦ ῥά τιν' ἤδη τῇδ' ἄτῃ ἄασας; Θ 237 ἆρά γε ἔβλαψας ἤδη τινὰ μὲ αὐτὴν τὴν συμφοράν, τὴν ἀπομώρανσιν; ἄασάν μ' ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος κ 68 μὲ ἀπετύφλωσαν. Ὁμοίως λ 61. — Μέσ. ἐν τῇ αὐτῇ σημ. Ἄτην ἣ πάντας ἀᾶται (ἐτυμολογία) Τ 91 ὅλους ἀποπλανᾷ. Τ 129. Ὁ ἀόρ. ἀασάμην = ἥμαρτον, ἀπεβλακώθην Ι 116. Τ 137. ἀάσθην Τ 136 παρεπλανήθην, ἀπετυφλώθην (ἰσοδυναμεῖ τῷ ἐφεξῆς: καί μευ φρένας ἐξέλετο Ζεύς). ἀάσατο μέγα θυμῷ Ι 537. Λ 340 ἀπετυφλώθη, ἀπεμωράνθη πολὺ εἰς τὴν ψυχήν του. — Ζῆν' ἄσατο (Ἄτη) Τ 95 παρεπλάνησεν, ἀπετύφλωσεν (ἰσοδυναμεῖ τῷ ἐφεξῆς ἀπάτησεν). Καὶ κατὰ σύστοιχον σύνταξιν ἤμβροτον ἀασάμην τε κακὴν ἄτην Ἀπολλ. Ῥ. 2, 623 οἷον ἐβλάβην κακὴν βλάβην: ἔπαθον κακὴν συμφοράν. — μέγ' ἀάσθη Π 685 ἀπετυφλώθη πολύ, καὶ δ 503. φρεσὶν ᾗσιν ἀασθεὶς φ 301 ἀποτυφλωθείς. νήκεστον ἀάσθη (-σθῇ Δ. Γ.) Ἡσ. Ἔργ. 283 ἀνιάτως ἐβλάβη: ἀνίατον βλάβην ὑπέμεινε.

ἀβακέω (ἐκ τοῦ ἀβακής, βάζω) μόνον ἐν δ 249 ἀβάκησαν πάντες, ἐγὼ δέ μιν οἴη ἀνέγνων δὲν τὸν ὡμίλησαν (διότι δὲν τὸν ἐγνώρισαν): «ἠγνόησαν» Σχ. «ἄφωνοι δι' ἄγνοιαν» Μ. Ἐ. πρβ. ἀβακής, ἀβακιζόμενος.

ἀβακής (βάζω) 2 ἄλαλος ὡς νήπιον, ἁπλοϊκός, ἀθῷος· ἀλλ' ἀβάκην τὰν φρένα ἔχω Ἀπ. Σαπφ. 72 = ἡσύχιον.

ἀβάκχευτος 2 ὁ ἄνευ βακχικοῦ ἐνθουσιασμοῦ, ἐμπνεύσεως. Ποτνιάδες θεαί, ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν (ἐλλάχετε Nauck) δάκρυσι καὶ γόοις Εὐρ. Ὀρ. 319 αἱ ὁποῖαι ἔσχετε τὸν κλῆρον (τὴν ἀποστολὴν) ν' ἀποτελέσητε θίασον ὄχι βακχικοῦ ἐνθουσιασμοῦ (χαρᾶς) μέτοχον ἀλλὰ δακρύων καὶ γόων. ‖ ὁ οὐ μεμυημένος τὰ μυστήρια τοῦ Βάκχου· τῶν Διονύσου ὀργίων ἀτέλεστος (Λουκ. Συμπ. 3) Εὐρ. Βάκχ. 472.

ἄβαλε (ἄλλοι: ἀβάλε, κυρ. ἆ βάλε) = εἴθε, μτγν. (–⏑⏑). Συντ. μετὰ παρωχημ. ὁριστ. πρὸς δήλωσιν εὐχῆς μὴ πληρωθείσης, ἀβάλε μηδ' ἀβόλησαν (ἴδ. ἀβολέω) Ἀπ. Καλλιμ. 455. ἀβάλε μηδ' ἐγένοντο γάμοι Ἀνθολ. 7,583 εἴθε νὰ μὴ ἐγίνοντο γάμοι. Καὶ μετ' ἀπαρ. ἄβαλε μήτε σε κεῖνος ἰδεῖν Ἀνθολ. 7,699 εἴθε μήτε ἐκεῖνος νά σε ἔβλεπε. Συχνὸν τοῖς μτγν. κατὰ τὴν μαρτυρίαν τοῦ Ἀπολλωνίου (Περὶ συνδ. ἐν Ἀ. Β. 522) καὶ ἄνευ τοῦ ἐν ἀρχῇ α: «τὸ αὐτὸ δηλοῖ βάλε δὴ βάλε (= εἴθε) κηρύλος εἴην», ὅπερ εἶνε Ἀπ. τοῦ Ἀλκμ. 26 (Bergk).

ἀβάπτιστος 2 ὁ οὐ βαπτιζόμενος, οὐ βυθιζόμενος εἰς τὸ ὕδωρ. ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βαθὺν (Bergk:

βαθὺ) σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, φελλὸς ὥς ὑπὲρ ἕρκος, ἅλμας Πίνδ. Π. 2,79 ἐν ᾧ ἐν τῷ βάθει τῆς θαλάσσης ἡ ἄλλη συσκευὴ τῶν δικτύων ἔχει ἐργασίαν, (ἐγὼ) δὲν βυθίζομαι ὑπὸ τῆς θαλάσσης, ὡς φελλὸς ὑπὲρ τὸ δίκτυον. Ἀντὶ τοῦ ἅτε προέτεινεν ἀέ ὁ Bergk. σώματος ἀβαπτίστου Πλουτ. σ. 686 Β νηφαλίου, οὐ βαπτιζομένου τῇ μέθῃ (τῷ οἴνῳ). || ἀβάπτιστον τρύπανον Γαλην. χειρουργικὸν ἐργαλεῖον, ὅπερ ἐμποδιζόμενον ὑπὸ φυλακτῆρος δὲν βυθίζεται ὁλόκληρον.

ἀβάσκαντος 2 ὃν οὐδεὶς βασκαίνει, φθονεῖ. ἀσπάζου Θέωνα καὶ Νικόβουλον τοὺς ἀβασκάντους Πάπυρ. «ποῦ νὰ μὴ βασκανθοῦν». Ὅθεν τὸ ἀβάσκαντον, φάρμακον προφυλάττον ἀπὸ τὸν φθόνον Διοσκ. 3, 105.— Ἐπίρρ. ἀβασκάντως ἐκτὸς βασκανίας, φθόνου· καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις Ἀνθολ. 11, 267 «ποῦ νὰ μὴ βασκαθῇς».

ἄβατος 2 καὶ **ἀβάτη** ἐν Πίνδ. Ν. 3, 36. ἀπάτητος, ἀπροσπέλαστος. ἄβατος ἐρημία Αἰσχ. Πρ. 2. αἰθέρος εἰς ἄβατον φῶς Εὐρ.Φοίν. 817 μέχρι τοῦ ἀπροσπελάστου φωτὸς τοῦ αἰθέρος.Ἴων 86. || ἀδιάβατος, ἰδ.περὶ ὀρέων, ὡς Ἡρ. 4, 25. Ξεν. συχν., καὶ περὶ ποταμῶν, οὓς δὲν δύναταί τις νὰ περάσῃ Ξεν. Ἀν. 5, 6, 9. Πλ. Νόμ. 892Ε. || ἀπρόσιτος· τὸ πόρσω (τ.ἐ. τὸ πέραν τῶν Ἡρακλείων κιόνων) δ' ἔστι σοφοῖς ἄβατον κἀσόφοις Πίνδ. Ὀ. 3, 44. Ἰσοκρ. 3, 33. || περὶ ἱεροῦ τόπου, ὃν δὲν πρέπει τις νὰ πατήσῃ· ἀβάτων ἀποβὰς Σοφ. Ο. Κ. 167. τὰν ἄβατον (ἀπρόσιτον, ἄθικτον) θεοῦ (Βάκχου) φυλλάδα αὐτ. 675. δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατὰ Σοφ. Ἀπ. 85 ὁ πλ. ἔχει τὴν δύναμιν νὰ εἰσχωρῇ καὶ πρὸς τὰ ἄβατα κτλ. ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε σηκὸς ἄβατος ὄρεσι Μαινάδων Εὐρ. Φοίν. 1751 πήγαινε τοὐλάχιστον ἐκεῖ ὅπου, εἰς τὰ ὄρη τῶν Μαινάδων, εἶνε ὁ ἀπροσπέλαστος (τοῖς βεβήλοις) Βακχικὸς ναός· αἰτῶ δὲ Κάδμον ἄβατον ὃς πέδον τόδε τίθησι θυγατρὸς σηκὸν Βάκ. 10 ὃς πέδον τόδε, θυγ. σηκόν, ποιεῖ ἄβατον (ἀπροσπέλαστον τοῖς βεβήλοις). **ἀβατώτατος ὁ τόπος** (τ. ἐ. οἱ τάφοι) Ἀριστ. 924ª 5. || μετὰ λογοπαιγνίου· αἱ τῶν ἑταιρῶν γὰρ διοπετεῖς οἰκίαι γεγόνασιν ἄβατοι τοῖς ἔχουσι μηδὲ ἓν Ἀριστοφῶν ἐν Στοβ. Ἀνθ. 6,27 εἰς τοὺς πτωχοὺς εἶνε ἀπρόσιτοι αἱ οἰκίαι τῶν ἑταιρῶν, διότι εἶνε κεραυνόπληκτοι (ἄβατα δὲ τὰ κεραυνόπληκτα, ἴδ. κατωτ.). ἀβάτους ποιεῖν τὰς τραπέζας οἴομαι αὐτὸν κατασκήπτοντά γ' αὐταῖς τῇ γνάθῳ Ἀνάξιππος ἐν Κεραυν. 3,5 (Ἀθήν. σ. 417 Α) ἐπειδὴ ἐπισκήπτει διὰ τῆς γνάθου κατὰ τῶν τραπεζῶν ὡς κεραυνός, ποιεῖ τὰς τραπέζας ἀβάτους, διότι τὰ χωρία, καθ' ὧν ἐπέσκηπτε κεραυνός, ἦσαν ἄβατα καὶ ἐθεωροῦντο ἱερὰ (πρβ. Εὐρ. Βάκχ. 10. Πλουτ. Πύρρ. 29: τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία). Ἐν τούτῳ λοιπὸν τὸ ἀστεῖον. || ἄθικτος, καθαρός, ἁγνός Πλ. Φαῖδρ. 255 Α. || ἐνεργ. Λουκ. Ὠκυπ. 36 ἄβατος πόνος, ὁ βαίνειν οὐκ ἐῶν (ἡ ποδάγρα).

ἀβελτεροκόκκυξ -υγος ὁ «ἀβέλτερος καὶ κενός» Α. Β. 27. ἀνόητος (σὰν) κοῦκκος.

ἀβέλτερος 3 μωρός, εὐήθης, ἠλίθιος Ἀριστοφ. Πλάτ. Δημ. κλπ. ἀβελτέραν ἕξιν Πλ. Φίλ. 48C = ἀβελτερίαν. ἅπαντές ἐσμεν πρὸς τὰ θεῖ' ἀβέλτεροι Ἀπ. Ἀναξανδρ. 21 (= Τόμ. II σελ. 143 Kock). μηδὲν ὑμεῖς ἀβέλτερον πάθητε Δημ. 19, 534 κυττάξετε νὰ μὴ κάμητε καμμίαν ἀνοησίαν. Ὑπερθ. ἀβελτερώτατος Ἀρ. Βατρ. 989. Δημ. 9, 14.

ἀβελτηρία Π(λημμελὴς) Γ(ραφὴ) ἀντὶ τοῦ ἀβελτερία· διότι ἀβέλτερος εἶνε τὸ ἐπίθ. ὄχι ἀβέλτηρος. Ὁμοίως ἀβελτήριον Π. Γ. ἀντὶ τοῦ ἀβελτέριον.

ἄβιος 2 μεθ' ὃν (ἢ μεθ' ὃ ἢ μεθ' ἣν ἀναφ. εἰς τὸ οὐσ. τοῦ ἄβιος) δὲν δύναταί τις νὰ ζήσῃ, ἀνυπόφορος· αἰσχύνη ἄπορος καὶ ἄβιος Πλ. Νόμ. 873 C. βίος ἄβιος Ἀνθ. 7, 715. || ὁ οὐκ ἔχων τὰ πρὸς τὸ ζῆν, ἄπορος, πένης, μετὰ τοῦ ἄκληρος Λουκ. Ν. Διάλ. 15, 3. Κατὰ τὸν Ἁρποκρατ. τὸ ἄβιον ἔταξεν ὁ Ἀντιφῶν ἀντὶ τοῦ πολὺν βίον κεκτημένου. Ἐν Ν 6 τὸ Ἀβίων εἶνε κύρ. ὄνομα, κατ' ἄλλους ἐπίθ. ἄποροι, ἄνευ βίου: μὴ βίαιοι: ἄτοξοι ἴδ. Α. Β. 326.

ἀβίοτος ποι. = ἀβίωτος· κατακονὰ ἀβίοτος βίου Εὐρ. Ἱππ. 821 ἀβίωτον τὸν βίον ποιοῦσα. Ἀνθ. 9, 574.

ἀβίωτος 2 ὃν δὲν δύναταί τις νὰ ζήσῃ, ἀνυπόφορος· ὁ βίος ἀβίωτος γίγνοιτ' ἂν Πλ. Πολιτικ. 299 Ε. πρβ. ἀβίωτον ᾤετ' ἔσεσθαι τὸν βίον αὐτῷ Δημ. 21, 131 ἐνόμιζεν ὅτι ὁ βίος θὰ τοῦ εἶνε ἀνυπόφορος (δὲν θ' ἀξίζῃ νὰ ζῇ). ἀβίωτα γὰρ ἦν μοι σοῦ ἀποθανόντος Λουκ. Ν. Διάλ. 13. Ἀρ. Πλ. 969 καὶ συχν. παρὰ κωμ. καὶ ῥήτορσιν. Καὶ κατὰ σύστοιχον σύντ. ἀβίωτον ζῶμεν βίον Ἀπ. Φιλήμ. 93. Αἰσχ. 1, 183. Δημ. 24, 141. ἀβίωτον τὸν ἔπειτα χρόνον βιοτεύσει Εὐρ. Ἄλκ. 241 θὰ ζήσῃ ἀβ. βίον κατὰ τὸν ἐπ. χρόνον.— τοῖς δὲ κακοῖς ταπεινός τε καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται Ξεν. Κ. Π. 3, 3, 52 εἰς δὲ τοὺς κακοὺς θὰ ἐπιφυλάττηται (ἐπικρέμαται, ἐπαπειλῆται) ταπ. καὶ ἀβ. ὁ χρόνος τῆς ζωῆς.— ἀβίωτόν ἐστιν Πλ. Μενέξ. 246 D δὲν δύναταί τις νὰ ζήσῃ. ἀναπτύξω δέ σοι ἀβίωτον ἡμῖν ὂν Εὐρ. Ἡρ. Μ. 1257 ὅτι δὲν ἐμποροῦμεν νὰ ζήσωμεν, ὅτι ὁ βίος εἶνε ἀνυπόφορος. ἃς (ξυμφορὰς) ἀβίωτον ζῆν κεκτημένῳ Πλ. Νόμ. 926 Β τ. ἐ. τῷ κεκτημένῳ τὰς ξυμφορὰς ταύτας τὸ ζῆν (ἐστὶν) ἀβίωτον. —Ἐπίρρ. ἀβιώτως διετέθησαν ὑπὸ λύπης Πλουτ. Σόλ. 7 ἐβαρέθησαν τὴν ζωήν των ἀπὸ λύπην. νοσῶν ἔδοξεν ὁ Διονύσιος ἀβιώτως ἔχειν Πλουτ. Δίων. 6 ὅτι δὲν εἶνε γιὰ ζωή.

ἀβλαβής 2 (βλάβη) ὁ οὐ βεβλαμμένος, ἀκέραιος Πίνδ. Π. 8,54 Αἰσχ. Ἑπτ. 68. ὧδε ζῶσαν ἀβλαβεῖ βίῳ Σοφ. Ἠλ. 650, ὅπου τὸ ἀβλ. βίῳ εἶνε ἐπεξήγησις εἰς τὸ ὧδε. Συχν. πεζ. || ὁ οὐ βλάπτων, ἀθῷος (ξυνουσία

Αἰσχ. Εὐμ. 285). ἀβλαβές τε καὶ ὠφέλιμον Πλ. Φίλ. 63. σπονδαὶ ἄδολοι καὶ ἀβλαβεῖς ἄνευ δόλου καὶ βλάβης Θουκ. 5,18.47. || προλαμβάνων (ἀπομακρύνων) τὴν βλάβην. ἄλεσσιν μεμιγμένον . . ἀβλαβὲς ὕδωρ Θεόκρ. 24,97. βατὸς ὄλβος ἀβλαβὴς βροτοῖς 'Απ. Εὐρ. 825. ἣν γάρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας Θεόκρ. 12,25 καὶ ἂν με βλάψῃς τι, εὐθύς με ἱκανοποιεῖς. 'Αμφοτέρας τὰς σημ. ἔχει π. Πλάτ. Νόμ. 953 Β: ἀβλαβεῖς τοῦ δρᾶσαί τε καὶ παθεῖν χωρὶς νὰ προξενήσωσι καὶ πάθωσι βλάβην.

ἀβλεμής 2 (πρβ. βλεμεαίνω) ἀδύνατος, ἀδρανής. Νίκ. ἀλ. 82. ἀβλεμὲς προσπίπτει Λογγῖν. π. ὕψ. 29 καταντᾷ νὰ μὴ ἔχῃ δύναμιν. — 'Επίρρ. ἀβλεμέως πίνων = ἀκρατῶς Πανύασ. π. 'Αθήν. 36 Δ. («ἀφροντίστως» Σουΐδας).

ἀβλής-ῆτος ὁ καὶ ἡ, ὁ οὔπω βεβλημένος· ἐκ δ' ἕλετ' ἰὸν ἀβλῆτα Δ. 117 ἀμεταχείριστον, καὶ 'Απολλ. 'Ρ. 3,279.

ἄβλητος 2 οὐ βεβλημένος (βέλει), ἀντιπαρατίθ. ἀνούτατος· ὅστις ἔτ' ἄβλητος καὶ ἀνούτατος ὀξέϊ χαλκῷ Δ. 540 ἀκτύπητος μακρόθεν (διὰ βέλους) καὶ ἀπλήγωτος ἐκ τοῦ πλησίον δι' ὀξέος χαλκοῦ. «ἄβλητα βέλη τὰ μὴ πεμφθέντα εἰς τρῶσιν» Σουΐδας καθ' 'Ησ.

ἀβοήθητος 2 ἐστερημένος βοηθείας, ἀβ. ἕλκος Πολύβ. 1,81 ἀνίατον. ἀβ. πληγαὶ 16,4. — 'Επίρρ. τελευτῶσιν ἐξαιματοῦντες ἀβοηθήτως Διοσκ. π. ἰοβ. ιβ' χωρὶς νὰ δύναταί τις νὰ τοὺς βοηθήσῃ.

ἀβοητί, δωρ. ἀβοατί, ἄνευ βοῆς, ἄνευ προσκλήσεως, αὐτόκλητος Πίνδ. Ν. 8.9.

ἀβολέω (κατὰ τὸ ἀντιβολέω), ἀβολήσω, ἀβόλησα· ἀβολήσομεν («συντευξόμεθα» Σχ.) ἐνθάδ' ἰόντες 'Απολλ. 'Ρ. 3,145.— ἀβ. τινί, 2,770. — ἀβάλε μηδ' ἀβόλησαν 'Απ. Καλλιμ. 455 εἴθε νὰ μὴ συνήντων (ἐμὲ τὴν Μήδειαν οἱ 'Αργοναῦται)· καὶ ἀβ. τινὸς 'Ορφ. 'Αργ. 472 ἐξ εἰκασ. 'Ερμάννου.

ἄβολος 2 ὅστις (κυρ. ἵππος, ὄνος, ἡμίονος) δὲν ἤλλαξεν (δὲν ἀπέβαλεν) ἀκόμη τοὺς πρώτους ὀδόντας τοὺς βαλλομένους. 'Ο ὀδούς, ἐξ οὗ γνωρίζεται ἡ ἡλικία, ὀνομάζεται γνώμων, ὁ αὐτὸς δὲ καὶ βαλλόμενος. Λιπογνώμονες δὲ οἱ ἀπογεγηρακότες ἵπποι, ὡς ἀπολελοιπότες τὸν γνώμονα (πρβ. 'Α. Β. 322).— ἄβ. πῶλος Πλ. Νόμ. 834 C. Στράτ. π. Πολυδ. 10,55. ἄβ. ἵππος καὶ ἡμίονος 'Αριστοτ 576b 15. «ἄβολον κτῆνος τὸ μὴ ἀποβεβληκὸς τοὺς ὀδόντας, δι' ὧν γνωρίζεται ἡ ἡλικία» 'Α. Β. 20.

ἀβός δωρ. = ἡβός, ἡβῶν, ἀκμαῖος, ὥριμος· μή μευ λωβάσησθε τὰς ἀμπέλους· ἐντὶ γὰρ ἀβαὶ Θεόκρ. 5,109. Ἧττον ὀρθὸν τὸ ἄβος.

ἀβουκόλητος 2 ὃν οὐ φυλάττει (κυρ. οὐ βουκολεῖ) τις, περὶ οὗ δὲν φροντίζει τις· ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι Αἰσχ. 'Ικ. 930 τοῦτο εἶνε ἀδιάφορον εἰς ἐμὲ (εἰς τὸ ἐμὸν φρόνημα).

ἀβουλέω (ἄβουλος) οὐ βούλομαι, δὲν θέλω. Πλ. Πολ. 437c μετὰ τοῦ μὴ ἐθέλειν· μετ' ἀπαρεμφ. Πλ. 'Επ. 7,347 Α. Δημ. 'Επ. 2. οὐδ' ὑμᾶς ἐνόμιζον ἀβουλεῖν με ἔξω προπηλακισμοῦ γενέσθαι Δημ. 1471,19 ἐνόμιζον ὅτι καὶ ὑμεῖς ἠθέλατε νὰ εἶμαι ἐκτὸς προπηλακισμοῦ, νὰ μὴ προπηλακισθῶ. μτγν.

ἀβουλία ἡ, ἔλλειψις βουλῆς, κακὴ σκέψις· ἐξ ἀβουλίας (ἀβουλίᾳ) πεσεῖν Σοφ. 'Ηλ. 398. 429 «διὰ κακοβουλίαν» Σχ. ἀντίθ. εὐβουλία, σωφροσύνη. ἐπαρθέντες ἀβουλίῃ 'Ηρ. 7, 9 παρασυρθέντες ἐξ ἀπερισκεψίας. Καὶ πληθ. ἀπολέεται ἡ 'Ελλὰς ἀβουλίῃσι 'Ηρ. 8,57 ἐξ ἀπερισκεψιῶν. κρατηθεὶς ἐκ φίλων ἀβουλιᾶν Αἰσχ. 'Επτ. 750 «ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν» Σχ.

ἄβουλος 2 (βουλή), ὁ ἄνευ βουλῆς, ἀπερίσκεπτος, κακῶς βουλευόμενος· ἀντίθ. εὔβουλος. Σοφ. 'Αντ. 1026. τί τὴν ἄβουλον στάσιν γλώσσης ἐπήρασθε; Ο. Τ. 634 τί ἐσηκώσατε (ἠγείρατε) τὴν ἀπερίσκεπτον ταύτην λογομαχίαν; Συγκρ. ἀβουλότερος Θουκ. 1, 120. || ἐνεργ. τίς ὧδε τέκνοισι Ζῆν' ἄβουλον εἶδεν; Σοφ. Τρ. 140 ἔχοντα τόσον ὀλίγην πρόνοιαν διὰ τὰ τέκνα του;— οὐκ ἀβούλως ἀλλὰ πόρρωθεν κατεσκευασμένα Φερεκράτ. π. 'Αθήν. 481 Β (ἴδ. πόρρωθεν). 'Αλλ' ἐν 'Αντιφῶν. 1, 13 ἀβούλως τε καὶ ἀθέως διαχρήσασθαί τινα σημ. κακοβούλως.

ἀβροβάτης ὁ ἁβρὰ (ἁβρῶς) βαίνων, ὁ μαλθακῶς (ὡς αἱ γυναῖκες) περιπατῶν Αἰσχ. Πέρσ. 1073. Πρβ. ἁβρῶς βαίνειν Εὐρ. Μήδ. 830 καὶ ἁβρὸν βαίνειν 1164. ἁβροβάταν κέλευσεν ἅπτειν ξύλινον δόμον Βακχυλ. 3, 48 ἐνν. εὐνοῦχόν τινα παῖδα ἁβρὸν βαίνοντα· πρβ. Εὐρ. Τρ. 820.

ἀβρόγοος 2 ὁ ἁβρῶς (μαλθακῶς) γοώμενος, θρηνῶν· αἱ δ' ἁβρόγοοι Περσίδες Αἰσχ. Πέρσ. 544 «αἱ ἐντρυφῶσαι τοῖς δάκρυσι (γόοις)» Σχ. Μᾶλλον γρ. ἁβρογόος.

ἀβρόδαις -δαιτος ὁ, ἡ, ἁβρὰν δαῖτα ἔχων· πρὸς δὲ μιᾷ πάντας δειπνεῖν ἁβρόδαιτι (πολυτελεῖ) τραπέζῃ 'Αρχεστρ. ἐν 'Αθήν. 4 Ε.

ἀβροδίαιτα, ἡ (πληθ. σύνθ. ἀντὶ) ἁβρὰ δίαιτα· «τρυφερὰ ζωὴ καὶ ἁπαλή» 'Α. Β. 322. Αἰλ. Π. 'Ι. 12, 24.

ἀβροδιαιτάομαι πληθ. σύνθ. = ἁβρῶς διαιτῶμαι Σχολ. 'Αρ. Εἰρ. 1193, ὅπου ὁ Βέκκ. γρ. ἁβρῶς διαιτωμένους

ἀβροδίαιτος 2 ἁβρῶς διαιτώμενος, ζῶν μαλθακῶς· ἁβροδιαίτων Λυδῶν ὄχλος Αἰσχ. Πέρσ. 42· διὰ τὸ ἁβροδίαιτον Θουκ. 1, 6 διὰ τὴν μαλθακὴν δίαιταν.

ἄβρομος 2 (βρέμω) ὁ μέγαν βρόμον, κρότον, ποιῶν. Ἕκτορι Πριαμίδῃ ἅμοτον μεμαῶτες ἕποντο, ἄβρομοι, αὐίαχοι 'Ομ. Ν 41 πολὺ θορυβοῦντες, μεγαλοφώνως κραυγάζοντες. ἄβρομον κῦμα 'Απολλ. 'Ρ. 4 153 ἀθόρυβον (Ἄλλοι = βρέμον).

ἀβροπάρθενος, ἀβροπαρθένους (= ἐξ ἁβρῶν παρθένων) εὐιώτας χοροὺς ἄγνωστος λυρ. ποι. ἐν 'Αριστοξ. 'Ρυθ. στοιχ. Ι. σ. 15 (The Oxyrrhynchos Papyri).

ἀβρόπηνος 2 ὁ ἁβρὰν *πήνην* ἔχων, ὁ λεπτὴν ὑφὴν (στήμονα ἔχων, λεπτοΰφαντος. ἁβροπήνους πέπλους Λυκόφ. 863, ἐξ οὗ μετεγράφη τὸ παρ' Αἰσχ. Ἀγ. 695 ἁβροτίμων (ὃ ἴδε) εἰς ἁβροπήνων ἐν οὐ δέοντι.

ἁβρόπλουτος 2 ἁβρῶς πλούσιος. χαίτας ἁβροπλούτοιο εἰς ἔριν ὀρνυμένα Εὐρ. Ι. Τ. 1149 ὅτε ἠγειρόμην εἰς ἅμιλλαν (περὶ) κόμης χρυσῷ κόσμῳ ἀναδεδεμένης.

ἁβρόπους 2 ὁ ἔχων ἁβροὺς πόδας· Λεσβίδες ἁβροπόδων βῆμαθ' ἑλισσόμεναι Ἀνθ. 9, 189, ὅπου ὀρθῶς νῦν γράφ. ἁβρὰ ποδῶν τ. ἔ. στρέφουσαι τὰ ἁβρὰ τῶν ποδῶν βήματα.

Ἀμεταβ. συνήθως μετ' ἐπιρρ. τελευτῶ, ἀποχωρῶ. ὁ στόλος οὕτω ἀπήλλαξε Ἡρ. 5, 63 τοιοῦτον τέλος ἔλαβε. χεῖρον ἡμῶν ἀπηλλάχασιν Δημ. 18, 65 «χειρότερα τὰ πῆγαν ἀπὸ ἡμᾶς»: ἔπαθαν χειρότερα ἀπὸ ἡμᾶς. πῶς ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ; Ξεν. Ἀπ. 3, 13, 6 «πῶς τὰ ἐπῆγε μὲ τὸν δρόμον»; ἄριστ' ἀπαλλάττεις ἐπὶ τούτου τοῦ κύβου Δίφιλ. Ἀπ. 73 (Ἀθήν. 247 Α) πολὺ καλὰ τὰ πηγαίνεις μὲ τοῦτον τὸν κύβον. Μετὰ μτχ. οὔτ' ἂν τροφὴν δύναισθε λαμβάνειν οὔτε χαίροντες ἂν ἀπαλλάξαιτε Ξεν. Ἀν. 5, 6, 32 οὔτε ἀβλαβεῖς ἠθέλατε ἀποχωρήσῃ («ξεμπερδεύσῃ»). Τὸ ἐν Εὐριπ. Ἑλ. 302 σμικρὸν δ' ὁ καιρὸς ἄρτ' ἀπαλλάξαι βίου διορθ. καὶ ἄλλως καὶ ὧδε πιθανῶς: σμικρὸς δ' ὁ καιρὸς σάρκ' (ἢ κρᾶτ') ἀπαλλάξαι βίου: ἐν μιᾷ στιγμῇ δύναταί τις νὰ ἀπαλλαγῇ τῆς ζωῆς.—Μέσ. ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει Θουκ. 8, 83 θὰ μεταβῇ ἐκεῖσε (τ. ἔ. πρὸς τὸν Φαρνάβαζον), ὅθεν θὰ ἔχῃ τροφήν. εὖ οἶδ' ὅτι ἄσμενος ἂν πρὸς ἄνδρα οἷος σὺ εἶ ἀπαλλαγείη Ξεν. Κ. Π. 6, 1, 45 καλῶς γνωρίζω, ὅτι εὐχαρίστως ἤθελεν ἀφήσῃ αὐτὸν καὶ ἔλθῃ πρὸς ἄνδρα, ὁποῖος σὺ εἶσαι. ἐπειδὴ τῶν διδασκάλων ἀπηλλάγημεν Πλ. Γοργ. 514 C ἀφ' οὗ ἀφήσαμεν τοὺς διδασκάλους (τὸ σχολεῖον: «ἐξεσχολήσαμεν»). ἀπηλλάγη ἐκ παίδων Αἰσχίν. 1, 40 ἐξῆλθεν ἐκ τῆς παιδικῆς ἡλικίας. ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι Πλ. Ἐπ. 8 σ. 356 Β ἐὰν θέλῃ ἑκουσίως νὰ λάβῃ τὸ σχῆμα τοῦ βασιλέως, νὰ γίνῃ βασιλεὺς καὶ νὰ ἡσυχάσῃ. Παρ' Ἡροδ. 2, 144 θεῶν πολλὸν ἀπηλλαγμένους = κεχωρισμένους (ἢ ὑπολειπομένους).—Ἀπαλλάττομαι (τοῦ βίου = ἀποθνήσκω. δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν Θουκ. 2, 42 ἐν ἐλαχίστῃ κρισίμῳ στιγμῇ, ὅτε ἤκμαζεν ἡ προσδοκία τῆς δόξης μᾶλλον ἢ τοῦ φόβου (ὅτε ἤλπιζον νίκην μᾶλλον ἢ ἐφοβοῦντο ἧτταν), ἀπέθανον. Τὸ ἀποθνήσκειν λέγεται γραφικώτερον καὶ ἀπαλλάττεσθαι πραγμάτων Ἀρφ. Ἀχ. 757. Εἰρ. 352 κλ. ὡς καὶ ἐν τῇ συνηθείᾳ «γλυτώνω ἀπὸ τὰ βάσανα» καὶ «ἀπέθανε καὶ ἐγλύτωσε». Ὁμοίως καὶ Πλ. ἐν Ἀπολ. 41: ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι.—Ἀπολύτ. τοῦδ' ἀπαλλαγέντος ἐν μακρῷ χρόνῳ Σοφ. Ἀντ. 422 τούτου (τοῦ σκηπτοῦ) παρελθόντος. ἀπαλλάγηθι εἰπών Πλ. Γοργ. 491 C εἰπὲ καὶ τελείωνε: εἰπὲ ἐπὶ τέλους. οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει; Σοφ. Ἀντ. 244 τέλος πάντων λοιπὸν δὲν θὰ εἴπῃς, καὶ ἔπειτα νὰ κρημνισθῇς ἀπὸ ἐδῶ; Διάφορον τὸ Ἥφαιστε, γείτονος κακοῦ λαμπρὸν πυρώσας ὄμμ' ἀπαλλάχθηθ' ἅπαξ Εὐρ. Κύκλ. 599 ἀφ' οὗ τοῦ κακοῦ γείτονος τὸ λαμπρὸν ὄμμα κατακαύσῃς, ἀπαλλάχθητι ἅπαξ διὰ παντὸς αὐτοῦ: γλύτωσε μιὰ γιὰ πάντα ἀπ' αὐτόν.—Παθητ. τοῦτο μὲν δὴ ἀπήλλακται, μὴ φίλου τινὸς ἕνεκα τὸ φίλον φίλον εἶναι Πλ. Λυσ. 220 Β τοῦτο μὲν λοιπὸν τὸ ζήτημα ἔχει ξεκαθαρισθῇ, δηλ. τὸ νὰ μὴ εἶνε κτλ.—Ἐπὶ δικαστικῆς ἐννοίας. τοὺς δανείσαντας ἀπήλλαξε Δημ. 34, 22 ἐξώφλησε μὲ αὐτούς, δηλ. πληρώσας τὸ χρέος ἀπηλλάγη. Ὁμοίως Ἰσαῖ. 5, 20 κἀλλ. ἀφῆκε καὶ ἀπήλλαξε Δημ. 36, 25. 37 ἀπέσυρε πᾶσαν κατηγορίαν (ἀφῆκε) καὶ πᾶσαν ἀπαίτησιν (ἀπήλλαξε)· ἴδ. Ἁρποκρατίωνα.

ἀπαλοάω, ποι. ἀπαλοιάω, ἀλωνίζω· ὀστέα λᾶας ἀναιδὴς ἀπηλοίησεν Δ 521 κατασυνέτριψεν (ὡς τὰ στάχυα ἐν τῷ ἀλωνίῳ).

ἀπαμβλύνω καθιστῶ ἀμβλύ, ἀποστομώνω, χαλνῶ τὸν ἀθέρα, τὴν κόψιν· τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ Αἰσχ. Ἑπτ. 702 (ἴδ. θήγω). ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας Πίνδ. Π. 1, 82 ἡ ὀχληρὰ (ἀπεχθὴς) ἀηδία (μεθ' ἧς ἀκούει τις ἀλλοτρίους ἐπαίνους) ἀδυνατίζει ταχέως τὴν προσδοκίαν τῶν ἀνθρώπων τ. ἔ. ἡ πλατεῖα ἔκθεσις τῶν πραγμάτων ἀπαμβλύνει τὸ ἐνδιαφέρον τῶν ἀκροατῶν. Συχνότερον τὸ παθ. ἀπαμβλυνθήσεται γνώμην Αἰσχ. Πρ. 892 θὰ γίνῃ μαλακωτέρα ὑπὸ τοῦ ἔρωτος (ἡ μεταφορὰ ἐκ τοῦ στόματος τῆς μαχαίρας). Ὁ παθ. πρκ. ἀπήμβλυμμαι (ὡς Πλουτ. 786 Β) γρ. διὰ δύο μ. ἤδη γὰρ αὐγὴ τῆς ζοῆς ἀπήμβλυνται Ἡρώνδα 10, 4 διότι τώρα πλέον ἡ λάμψις (τὸ φῶς) τῆς ζωῆς ἔχει ἀδυνατίσῃ, ἐξασθενήσῃ, θαμβώσῃ.

ἀπαμβροτεῖν ἴδ. ἀφαμαρτάνω.

ἀπαμύνω: πόλις ᾗ κ' ἀπαμυναίμεσθα Ο 738 ἐν ᾗ ἢ δι' ἧς δυνάμεθα νὰ ὑπερασπίσωμεν τὸν ἑαυτόν μας.

ἀπάνευθε(ν) μακράν· τοῦ ἀπάνευθε σέλας ἐγένετο Τ 374 ἀπὸ τούτου (τοῦ σάκους) λάμψις προῆλθεν, ἐξεπέμφθη, μακράν.

ἀπανθίζω ἀποδρέπω ἄνθη. Μτφ. τούσδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι κἀκβαλεῖν ἔπη τοιαῦτα (οὐκ ἀνασχετόν) Αἰσχ. Ἀγ. 1662 εἶνε ἀνυπόφορον οὗτοι νὰ ἐπιρρίψωσιν ἐναντίον μου ὅλα τὰ ἄνθη ἀκολάστου γλώσσης καὶ νὰ ἐκστομίσωσι τοιούτους λόγους. Ἡ διόρθ. τοῦ Blomfield ἀκοντίσαι οὐδαμῶς ἀναγκαία.

ἀπανίστημι, ἐνεργ. καὶ μέσ. Θουκ. 1, 2, ὅπου τὸ ἀπανίσταμαι σημ. κυρ. σηκώνομαι καὶ φεύγω ἀπὸ ἕνα τόπον εἰς ἄλλον.

ἀπαντάω (ἴδ. ἀντάω) συναντῶ, ἐνταμώνω· μετὰ δοτ. Ἡρόδ. Θουκ. Πλ. καὶ ἐπὶ πραγμ. πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς αἰθέρα, πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον Ἀπ. Εὐρ. 687 πρωτίτερα θὰ ὑπάγουν τὰ ἄστρα κάτω ἀπὸ τὴν γῆν καὶ ἡ γῆ ἐπάνω, πρὶν ν' ἀκούσῃς ἐξ ἐμοῦ κολακευτικὸν λόγον. Καὶ ἀπολύτ. ἵπποι καὶ ὄνοι.. κατὰ τὰς ὁδοὺς ἐμβάλλοντες τῷ ἀεὶ ἀπαντῶντι, ἐὰν μὴ ἐξίστηται Πλ. Πολ. 563 C πίπτοντες ἐπάνω εἰς τὸν εὑρισκόμενον ἑκάστοτε ἐμ-

πρός των, ἐκτὸς ἐὰν παραμερίζῃ. Ἀλλὰ συνήθως εὑρηται συντεταγμένον μετὰ δοτικῆς (ἥτις πολλάκις παραλείπεται) καὶ μετ' ἐμπροθέτου διορισμοῦ, δηλοῦντος τὸν τόπον, ἐν ᾧ ἡ ἀπάντησις. αὐτῷ ἐς Ἐλευσῖνα οὐκ ἀπήντησαν Θουκ. 2, 20. ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας ἀπαντησόμενος 4, 77 διὰ νὰ ἐμφανισθῇ εἰς τὰς Σ. ἐν δέοντι χρόνῳ. Συχνὴ παρὰ Δημ. ἡ φράσις ἀπαντᾶν ἐπὶ τὴν δίαιταν ἐμφανίζεσθαι πρὸ τῶν διαιτητῶν, ὡς 21, 93. πρβ. 33, 18. κἀπὶ τοῖς ἀλλοτρίοις ἀγῶσιν ἀπαντᾷ 21, 205 καὶ εἰς τὰς ξένας δίκας (ἀναμιγνυόμενος) ἐμφανίζεται ἀπέναντί μου. ἐπὶ τὸ ὀμόσαι οὐκ ἀπήντα 33, 14 δὲν ἐνεφανίζετο διὰ νὰ ὁρκισθῇ. ἐπαγγείλας Φαινίππῳ ἐπὶ τὰ ἱερὰ ἀπαντᾶν 52, 7 ὑποχρεώσας τὸν Φ. νὰ ἐμφανισθῇ εἰς ὡρισμένον τόπον καὶ χρόνον, ἵνα ὁρκισθῇ. — Ἄλλως ἀναγκάζονται ἐπὶ ταύτας τὰς οἰκίας ἀπαντᾶν, ὅσαις τὰ τοιαῦτα συμβέβηκε πάθη Ἀριστοτ. Ποιητ. κεφ. 14 (1454^a 11) ἀναγκάζονται νὰ συναντῶνται εἰς ταύτας τὰς οἰκογενείας, εἰς ὅσας ἔχουν συμβῇ τὰ τοιαῦτα πάθη. — Τὸ ἀπαντώμενος ψέγει ὁ Λουκιαν. ἐν Λεξιφάν. κεφ. 25 ὡς «οὐδὲ μετοικικὸν τῆς Ἀθηναίων φωνῆς» δηλ. ὡς οὐδ' ἄλλοθέν ποθεν εἰσαχθὲν εἰς τὴν Ἀττικὴν γλῶσσαν.

ἀπαντλέω ἀντλῶ ἀπό τινος, ἀντλῶν ἐλαττώνω. τί σοι οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων; Αἰσχ. Πρ. 84 τί (ἐκ) τούτων τῶν πόνων δύνανταί σοι οἱ θνητοὶ ἐλαττῶσαι (ἀνακουφίσαι); ἀπ. χθονὸς ὕβρισμα θνητῶν Εὐρ. Ὀρ. 1642 (ἴδ. πλήρωμα). — τὰ δ' εἴσω διὰ παντὸς νενοσηκότα σώματα οὐκ ἐπιχειρεῖν διαίταις κατὰ σμικρὸν ἀπαντλοῦντα καὶ ἐπιχέοντα μακρὸν καὶ κακὸν βίον ἀνθρώπῳ ποιεῖν Πλ. Πολ. 407 D δὲν ἐπεχείρει ὀλίγον κατ' ὀλίγον ἐξαντλῶν διὰ τῆς διαίτης τὰ ἐσωτερικῶς ὅλως δι' ὅλου πάσχοντα σώματα καὶ δίδων εἰς αὐτὰ ὀλίγην τροφὴν (ἀλλὰ κυρίως κατὰ τὴν αὐτὴν μεταφοράν: ἐξαντλῶν τρόπον τινὰ τὴν ἐσωτερικὴν ἰκμάδα τῶν πασχόντων σωμάτων καὶ ἐπιχέων [ἄλλην τοιαύτην ἐν μικρᾷ ποσότητι) νὰ παρασκευάζῃ μακρὸν καὶ κακὸν βίον εἰς τὸν ἄνθρωπον.

ἀπανύω (ἴδ. ἀνύω) ἀποτελειώνω· νῆες ἀπήνυσαν οἴκαδ' ὀπίσω (δηλ. ὁδόν) η 326 ἀπετελείωσαν τὴν οἴκαδε ὁδὸν ὀπίσω. Ἄλλοι: διήνυσαν πάλιν ὀπίσω τὴν ὁδόν.

ἀπαξιόω δὲν κρίνω ἄξιον, θεωρῶ ἀνάξιον. Καὶ μέσ. Ζεὺς δ' αἱμοσταγὲς ἀξιόμισον ἔθνος τόδε λέσχας ἃς ἀπηξιώσατο Αἰσχ. Εὐμ. 366 ὁ Ζ. ἀπηξίωσεν (ἔκρινεν ἀνάξιον) τῆς συνομιλίας του τὸ αἱμ. ἀξιομίσητον γένος τῶν φονέων.

ἀπάορος (πᾶ) Δωρ. ἀντὶ τοῦ ἀπήορος, «κεχωρισμένος, ἀφωρισμένος» Σχ. κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι πτώσσοντι Πίνδ. Π. 8, 86 κατὰ δὲ τὰς στενωποὺς (βαίνοντες) ἀποκεχωρισμένοι τῶν ἐχθρῶν (ἵνα μὴ τοὺς περιγελάσωσι) κρύπτονται ἔντρομοι.

ἄπαππος 2 οὐκ ἔχων πάππον, προγόνους. φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός Αἰσχ. Ἀγ. 323 οὗ ὁ πάππος ἦν τὸ Ἰδαῖον πῦρ: ἐκ τοῦ Ἴδ. πυρὸς καταγόμενον.

ἀπαραίτητος 2 ὃν οὐ παραιτήσαιτο ἄν τις: ἄκαμπτος, ἀμείλικτος (δαίμων, δίκη, δικαστής) Πλάτ. Λυσ. Δημ. κλ. ‖ ἄφευκτος (κίνδυνος, κακόν). μεγάλας καὶ ἀπαραιτήτους ἐπιτεθεικότες τιμωρίας Δείναρχ. 1, 23 τιμωρίας, ἐφ' αἷς παραίτησις οὐκ ἔστι: ἃς δὲν δύναταί τις ν' ἀποφύγῃ διὰ δεήσεως: διὰ τὰς ὁποίας οἱ δικασταὶ εἶνε ἄκαμπτοι. — ἓν δὲ Πέρσαις τῶν ἱκετευμάτων μέγιστον ἦν καὶ ἀπαραίτητον Πλουτ. 950 F ὅπερ δὲν ἠδύνατο ν' ἀποκρουσθῇ.

ἀπαράμυθος (ἀπ-, ἐν Αἰσχ. Πρ. 201 ᾱπ- διὰ τὸ μέτρον) 2 ἀμείλικτος, ἀπαραμύθητος. φοβερὸν ἀπαράμυθον ὄμμα πωλικόν Εὐρ. Ἰ. Α. 620 τὸ ἔμφοβον ὄμμα τῶν πώλων εἶνε ἀπαραμύθητον: δὲν παίρνει ἀπὸ λόγια.

ἀπαράσσω, Ἀττ. -ττω, ἀποτέμνω· ἀπήραξεν δὲ χαμᾶζε Ξ. 497 κτυπήσας ἔρριψε κάτω. οὐδ' ἀπαράξαι κρᾶτα βίᾳ (Wakefield: βίου) θέλει μολὼν τοῦ στυγεροῦ Σοφ. Τρ. 1016 οὐδ' ἀποτεμεῖν βίᾳ τὴν κεφαλὴν ἐμοῦ τοῦ μισητοῦ ἐλθών τις βούλεται. Ἀλλὰ καὶ τὸ παραδεδομένον βίου ἐξηγεῖται κατὰ τὸν Σχ. ὧδε: «τὴν κεφαλήν μου ἀποτεμεῖν καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου». ‖ ῥίπτω εἰς τὴν θάλασσαν Ἡρ. 8, 90. Θουκ. 7, 63.

ἀπαρέσκω δὲν ἀρέσκω, δυσαρεστῶ. Θουκ. 1, 38. Πλ. Θεαίτ. 202 D. Μέσ. οὐ γάρ τι νεμεσσητὸν βασιλῆα ἄνδρ' ἀπαρέσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ Τ 183 δὲν εἶνε ἀξιοκατάκριτον (ἀναξιοπρεπὲς) νὰ ἐξιλεώσῃ (ἱκανοποιήσῃ) τις ἄνδρα βασιλέα (π. χ. τὸν Ἀχιλλέα), ὅταν τις (ὡς σὺ) πρότερος τὸν προσβάλῃ. Αὕτη εἶνε ἡ μόνη ὀρθὴ ἐξήγησις, καθ' ἣν ἀπαρέσασθαι=ἐξαρέσασθαι, ἐξιλάσασθαι.

ἀπαριθμέω ἀριθμῶ ἓν πρὸς ἕν. Ἰσοκρ. 3, 12. 5, 26. ‖ πληρώνω ὀπίσω· ἐγὼ δέ σοι ὑπισχνοῦμαι... τὰ χρήματα ἀπαριθμήσειν Ξεν. Κ. Π. 3, 1, 34 θά σου μετρήσω ὀπίσω τὰ χρήματα. ‖ οἱ ποιηταὶ τοὺς τυχόντας μύθους ἀπηρίθμουν Ἀριστοτ. Ποιητ. 13 (1453^a 18) οἱουσδήποτε μύθους, οἱ ὁποῖοι εὑρίσκοντο ἐμπρός των, ἐπραγματεύοντο τὸν ἕνα μετὰ τὸν ἄλλον (εἰρωνικῶς).

ἀπαρκέω (ἴδ. ἀρκέω). ἔστω δ' ἀπήμαντον ὥστ' ἀπαρκεῖν Αἰσχ. Ἀγαμ. 390 ἴδ. ἀπήμαντος.

ἀπαρτάω ἀρτῶ (κρεμῶ) τι ἀπό τινος, κυρ. (Εὐρ. Ἀνδρ. 413) καὶ μτφ. μηδεὶς ὑπολάβῃ ἀπαρτᾶν (με) τὸν λόγον τῆς γραφῆς Δημ. 18, 59 κανεὶς ἂς μὴ νομίσῃ, ὅτι ἀπομακρύνομαι ἀπὸ τὸ θέμα τῆς κατηγορίας. Τὸ ἐναντίον συναρτῶ. ‖ Ἀμετβ. ἀπέρχομαι· ἐς ἀλλοτρίαν ἀπαρτήσαντες Θουκ. 6, 21 (μέλλομεν νὰ ἐκστρα-

τεύσωμεν) ἀφ' οὗ ἀπέλθωμεν εἰς ὅλως ξένην χώραν. Παθ. εἶμαι μακράν, κεχωρισμένος. ἀπηρτημένοι ταῖς παρασκευαῖς Δημ. 4,12 μακρὰν ὡς εἶσθε μὲ τὰς παρασκευάς. Τὸ ἐναντίον πλησίον ὄντες.

ἀπαρτί (ῐ) ἐπίρρ. ἀπηρτισμένως, ἀκριβῶς. ἡμέραι ἀπαρτὶ ἐνενήκοντα Ἡρ. 5, 53. ‖ τοὐναντίον. ἀπαρτὶ δήπου προσλαβεῖν (ἀξιῶ) παρὰ τοῦδ' ἐγὼ μᾶλλον Φερεκράτ. Ἀπ. 93 (Ἀ. Β. σ. 418) τοὐναντίον ἐγὼ ἀξιῶ μᾶλλον νὰ λάβω τι παρ' αὐτοῦ ἀκόμη.

ἀπαρτίζω ποιῶ τι ἄρτιον, κανονικόν, τέλειον· τελειώνω. σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα Αἰσχ. Ἐπτ. 361 καὶ τούτου ἡ σπουδὴ δὲν ἀφίνει τὸν πόδα του νὰ κινῆται κανονικῶς. Ὁ Herm. διόρθ. οὐκ ἀπαργίζει δὲν ἀφίνει τὸν πόδα του νὰ εἶνε ἀργός ὁ δὲ Weil εὖ καταρτίζει. Οὐδεμία ἀνάγκη διορθώσεως.

ἀπαρύω: χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας Απ. Ἐμπεδοκλ. 138 ἀφαιρέσας (κυρ. ἀφ' οὗ «ῥουφήξῃ») διὰ τοῦ σιδήρου τὴν ζωήν του (διότι τὴν ψυχὴν ἐτίθετο ἐν τῷ αἵματι ὁ Ἐμπεδοκλῆς). Ὁμοίως Ἀπολλ. Ῥ. 3, 1015 πᾶσαν ἀπὸ στηθέων ἀρύσασα ψυχήν ἀφαιρέσασα. Καὶ ἐν Ἀνθολ. 7. 730: ἅς δή ποκ' ἀπὸ (ἄπο) ψυχὰν ἐρύσαντο ὠδῖνες γράφει ἀρύσαντο ὁ Schulze τ. ἕ. ἧς ποτε τὴν ψυχὴν ἀφείλοντο αἱ ὠδῖνες.

ἀπάρχομαι θρησκευτ. λέξις, κυρ. κάμνω ἀρχὴν τῆς θυσίας κόπτων τὰς ἐπὶ τοῦ μετώπου τρίχας τοῦ θύματος· ξ 422 πρβ. Τ 254· ὅθεν ἀρχίζω τὴν θυσίαν Ἀρφ. Ἀχ. 244. Εἰρ. 1056. ‖ προσφέρω ὡς ἀπαρχὰς τὸ πρῶτον καὶ κάλλιστον πράγματός τινος, ὡς τοὺς πρώτους καρπούς Ἡρ. 3, 24. 4, 61. κόμης ἀπηρξάμην Εὐρ. Ἠλ. 91 προσέφερα τὴν κόμην μου (ὡς καλλίστην ἀπαρχὴν) εἰς τὸν τάφον τοῦ πατρός. Παρομοίως: χρὴ τοὺς ἄρχοντας συνελθεῖν εἰς ἓν ἱερὸν καὶ τὸν θεὸν ὀμόσαντας οἷον ἀπάρξασθαι πάσης ἀρχῆς ἕνα δικαστὴν Πλ. Νομ. 767 C ἐκ πάσης ἀρχῆς νὰ ἐκλέξωσιν ἕνα δικαστὴν τὸν ἄριστον (οἷον ἀπαρχὴν τῷ θεῷ). τοὺς ἱερέας ἐνθάδε μὲν ὁλοκλήρους νόμος εἶναι, παρ' ὑμῖν δ', ὡς ἔοικ', ἀπηργμένους Ἀναξανδρίδ. Ἀπ. 39 (Ἀθήν. 299 F) νόμος εἶνε, οἱ ἱερεῖς ἐνταῦθα μὲν νὰ εἶνε ὁλόκληροι (ἀρτιμελεῖς), παρ' ὑμῖν δὲ (τοῖς Αἰγυπτίοις) εὐνουχισμένοι (οὓς λέγει ὁ ποιητὴς ἀπηργμένους, διότι οἷον ἀπαρχὴ προσηνέχθη, κατὰ τὸν Εὐστάθιον, ἡ τμῆσις τῶν αἰδοίων αὐτῶν).

ἀπάρχω προηγοῦμαι, ἄρχω. καλὸν στήσασθε (ὑμεῖς αἱ Λεσβίδες) θεῇ χορόν· ὔμμι δ' ἀπάρξει Σαπφὼ χρυσείην χερσὶν ἔχουσα λύρην Ἀνθολ. 9, 189 ὑμῖν δὲ προηγήσεται Σαπφὼ κτλ. ἐς γὰρ ὀλβίαν ξείνοισί με πότνια Νίκα νᾶσον Αἰγίνας ἀπάρχει (ἐνν. μοι) ἐλθόντα κοσμῆσαι θεόδματον πόλιν Βακχυλίδ. 11 (12), 4 ἡ σεβασμία Νίκη προηγουμένη μὲ ὁδηγεῖ (=προηγεῖταί μοι) εἰς τὴν ὀλβιόδωρον τοῖς ξένοις (=ξενιζομένοις) νῆσον τῆς Αἰγίνης, ὅπως ἐλθὼν εἰς αὐτὴν ἐξυμνήσω τὴν θεόδμ. πόλιν. ‖ ἔνθα (ἐν Κύπρῳ) Τεῦκρος ἀπάρχει ὁ Τελαμωνιάδας Πίνδ. Ν. 4, 46 ὅπου ἄρχει (βασιλεύει) μακρὰν τῆς πατρίδος ὁ Τ. Ἀλλὰ καὶ ἐνταῦθα ἐξηγητέον μᾶλλον: προηγεῖται (τῶν ἐφεξῆς μνημονευομένων βασιλέων, οἷον σύρει τὸν χορόν).

ἀπάσσω ἴδ. ***ἀπαΐσσω***.

ἀπατάω: τί γὰρ οὐκ ἐμοὶ ἔρχεται ἀγγελίας ἀπατώμενον; Σοφ. Ἠλ. 170 τί εἶδος ἀγγελίας ἔρχεται πρὸς ἐμέ, τὸ ὁποῖον δὲν εἶνε ἀπατηλόν;

ἀπαυδάω = ἀπαγορεύω, κυρ. λέγω ὄχι. Συντάσσεται, ὡς καὶ τἆλλα ἀρνητικὴν ἔννοιαν περιέχοντα ῥήματα (ἀρνοῦμαι, ἀπαγορεύω, ἀπεῖπον, κωλύω, εἴργω, ἀπιστῶ κτλ.) συνήθως μετὰ τοῦ μὴ καὶ ἀπαρφ. Φαίνεται δὲ ὅτι ἡ σύνταξις αὕτη εἶνε ἡ πρώτη καὶ κυρία, διότι τὸ μετὰ τοῦ μὴ ἐπιφερόμενον ἀπαρφ. εἶνε κυρίως ἐπεξήγησις τῆς ἐν τῷ ῥήματι περιεχομένης ἀρνητικῆς ἐννοίας. τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, — γῆς τῆσδ' — μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα Σοφ. Ο. Τ. 236 τ. ἕ. ἀπαυδῶ μήτε τινὰ τῆσδε γῆς εἰσδέχεσθαι (οἰκίᾳ) τὸν ἄνδρα τοῦτον (τὸν φονέα) μήτε προσφωνεῖν: ἀπαγορεύω (κυρ. λέγω ὄχι) τὸ ἑξῆς, δηλ. κανεὶς κάτοικος τῆς χώρας ταύτης μήτε νὰ δέχηται εἰς τὴν οἰκίαν του τὸν ἄνδρα τοῦτον κτλ. Ἀλλ' ἡ σχέσις αὕτη φαίνεται κάλλιον ἐν τῷ ἑξῆς χωρίῳ τῶν Ἀρφ. Βατρ. 369 οἷσιν (Valckenaer: τούτοις) ἀπαυδῶ καὖθις ἀπαυδῶ καὖθις τὸ τρίτον μάλ' ἀπαυδῶ ἐξίστασθαι μύσταισι χοροῖς εἰς τοὺς ὁποίους (οὓς ἀπηρίθμησε προηγουμένως) λέγω μιὰ φορὰ ὄχι καὶ δευτέρη φορά ὄχι καὶ τρίτη φορά πάλιν ὄχι, δηλ. νὰ κάμνουν τόπον (στέκοντες παράμερα) εἰς τοὺς μυστ. χορούς. Ἐνταῦθα τὸ ἀπαρφ. ἐξίστασθαι ἐτέθη ἄνευ τοῦ μή, διότι ἔχει ἀρνητικὴν ἔννοιαν, μονόλεκτον δ' ὡς εἰπεῖν ὃν δεικνύει, ὅτι τὸ πρὸ τῶν τοιούτων ἀπαρεμφ. μὴ δὲν παρέλκει. ‖ οὔκουν ἀπαυδᾶν (= ἀποφεύγειν) δυνατόν ἐστί μοι πόνους Εὐρ. Ἱκ. 343.

****ἀπαυράω*** ἀφαιρῶ· ἐπ. ποι. ἀόρ. ἀπηύρων Τ 89, ἀπηύρας Θ 237 (ἐν τέλει στίχου), ἀπηύρα Ι 273. Λ 334. Ρ 125. Ἡσ. Θε. 423. Αἰσχ. Πέρσ. 951 χορ. Εὐρ. Ἀνδρ. 1029 χορ. (ἐν πᾶσι τούτοις τοῖς χωρίοις εἶνε τέλος τοῦ στίχου, ὥστε δὲν δύναται νὰ ὁρισθῇ ἡ ποσότης τοῦ α. ἀπηύρᾱ δ 646, ἀλλ' ὑπάρχει καὶ Δ. Γ. ἀπηύρᾰτο). Πληθ. ἀπηύρων Α 430. Ἀπ. Ῥ. 4, 916. Ἀόρ. μτχ. ἀπούρας Α 356. 507. Β 240 κἀλλ. Αἰολ. ἀπούραις Πίνδ. Π. 4, 149. Μέλλ. ἀπουρήσουσιν Χ 489 (Δ. Γ. ἀπουρίσσουσιν). Παθ. μόνον ἀπουράμενοι ψυχάς Ἡσ. Ἀσπ. 173 ἀφαιρεθέντες τὴν ζωήν των. Πρβ οὐτα — οὐτάμενος. Ὁ Ahrens ὑπολαμβάνει τοὺς τύπους ἀπηύρων, ἀπηύρα ὡς ἐσφαλμένας γραφὰς ἀντὶ ἀπεύρων, ἀπεύρα τ. ἕ. ἀπέϜρων, ἀπέϜρα· ὅθεν ἡ μτχ. ἀπούρας (ὀρθότερον ἀπουράς) = ἀποϜράς. — Συντάσσ. μὲ διπλῆν αἰτ. τινά τι: ἄμφω θυμὸν ἀπηύρα Ζ 17

καὶ ἀπὸ τοὺς δύο ἀφήρεσε τὴν ζωήν. ἤ σε βίῃ ἀέκοντος ἀπηύρα νῆα δ 646 (ἴδ. ἀέκων). Μὲ δοτ. προσ. καὶ αἰτ. πρ. πολέεσσιν — θυμὸν ἀπηύρα Ρ 236· ἐν δὲ τῷ Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων Τ 89 ἡ γεν. Ἀχιλλῆος ἐξαρτ. ἐκ τοῦ γέρας. Ἐν γένει = ἀπολαύω ἔχω ὠφέλειαν ἢ βλάβην. ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα Ἡσ. Ἔργ. 240 = ἀπέλαυσε. αὐτή τ' ἐναλλάξασα φόνον θανάτῳ πρὸς τέκνων ἀπηύρα Εὐρ. Ἀνδρ. 1027 καὶ αὐτὴ ἀνταλλάξασα τὸν φόνον (ὃν διέπραξε) μὲ τὸν (ἴδιόν της) θάνατον «τὸ εὗρῆκε ἀπὸ τὰ τέκνα της» (ἐτιμωρήθη ὑπὸ τῶν ἰδίων τέκνων). ἄλλοι γάρ οἱ ἀπουρήσουσιν ἀρούρας Χ 489 διότι ἄλλοι (ξένοι) θὰ τοῦ ἀφαιρέσωσιν (ἀποσπάσωσι) τοὺς ἀγρούς του. Κατὰ δὲ τὴν γρ. ἀπουρίσσουσιν θὰ τοῦ περιορίσωσι τοὺς ἀγρούς του (μεταθέτοντες τὰ σύνορα). Ἰάων γὰρ ἀπηύρα (ἐνν. τὰ βάρη, τὰ βαρέα πλοῖα) Αἰσχ. Πέρσ. 951 (ἴδ. κείρω). Ἐν Αἰσχ. Πρ. 28 τοιαῦτ' ἐπηύρω τοῦ φιλανθρώπου τρόπου πλημμελὴς εἶνε καὶ ἡ γρ. ἀπηύρω, τὴν δ' ὀρθὴν ἐπηύρου (ὃ ἴδε) εὗρεν ὁ Elmsley.

ἀπαφίσκω (πρβ. ἀραρίσκω, ἀκαχίζω) ἀπατῶ, ἐπ. ποιητ. λ 217. Ἡσ. Θε. 537. μέλ. ἀπαφήσω Ἀνθ. 12, 26. ἀόρ. ἀπάφησα Κ. Σμυρν. 3,502. ἐξ- Ὕμν. Ἀπ. 198. ἀόρ. β' ἤπαφον Ἀπ. Ῥ. 3,130. παρ-ήπ-,ἐξ-ηπ- Ξ 360. ξ 379. 488. Ἀπ. Ῥ. 5,952. Κ. Σμυρν. 1,645. 14,364. Θεόκρ. 27, 11. Ὑποτ. ἐξαπάφω ψ 79. ἐξαπαφὼν Εὐρ. Ἴων. 704 χορ. ἐξαπαφοῦσα Ὕμν. Ἀπ. 201. Ἀφρ. 38. Μέσ. ἀόρ. ἀπάφοιτο, ἐξ- Ι 376. Ξ 160. ψ 216. Τὸ ῥῆμα ἀναπληροῦται ἀλλαχοῦ διὰ τοῦ ἀπατάω, καὶ παρ' Ὁμήρῳ δὲ ὁ μέλλ. ἀπατήσω.

ἀπέειπε ἴδ. ἀπεῖπον.

ἀπέεργε ἴδ. ἀποέργω.

ἀπεικάζω ἀπεικονίζω, ἀποτυπῶ τὴν εἰκόνα, τὴν ὁμοιότητά τινος πράγμ., λαμβάνων αὐτὴν ἀπ' αὐτοῦ, παρομοιάζω· ὅθεν κυρ. = εἰκάζω ἀπό τινος· ἐν ᾧ τὸ ἐπεικάζω κυρ. σημ. ἐπί τινος (ἐπί τι) βλέπων εἰκάζω, συμπεραίνω. ἔχοιμ' ἂν αὐτὸ (τὸ νόσημα) μὴ κακῶς ἀπεικάσαι Ἀπ. Σοφ. 153 ἕπεται δ' ἐφεξῆς ἡ ἀπεικασία, ἡ παρομοίωσις πρὸς τὸ νόσημα. ὡς ἀπεικάσαι Σοφ. Τρ. 142. Ο.Κ. 16. Εὐρ. Ὀρ. 1298 καθ' ὅσον δύναταί τις νὰ συμπεράνῃ. Συχνότερον τὸ ὡς ἐπεικάσαι, ἀλλ' οὐδεμία ἀνάγκη διορθώσεως. Τὸ ἀπεικάζω διεσώθη σήμερον ἐν Λέσβῳ: «ἀπ(ει)κάζω, ἀπείκασα» ἐπὶ τῆς σημ. τοῦ παρατηρῶ.

ἀπειλέω: λέγω δέ σοι τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης ἐκ τῶν ὁμοίων, χειρὶ νικήσαντ' ἐμοῦ ἄρχειν Αἰσχ. Ἀγ. 1421 σοὶ λέγω δὲ νὰ ἀπειλῇς τοιαῦτα ἐναντίον μου, δηλ. ἀφ' οὗ βίᾳ μὲ νικήσῃς, νὰ ζητῇς νά με ἐξουσιάζῃς, φρονῶν ὅτι καὶ ἐγὼ εἶμαι παρεσκευασμένη νὰ πράξω ὁμοίως.

ἀπείλλω (ἴδ. εἴλω), ὀρθότερον ἀπίλλω, ὃ ἴδε.

ἄπειμι (ἴδ. εἰμί) εἶμαι μακράν, ἀπουσιάζω, λείπω· οὐ μόνον ἐπὶ προσ. ἀλλὰ καὶ ἐπὶ πραγμ. σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται β 285 τὸ ταξίδι σου δὲν θὰ εἶνε πλέον πολὺν χρόνον μακράν: δὲν θ' ἀργήσῃ πολύ. τῆς ὠφελίας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι Θουκ. 2, 61 ἡ εἰς πάντας ἐκδήλωσις τῆς ὠφελείας εἶνε ἀκόμη μακράν. ἓν δὲ τῆς τύχης ἄπεστί μοι Εὐρ. Ἴων. 668 ἓν πρᾶγμα λείπει ἐκ τῆς εὐτυχίας μου. σὺν δάμαρτι καὶ τέκνοις ᾤκουν, Ἀχαιοῖς ὧν ἀπῆσαν ἡδοναί Εὐρ. Τρῳ. 393 τῶν ὁποίων (αἱ ἐκ τῶν ὁποίων) ἡδοναὶ ἔλειπαν εἰς τοὺς Ἀχαιούς. || μέλλων γὰρ ἀεὶ δρᾶν τι, τὰς οὔσας τέ μου καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν Σοφ. Ἠλ. 306 τρόπος ἐκφράσεως πασῶν τῶν δυνατῶν (νοητῶν) ἐλπίδων: κατέστρεψεν ὅλας μου τὰς ἐλπίδας, καὶ ὅσας ἔχω καὶ ὅσας δὲν ἔχω. Ὁμοίως καὶ ἡμεῖς σήμερον: «ἔχασα καὶ κεῖνα ποῦ εἶχα καὶ κεῖνα ποῦ δὲν εἶχα». Ὁμοίως Ἀντιγ. 1109 ὀπάονες οἵ τ' ὄντες οἵ τ' ἀπόντες. Πρβλ. τοῦ τρόπου τούτου πλεῖστα. — Ἐν τῷ Χ 454 αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος δὲν εἶνε ἀνάγκη νὰ παραδεχθῶμεν τμῆσιν, ἀλλὰ ἀπ' οὔατος κυρ. = μακρὰν τοῦ ὠτός μου: εἴθε νὰ μὴ (ὁ θεὸς νὰ μὴ δώσῃ νά: νὰ μὴ φθάσω νὰ) ἀκούσω ποτὲ τοιοῦτον λόγον. οὔτε ⟨οἱ Kaibel⟩ γόγγρων τι παχέων οὔτε μυραινᾶν ἀπῆς (Δωρ. = Ἀττ. ἀπῆν) Ἀπ. Ἐπιχάρμ. 72 (Kaib. Ἀθήν. 312 C)· τὸ οἱ = Ποσειδῶνι, προσκομίζοντι πολλοὺς ἰχθῦς.

ἀπεῖπον (ἴδ. ἀγορεύω) κυρ. σημ. εἶπα ὄχι, ὅθεν ἀπηγόρευσα, παρῃτήθην, ἀπηύδησα κττ. ἀπειπεῖν ὁμιλίαν Λυσ. 8, 6 διακόψαι τὰς φιλικὰς σχέσεις. μῆνιν ἀποειπὼν Ἀγαμέμνονι Τ 35 παραιτήσας τὴν κατὰ τοῦ Ἀγαμέμν. ὀργήν: «ξεμανίσας». ἐξέπραξεν οὐδ' ἀπεῖπεν πατρόθεν εὐκταία φάτις Αἰσχ. Ἑπτ. 825 ἐτελείωσε τὸ ἔργον της καὶ δὲν ἀπέκαμεν ἡ ἐκ τοῦ πατρὸς (προερχομένη) ἀραία φωνή (= ἀρά). κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις ἥκω Εὐρ. Μήδ. 459 κυρ. καὶ ὕστερα ἀπὸ αὐτὰ ἀκόμη ἦλθον χωρὶς νὰ ἐγκαταλείψω τοὺς φίλους, δηλ. μὴ νομίζῃς, ὅτι σὲ ἐγκατέλειψα. Παθ. (αἱ σπονδαὶ) οὐκ ἀπείρηντο Θουκ. 5, 48 δὲν εἶχον ἀναγγελθῇ ὡς λήξασαι: ἦσαν ἀκόμη ἐν ἰσχύϊ.

ἀπείργω, Ἰων. ἀπέργω, ἐπ. ἀποέργω, ἀπομακρύνω, ἀποκωλύω, ἐμποδίζω. τί δὴ πύλαισι τὸν ἱκέτην ἀπείργεται; Αἰσχ. Χο. 567 διατί διὰ τῆς κλείσεως τῶν πυλῶν ἐμποδίζει τὸν ἱκέτην νὰ προσέλθῃ (κυρ. ἀποκωλύει ἀφ' ἑαυτοῦ, κρατεῖ μακρὰν ἑαυτοῦ); ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν Σοφ. Αἴ. 69 (ἴδ. ἀπόστροφος). — ὁ ἀγκὼν οὗτος τοῦ Νείλου, ὃς ἀπεργμένος ῥέει, ἐν φυλακῇσι μεγάλῃσι ἔχεται Ἡρ. 2, 99 ὅστις ῥέει ἀποκεχωρισμένος διὰ προσχωμάτων ἀπὸ τῆς παλαιᾶς αὐτοῦ κοίτης· καὶ κατωτέρω: ὡς δὲ — χέρσον γεγονέναι τὸ ἀπεργμέ-

νον καθὼς δὲ τὸ ἀποκεχωρισμένον διὰ προσχωμάτων τοῦτο χωρίον (μέρος) ἔγινε χέρσος.

ἄπειρος 2 οὐκ ἔχων πέρας (=πεῖρας), ἀδιέξοδος. ἄπ. ἀμφίβληστρον Αἰσχ. Ἀγ. 1381 (ἴδ. περιστιχίζω)· πρβ. Σχολ. Εὐρ. Ἑκ. 1277: «ἱμάτιον παρεσκεύασε (Κλυταιμνήστρα) μὴ ἔχον διεξόδους μήτε κεφαλῆς μήτε χειρῶν». «τὸν δὲ περιφερῆ καὶ ἄλιθον δακτύλιον ἄπειρον καλοῦσι» Πολυδ. 3, 179. ‖ οὐκ ἔχων πεῖραν· οὐ τὸν Ὄλυμπον ἄπειρος οὐκ ἔσῃ.. μὴ οὐ σέ γε καὶ τροφὸν καὶ ματέρ' αὔξειν Σοφ. Ο. Τ. 1089 οὐ μὰ τὸν Ὄλ. οὐκ ἔσῃ ἄπειρος τοῦ ἡμᾶς αὔξειν (τιμᾶν, μεγαλύνειν) σε ὡς τροφὸν κτλ. τ. ἔ. οὐκ ἔσῃ ἄπειρος τῶν ἐξ ἡμῶν τιμῶν.

ἀπείρων, -ον ἐπ.=ἀπέραντος, ἄπειρος. δακτύλιος ἀπείρων (=ἄπειρος ἴδ. ἀνωτ.). Ἀπ. Ἀρφ. 250 (Σχ. Ξ 200). ἐν λόχῳ ἀπείρονι εὔξασθε Ἀπ. Αἰσχ. 379 ἐν κύκλῳ ἑστῶσαι εὔξασθε (Σχ. Ξ 200).

ἄπειστος 2, οὐ πειθόμενος (διὰ λόγων). Οὕτω γρ. μετὰ τοῦ Hartung καὶ ἐν Αἰσχ. Ἑπτ. 861: φίλων ἄπειστοι (ἄπιστοι) οὐ πειθόμενοι τοῖς φίλοις (ἢ τῇ φίλῃ καὶ ἠπίᾳ φωνῇ: «μὲ τὸ καλό»· κατ' ἄλλους τὸ φίλων οὐδέτ.).

ἀπελαύνω (ἴδ. ἐλαύνω): οὔτ' ἐς πατέρ' ἀπηλάθην τύχης Εὐρ. Ἡρ. Μ. 63 οὔτε ὡς πρὸς τὸν πατέρα ἀπεκλείσθην καλῆς τύχης τ. ἔ. ὑπῆρξα εὐτυχὴς ὡς πρὸς τὸν πατέρα μου.

ἀπεμπολάω πωλῶ, κυρ. ἀπάγω ἔκ τινος τόπου, ἵνα πωλήσω τι. τίνος τίς ὢν σὺ τήνδ' ἀπεμπολᾷς χθονός; Εὐρ. Ἰ. Τ. 1360 τίνος (πατρὸς υἱὸς) τίς ὢν σὺ (δηλ. τίς εἶσαι σὺ καὶ τίνα ἔχεις πατέρα, σὺ ὁ ὁποῖος) ἀπάγεις ταύτην ἐκ τῆς χώρας, ἵνα πωλήσῃς; Παθ. λανθάνουσ' ἀπεμπολώμενοι Ἀρφ. Ἀχ. 374 χωρὶς νὰ τὸ ἐννοήσουν πωλοῦνται (διὰ τῆς κολακείας) τ. ἔ. προδίδονται, ἐξαπατῶνται.

ἀπένασσα ἴδ. **ἀποναίω**.

ἀπένεικα ἴδ. **ἀποφέρω**.

ἄπεπλος φαρέων λευκῶν Εὐρ. Φοίν. 326 κυρ. ἄνευ πέπλου λευκῶν φ., ὅθεν ἄνευ λευκῶν ἱματίων.

ἀπέπλω ἴδ. **ἀποπλώω**.

ἆπερ=ἧπερ=ὥσπερ.

ἀπέρατος 2 ἀδιαπέραστος. Διὸς φρὴν ἀπέρατος (ἀδιεξερεύνητος) Αἰσχ. Ἱκ. 1060.

ἀπεράω ἐξεμῶ, ξερνῶ· κατὰ τμῆσιν: ἀμπίπτει δ' ἀπὸ σφαγὴν ἐρῶν Αἰσχ. Ἀγ. 1999 πίπτει ὀπίσω ἐξεμῶν τὸ ἐκ τῆς σφαγῆς τῶν παίδων κρέας.

ἀπεργάζομαι: τά τοι μέγιστα πάντ' ἀπείργασται βροτοῖς τόλμ' ὥστε νικᾶν Εὐρ. Ἀπ. 426 κυρ. πάντα τὰ μέγιστα ἔργα βεβαίως ἔχει κατορθώσῃ εἰς τοὺς θνητοὺς ἡ τόλμη, ὥστε νὰ νικῶσι.

ἀπερείδω: θῆρες ἐν οὔρεσι πολλάκι σεῖο ὠμοτόκους ὠδῖνας ἀπειρήσαντο λέαιναι Καλλιμάχ. Ὕμν. Δήλ. 120 πολλάκις ἐν τοῖς ὄρεσι σοῦ τὰ θηρία αἱ λέαιναι (μετὰ πολλῆς ἀγωνίας) ἐγέννησαν τέκνα ἄωρα (ὠμά, ἀδιάρθρωτα).

ἀπεριλάλητος 2, οὐ δυνάμενος περιλαληθῆναι τ. ἔ. νικηθῆναι ἐν τῇ λαλιᾷ (τῇ φλυαρίᾳ)· οὕτως ὀνομάζει ὁ Εὐριπίδης τὸν Αἰσχύλ. ἐν Ἀρφ. Βατρ. 839.

ἀπερίοπτος 2, ἐνεργ. οὐ περιορῶν, οὐ περισκοπῶν, ὅθ. ἀμελῶν, ὀλιγωρῶν. τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν Θουκ. 1, 41 τὰ πάντα παραμελοῦσι πλὴν τῆς νίκης (φθάνει μόνον νὰ νικήσωσι).

ἀπερίτροπος 2 ὁ οὐκ ἐπιστρεφόμενος τ. ἔ. «ποῦ δὲν γυρίζει νὰ μᾶς ἰδῇ», ὅθεν ἀφρόντιστος, ἐπιλήσμων Σοφ. Ἠλ. 182.

ἀπέρρω (ἴδ. ἔρρω) κυρ.=ἀποφθείρομαι. ἀπέρρων ἔνθεν ἦλθες Εὐρ. Ἡρ. Μ. 260 ξεκουμπιζόμενος («ἀποφθειρόμενος») ἀπὸ ἐκεῖ ποῦ ἦλθες. ἄπερρε Ἀρφ Νεφ. 783. Ἐκκλ. 169 ξεκουμπίσου, γκρεμίσου ἀπ' ἐδῶ. οὐκ ἀπερρήσεις σὺ θᾶττον; Ἀπ. Κρατίν. 123 (Α. Β. 422) δὲν θὰ ξεκουμπισθῇς μίαν ὥραν πρωτίτερα; «οὐκ ἀποφθαρήσῃ»;

ἀπέρχομαι μετὰ γεν. ἀπελθεῖν ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ Σοφ. Ο. Κ. 1165 ν' ἀπέλθῃ ἀσφαλῶς ἀπὸ ἐδῶ ποῦ ἦλθε. ἄπελθε τοῦ λόγου Εὐρ. Ἰ. Τ 546 ἄφες τὸν λόγον. Καὶ ἐμπροθέτως· ἐκ δακρύων ἄπελθε Εὐρ. Ὀρ. 295 παῦσε, ἄφες, τὰ δάκρυα. Ἄλλως: ἀπελθέτω τοῖς λόγοισιν ἐκποδὼν τὸ γῆρας ἡμῖν τὸ σόν αὐτ. 548 τὸ γῆράς σου ἂς ἀποχωρήσῃ καὶ ἂς ἀφήσῃ τὸ στάδιον ἐλεύθερον εἰς τοὺς λόγους ἡμῶν.

ἀπέρωπος (ἄλλοι -ωπός) Αἰσχ. Χοηφ. 597 «ἀναιδής, σκληρός, τραχύς, οἷον ἀπερίοπτος καὶ ἀπερίβλεπτος, ὃν οὐκ ἄν τις περιωπήσαιτο διὰ τὴν ἀηδίαν» Α. Β. 8. «ἄγριος καὶ ἀπηνής» Ἐ. Μ. «ἀπάνθρωπος» Ἡσ. Ὁ κῶδ. τοῦ Αἰσχύλου παρέχει ἐκ β' χειρὸς ἀπέρωτος, ὁ δὲ Σχ. ἑρμηνεύει «στυγνὸς καὶ ὑπερήφανος» (ἥτις ἑρμηνεία δύναται ν' ἀναφ. καὶ εἰς τὴν γρ. ἀπέρωπος). Τὴν γρ. ταύτην ὑποστηρίζουσί τινες τῶν ἑρμηνευτῶν παραβάλλοντες ἀπόμουσος, ἀπόθεος, ἀπότιμος, ἀποχρήματος καὶ ἑρμηνεύοντες διὰ τοῦ: ἔρως ὄχι ἔρως, ἄναγνος ἔρως κττ. Ἀλλ' ἡ γρ. αὕτη εἶνε ἀπορριπτέα οὐ μόνον, διότι πάντες οἱ ἀρχαῖοι γραμματικοὶ ἑρμηνεύουσι τὴν γρ. ἀπέρωπος, ἀλλὰ καὶ διότι οὐδὲν τῶν ἐκ τοῦ ἔρως συνθέτων λήγει ὡς τὸ ἀνέρωτος. Τὸ χωρίον τοῦ Αἰσχύλου ἔχει ὧδε: ξυζύγους (-ζύγου Enger) δ' ὁμαυλίας θηλυκρατὴς ἀπέρωπος ἔρως παρανικᾷ κνωδάλων τε καὶ βροτῶν ὁ ἐξουσιάζων τὴν γυναῖκα (ἄλλοι=κρατῶν θῆλυς) ἀναιδὴς ἔρως ὑπερβάλλει πολὺ (εἶνε πολὺ ἰσχυρότερος) τὰς συζ (ζευγαρωμένας) ὁμοκοιτίας τῶν ζῴων καὶ τῶν ἀνθρώπων τ. ἔ. ὁ ἐξουσιάζων τὰς γυναῖκας ἀκαταμάχητος ἔρως εἶνε κατὰ τὴν δύναμιν πολὺ ἀνώτερος πάντων τῶν ἄλλων.

ἀπεσσύα (ἀπέσσουα) Ξεν. Ἑλλ. 1, 1, 23. ἴδ. ἀποσεύω.

ἀπευθύνω ποιῶ τι εὐθύ, κυρ. καὶ μεταφ. ἀπευθύνει (τὸ θεῖον) βροτῶν τούς τ' ἀγνωμοσύναν τιμῶντας καὶ μὴ τὰ θεῶν αὔξοντας Εὐρ. Βάκ. 884 τ. ἔ. κολάζει, «ἰσιάζει» (πρβ. «ἀπευθύνει: κολάζει» 'Α. Β. 423). ναοφύλακες — πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν Ἀπ. Σοφ. 143 (Πολυδ. 10, 133) = διευθύνουσι, κυβερνῶσιν. σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ Σοφ. Αἴ. 71 σὲ τὸν (στρέφοντα καὶ) δένοντα ὀπίσω (ἄλλοι: τὸν διὰ τῶν δεσμῶν εὐθείας ποιοῦντα τὰς χεῖρας: τὸν δεσμεύοντα) καλῶ νὰ προσέλθῃς. Πρβ. ἐπευθύνω, παρευθύνω.

ἀπεύχετος 2 ἀπευχόμενος. ἀπότροπον ἄγος ἀπεύχετον κεχυμένων χοᾶν Αἰσχ. Χο. 155 (ὅπερ ἔρυμα, τάφος) ἐστὶν ἄγνισμα διὰ τῶν εὐχῶν ἀποτρέπον (κυρ. ἀποτρέπον καὶ ἀπευχόμενον) τὰς κεχυμένας χοὰς (τὰς ἐκ τῆς Κλυταιμνήστρας). || ἀραῖος· δυσφιλὲς γαμήλευμ' ἀπεύχετον δόμοις 623 βδελυρὸν γαμήλιον σύνδεσμον, ἐπικατάρατον εἰς τοὺς οἴκους· ἴδ. ἐπίκοτος.

ἀπεχθαίρω ἐν δ 105 ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδήν σημ. ὁ ὁποῖος μὲ κάμνει νὰ μισῶ καὶ τὸν ὕπνον καὶ τὸ φαγητόν.

ἀπεχθάνομαι (ἴδ. ἔχθω) γίνομαι μισητός, ἐχθρὸς μέ τινα (— τινὶ ἢ πρός τινα). Ἀπολ. μνηστήρεσσι ἀπεχθομένοισί περ ἔμπης σ 165 ἂν καὶ εἶνε μισητοί. γῆρας ἀπεχθόμενον Πίνδ. Ν. 10, 83 μισητόν. — τήνῳ κυδάζομαί τε κἀπ' ὧν ἠχθόμαν Ἀπ. Ἐπιχάρμ. 35 (σ 225 L. Ἀθήν. 235 F) τὸν ὑβρίζω καὶ εἰς τὸ τέλος τὰ χαλνῶ μαζί του. λόγοι ἀπεχθανόμενοι Ξεν. 4, 58 διεγείροντες ἔχθραν· ἀντίθ. οἳ πρὸς φιλίαν ἄγουσι· πρβ. β 202. καὶ ἐξ ὧν ἀπεχθάνονται ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι Ξεν. Ἱέρ. 8, 8 ἡμεῖς εἶνε ἀνάγκη νὰ ἐπιχειρῶμεν πολὺ πλειότερα παρὰ τοὺς ἰδιώτας ἔργα καὶ ἐξ ἐκείνων, ἐξ ὧν οἱ ἄνθρωποι γίνονται μισητοί. οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει π 114 οὐδόλως ὁ λαὸς μισήσας με διάκειται ἐχθρικῶς πρὸς ἐμέ. — ἀγωνίζεσθαι (περὶ) κινδύνου ὧν (= τούτων ἃ) ἐν τῇ ἀρχῇ ἀπήχθεσθε (δηλ. τοῖς ἀρχομένοις) Θουκ. 2, 63 περὶ κινδύνου διὰ ταῦτα, διὰ τὰ ὁποῖα ἐν τῇ ἀρχῇ ὄντες ἐγίνατε μισητοὶ εἰς τοὺς ὑπηκόους σας. Ἄλλοι: περὶ κινδύνου ἐκ τούτων, ὧν ἄρχοντες ἀπήχθ.

ἀπέχθημα τό, «μισητὸν ὑποκείμενον», ὡς ὀρθῶς λέγεται πολλαχοῦ ἐν τῇ γλώσσῃ τοῦ λαοῦ· τίποτ' ἔχουσι τοὔνομα κήρυκες, ἓν ἀπέχθημα πάγκοινον βροτοῖς οἱ περὶ τυράννους.. ὑπηρέται; Εὐρ. Τρῳ. 424 (οὕτω διέστιξα): διατί ἔχουσι τάχα τὸ ὄνομα (τὸ ἄλλως ἔντιμον) κήρυκες οἱ περὶ τυράννους καὶ πόλ. ὑπηρέται, οἵτινες εἶνε ἓν ἀπέχθημα πάγκοινον εἰς τοὺς ἀνθρ. (δηλ. μισοῦνται ἀπὸ κοινοῦ ὑπὸ πάντων τῶν ἀνθρ.);

ἀπέχω (ἴδ. ἔχω) κρατῶ μακράν. χεῖρας βαρείας λοιμοῖο ἀφέξει Α 97 «θὰ τραβήξῃ χέρι ἀπὸ τὸν λοιμόν». χεῖρας πάντων ἀφέξω σοι υ 263 θὰ κρατήσω μακράν σου (κυρ. εἰς σέ) τὰς χεῖρας ὅλων. τοῖο πᾶσαν ἀεικείην ἄπεχε χροΐ Ω 18 πᾶσαν κάκωσιν ἀπεμάκρυνεν ἀπὸ τοῦ σώματος τούτου. σκοτεινὸν ἀπέχων ψόγον Πίνδ. Ν. 7, 61 κρατῶν μακρὰν ἐμαυτοῦ τὸν ἐπισκοτοῦντα (ἀμαυροῦντα) ψόγον. ἄπεχε τᾶς βοὸς τὸν ταῦρον Αἰσχ. Ἀγ. 1116 φωνεῖ ἡ Κασάνδρα καθ' ἣν στιγμὴν ἡ Κλυταιμν. ὁρμᾷ ἐπὶ τὸν Ἀγαμέμνονα. σοφὸν δ' ἀπέχειν πραπίδα φρένα τε περισσῶν παρὰ φωτῶν Εὐρ. Βάκχ. 428 φρόνιμον εἶνε ν' ἀπομακρύνῃ τις τὸν νοῦν καὶ τὸν λογισμόν του ἀπὸ τῶν ἄγαν σοφῶν ἀνθρώπων. ἀθανάτων δ' ἀπέχειν χέρας Αἰσχ. Εὐμ. 351 «μὴ πλησιάζειν ἡμᾶς τοῖς θεοῖς» Σχ. Διορθοῦσιν: ἀθανάτων δίχ' ἔχειν γέρας.

ἀπήμαντος 2 παθ. ὁ μὴ παθὼν βλάβην (πῆμα), ἀβλαβής τ 282 κάλλ. || ἐνεργ. ὁ μὴ ποιῶν βλάβην. χειρὸς δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις παύεται Αἰσχ. Ἱκ. 584 διὰ τῆς ἀβλαβοῦς δυνάμεως αὐτοῦ (δηλ. διὰ τῆς ἠπίας ἐπαφῆς τῆς χειρός του) καὶ τῶν θείων ἐπ' αὐτῆς φυσημάτων γίνεται παῦσις (τέλος τῆς μεταμορφώσεώς της). Διὰ τῆς ἑρμηνείας ταύτης ἀπέδωκα σιωπηλῶς τὴν διόρθ. τοῦ Weckl. χειρὸς δ' ἀπημάντῳ σθένει ἀντὶ τοῦ παραδεδομένου βία (βίᾳ Σχ.) δ' ἀπημ. σθένει, ἐξ ὧν ὁ Headlam λίαν πιθανῶς παρήγαγε βίᾳ δ' ἀπηματοσθενεῖ (διατί ὄχι ἀπημαντοσθενεῖ;), ἅτινα παρέχουσι κάλλιον τὸ αὐτὸ νόημα. ἔστω δ' ἀπήμαντον, ὥστ' ἀπαρκεῖν εὖ πραπίδων λαχόντα (λαχόντι Auratus) Αἰσχ. Ἀγ. 389 ἔστω δὲ τοῦτο ἄνευ βλάβης (τ. ἔ. ἔστω τοσοῦτος ὁ πλοῦτος, ὥστε μὴ πένεσθαι, μὴ βλάπτεσθαι, τὸν ἔχοντα), ὥστε τὸν ὀρθῶς λογιζόμενον (τὸν ὀρθῶς φρονοῦντα) ἱκανῶς ἔχειν ἀπὸ τούτου (ἀποζῆν).

ἀπήμων 2 ὁ οὐ βεβλαμμένος Ὅμ. Αἰσχ. ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον Πίνδ. Ν. 1, 54 « περὶ τὰ ἀλλότρια κακὰ ἄλυπος ἡ καρδία γίνεται» Σχ. ἀντιστοιχεῖ πρὸς τὴν συνήθη παροιμ. « ξένος πόνος ξέγδαρμα ».

ἀπηνήναντο ἴδ. **ἀπαναίνομαι.**

ἀπήραξεν τοῦ **ἀπαράσσω.**

ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν Αἰσχίν. 2, 3 ἐν ᾧ δὲν δύναται νὰ καταστήσῃ διὰ λόγου πιστευτὴν τὴν ὑποψίαν του ταύτην.

ἀπίλλω (ἧττον ὀρθὸν τὸ ἀπείλλω, ἴδ. εἴλω) Ἀττ. = Ἴων. ἀπειλέω Ἡρ. 1, 24. 2, 141. 8, 109. 9, 35 = ἀποκλῄω (-λείω). ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος Λυσ. 10, 17 (ἐκ τῶν νόμων τοῦ Σόλωνος), ἐπιφέρει δέ: τὸ ἀπίλλειν τοῦτο ἀποκλείειν νομίζεται (τ. ἔ. ἔχει τὴν δύναμιν, σημαίνει), διὰ τοὺς συγχρόνους του ἐξηγῶν καὶ ταύτην τὴν λέξιν καὶ ἄλλας (πρβ. Δημοσθ.

23, 33). Τὸ νόημα εἶνε: ὅστις ἀποκλείει διὰ τῆς θύρας (δηλ. κλείων τὴν θύραν ἐμποδίζει τὸν ἐν τῇ οἰκίᾳ κλέπτην νὰ ἐξέλθῃ), ἐν ᾧ ὁ κλέπτης εἶνε μέσα. Ὁμοία σύνταξις κἀλλ. τί δὴ πύλαισι τὸν ἱκέτην ἀπείργεται; (ὁ ἴδε) Αἰσχ. Χο. 569. οὐνταῦθά σ' εἴργων κἀποκλήων τῇ θύρᾳ Ἀρφ. Σφ. 334. Τὸ δ' ἐν Ἐκκλ. 420 ἦν (ὁ σκυλοδέψης τὸν καθευδήσοντα) ἀποκλήῃ τῇ θύρᾳ, τρεῖς σισύρας ὀφειλέτω κατεσκευάσθη ἐπὶ τὸ κωμικώτερον συμφώνως πρὸς τὸν ἄνωτ. Σολώνειον νόμον.

ἀπιστέω δὲν πιστεύω. Συνήθεις συντάξεις πιστ. τι, τινί, ἢ τινί τι, τινὶ περί τινος, μετ' ἀπαρφ. Ἰδίως δὲ μὴ (ἢ μὴ οὐ) μετ' ἀπαρφ. ἢ ὑποτ., καὶ τί ἢ μὴ μεθ' ὑποτ. οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώμενος ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον Θουκ. 1, 10 (τοῦτο, τὸ προηγούμενον,) δὲν εἶνε ὀρθὴ ἀπόδειξις, ἣν μεταχειριζόμενός τις ἤθελε πιστεύσῃ, ὅτι ἡ ἐκστρατεία δὲν ἔγινε τόσον μεγάλη. ἀπιστοῦντες μὴ εἶναι 4, 40 (ἴδ. παρὰ γνώμην). Παθ. τὴν γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι 7, 44 (ἴδ. προορῶ). τὸν Καρύστιον ἀπιστούμενον ἐν Ὀλυμπίᾳ τὴν πυγμὴν τῷ ἀντιπάλῳ Φιλόστρ. Γυμναστ. κεφ. 20 (σελ. 272 Kayser). Τὸ χωρίον, καίτοι κακοζήλως συντεταγμένον, δὲν ἔχει ἀνάγκην διορθ. τ. ἔ. κατὰ λέξ. ὃς ἠπιστεῖτο κατὰ τὴν πυγμὴν ὑπὸ τοῦ ἀντιπάλου: οὗ τὴν ἰσχυρὰν πυγμὴν δὲν ἐπίστευε (δὲν παρεδέχετο) ὁ ἀντίπαλος.— τὸ σῶμ' οὐκ ἀπιστήσω χθονί Εὐρ. Ἡρακλ. 1024 θὰ ἐμπιστευθῶ (θὰ παραδώσω) τὸ σῶμα εἰς τὴν γῆν. Ὅτι δὲ καλῶς ἔχει τὸ χωρίον τοῦ Εὐριπ., ἀποδεικνύει ἡ παρὰ Λυσ. 31, 21 πληρεστέρα ἔκφρασις: ἐκείνη τούτῳ ἠπίστησεν ἀποθανοῦσαν ἑαυτὴν ἐπιτρέψαι δὲν ἐνεπιστεύθη εἰς αὐτὸν τὸ ἴδιόν της σῶμα ἀποθανούσης. ἀλλὰ κακοῖς μὲν κάρτα πέλει κρατέουσιν ἀπιστεῖν Ἀπ. Ἐμπεδ. 5 ἐκ τοῦ Κλήμ. Ἀλεξ. σ. 655 P. ἑρμηνεύοντος ὧδε· «τοῖς μὲν κακοῖς τοῦτο σύνηθες τὸ ἐθέλειν κρατεῖν τῶν ἀληθῶν διὰ τοῦ ἀπιστεῖν», δέον: «τὸ ἐθέλειν ἀπιστεῖν διὰ τοῦ κρατεῖν τῶν ἀληθῶν». Ὁ δὲ Diels διορθῶν χαρτὰ ἀντὶ τοῦ κάρτα ἑρμηνεύει: οἱ κακοὶ χαίρουσιν ἀπιστοῦντες τοῖς κρατοῦσιν (φιλοσόφοις ἢ θεοῖς ἢ λόγοις). Ἀμφοτέροις ἀπιστῶ. πρβ. διατέμνω.

ἀπιστία ἡ: πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι Θουκ. 1, 10 νομίζω, ὅτι ἤθελεν ὑπάρχῃ παρὰ τοῖς μεταγενεστέροις πολλὴ ἀπιστία περὶ τῆς δυνάμεως αὐτῶν ἐν συγκρίσει πρὸς τὴν φήμην αὐτῶν. «τῶν θείων τὰ πολλά, καθ' Ἡράκλειτον, ἀπιστίῃ διαφυγγάνει μὴ γινώσκεσθαι Ἀπ. Ἡρακλείτ. 96 (Πλουτ. Κοριολ. 38) τῶν θείων πραγμάτων τὰ πολλὰ διαφεύγουσι τὴν γνῶσιν ἡμῶν ἕνεκα ἀπιστίας (διότι δὲν τὰ πιστεύομεν).

ἄπιστος 2, 1) παθ. ἀπιστούμενος, ἀνάξιος πίστεως. 2) ἐνεργ. ἀπιστῶν, δύσπιστος. ἄπιστοι γενόμενοι τοῖς ἀληθέσιν Ἀντιφῶν. 5, 3 μὴ πιστευθέντες, ἂν καὶ ἔλεγαν τὴν ἀλήθειαν. ἄπιστα μυθεῖσθε κλύειν ἐμοί, ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος Αἰσχ. Ἱκ. 283 ἀπίστευτα λέγετε εἰς τὴν ἀκοήν μου (διὰ νὰ τὰ ἀκούω), πῶς εἶνε δυνατὸν νὰ ἔχητε τὴν ἐξ Ἄργους ταύτην ἣν λέγετε καταγωγήν. τὸ ἐλπίδων ἄπιστον (=τὸ ὑπὸ τῆς ἐμῆς ἐλπίδος ἀπιστηθέν, κατὰ τὸν Ἑρμάννον) οἰκούρημα τῶνδε τῶν ξένων Σοφ. Φιλ. 867 ἡ ἀνέλπιστος παραμονὴ τῶν ξ. Τὸ χωρίον εἶνε ὑγιὲς καὶ ἄλλως καὶ διότι ἐλπὶς ἐνταῦθα = ἐλπίζουσα φρήν. ἄπιστον ὅ τι δαίμονες θέωσιν οὐδὲν φρενοάραις (= φρενήρεσι) βροτοῖς Βακχυλίδ. 16 (17), 117 οὐδέν ἐστιν ἄπιστον ὅ τι ἂν ποιῶσιν οἱ δαίμονες ὑπὲρ τῶν νουνεχῶν ἀνθρώπων. οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος Θουκ. 1, 120 ἔπαρσιν ἀπατηλὴν ἐπαιρόμενος. — οὐδ' αἰσχύνομαι ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει Αἰσχ. Ἑπτ. 1020 δεικνύουσα πρὸς τὴν πόλιν τὴν ἀπειθῆ ταύτην ἀνυποταξίαν. βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν 827 ἡ δ' ἀπειθὴς διάνοια τοῦ Λαΐου διήρκεσε μέχρι τῆς σήμερον. φίλων ἄπειστοι 867 ἴδ. ἄπειστος. τὸ ἄπιστον οὗτοι μέγιστον πρὸς τοὺς πολλοὺς ἐποίησαν Θουκ. 8, 66 τὴν δυσπιστίαν οὗτοι κατέστησαν μεγίστην μεταξὺ (ἀπέναντι) τῶν πολλῶν. τὰ πολλὰ — ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα 1, 21 (ἴδ. ἐκνικῶ).

ἄπλᾱτος (πελάζω) Δωρ. καὶ Ἀττ. ἀντὶ τοῦ Ἰων. ἄπλητος, ἀπροσπέλαστος, μτφ. δεινός. Ἡσί. Πίνδ. Αἰσχ. Σοφ. Παρὰ Φιλοδήμῳ Ῥητορ. σελ. 3, Ἀπ. 1, στ. 11 (Sudhaus): διαφορῶν γὰρ οὐσῶν ἀπλάτων ὅσων ἐν ταῖς τέχναις, ὅπου ἄπλατοι ὅσαι = ἄφατοι ὅσαι.

ἄπλοια ἡ, Ἰων. ἀπλοΐη, ἡ ἀδυναμία τοῦ πλεῖν ἢ ἕνεκα νηνεμίας ἢ ἕνεκα ἐναντίων ἀνέμων. ὁ μὲν λαβὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην... καὶ ὑπὸ ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον Θουκ. 2, 85 τ. ἔ. ὑπὸ ἐναντίων ἀνέμων καὶ ὑπὸ νηνεμίας· διότι σημειωτέον ὅτι, ὅταν μὲν εἶνε μικρὸν τὸ διαπλευστέον διάστημα, ὅπως καὶ σήμερον οὕτω καὶ τότε ἠδύναντο νὰ μεταχειρισθῶσι κώπας, ὄχι δὲ ὅμως ἐπὶ μεγάλης ἀποστάσεως, ὅτε ἡ νηνεμία ἦτο καὶ εἶνε σπουδαῖον κώλυμα, τόσῳ μᾶλλον, ὅσῳ ἐναντίος ἄνεμος δύναται νὰ καταλάβῃ τοὺς κωπηλατοῦντας ἐν μέσῳ πελάγει, καὶ τότε; Ἡ ἐξάλειψις λοιπὸν τοῦ ὑπὸ ἀνέμων καὶ ὑπό τινων ἐκδοτῶν εἶνε ὅλως εἰκαία καὶ αὐθαίρετος. Τὴν ἑρμηνείαν ταύτην ὑποστηρίζει καὶ τὸ ἐν Εὐρ. Ἰ. Τ. 15 χωρίον δεινῆς τ' ἀπλοίας πνευμάτων τ' οὐ τυγχάνων εἰς ἔμπυρ' ἦλθε, ὅπου ἐκ πασῶν τῶν γενομένων διορθώσεων ἐπιδοκιμάζω τήνδε: δεινῇ τ' ἀπλοίᾳ πνευμάτων τ' οὐ τυγχάνων, ἐν ᾧ δοτ. αἰτιολογικὴ συνδ. πρὸς αἰτιολ. μετοχὴν κατὰ τὸν γνωστὸν κανόνα, ὅτι τὰ γραμματικῶς ἀνόμοια λογικῶς δ' ὅμοια

συνδέονται (ἴδ. Κρυγέρου γραμμ. § 59,2,3) τ. ἔ. ἕνεκα φοβερᾶς νηνεμίας καὶ διότι δὲν εὕρισκεν εὐνοϊκοὺς ἀνέμους· ἴδ. Θουκ. 4, 4. 6, 22. 8, 99. ἴδε καὶ ἀπολαμβάνω.

ἁπλόος-η-ον, συνηρ. ἁπλοῦς-ῆ-οῦν (πρβ. διπλόος-οῦς. Simplex, ἀρχ. Λατ. sim-plos, du-plos), κυρ. ἐξ ἑνὸς μέρους ἢ ἐκ μιᾶς οὐσίας συγκείμενος, μονός. ὡς ἁπλῷ λόγῳ Αἰσχ. Προμ. 46 = ὡς ἁπλῶς εἰπεῖν, μὲ ἕνα λόγον. ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά; Σοφ. Αἴ. 277 ἆρά γε δὲν εἶνε ταῦτα διπλᾶ κακὰ ἀντὶ ἁπλῶν (κυρ. ἐν ᾧ ἦσαν πρότερον ἁπλᾶ); οὐ γὰρ εἰς ἁπλοῦν ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει ἀλλ' ἐς μέγιστον Ο Τ. 519 δι' ἐμὲ ἡ ἐκ τοῦ λόγου τούτου ζημία ἀπολήγει ὄχι εἰς μικρὸν ἀλλ' εἰς μέγιστον κακόν. κελεύθοις ἁπλόαις ζωᾶς ἐφαπτοίμαν Πίνδ. Ν. 8, 36 εἴθε νὰ διανύω τὴν ζωήν μου ἐν ὁδοῖς εὐθείαις (καὶ ὄχι σκολιαῖς), ἢ εἴθε νὰ βαδίζω τὰς εὐθείας ὁδοὺς τῆς ζωῆς. ἁ δυσγένεια δ' ἁπλοῦν ἂν εἶχεν ζοὰς βιοτάν Εὐρ. Ἡρ. Μ. 663 = οἱ δὲ δυσγενεῖς ἁπλοῦν ἂν ἔζων βίον. ἴσως θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστι καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τἆλλα, ἔστιν ὅτε καὶ οἷς βέλτιον τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται, εἰ τούτοις τοῖς ἀνθρώποις μὴ ὅσιον αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν Πλ. Φαίδων 62 Β παράδοξον θά σοι φαίνηται, ἂν τοῦτο (ὁ θάνατος, τὸ τεθνάναι) μόνον ἐκ πάντων τῶν ἄλλων εἶνε ἀνεξαίρετον (κοινὸν πᾶσι τοῖς ἀνθρώποις) καὶ οὐδέποτε συμβαίνει εἰς τὸν ἄνθρωπον, ὡς καὶ τὰ ἄλλα (οἷον ὁ πλοῦτος, ἡ δόξα κτλ.), κατά τινας μόνον περιστάσεις καὶ εἰς τούτους ἐκ τῶν ἀνθρώπων, οἵτινες θεωροῦσι τὸν θάνατον προτιμότερον τῆς ζωῆς· εἰς ὅσους δὲ εἶνε καλλίτερον ν' ἀποθάνωσι, παράδοξον ἴσως σοι φαίνεται, ἂν εἰς τούτους τοὺς ἀνθρ. δὲν εἶνε ἐπιτετραμμένον θρησκευτικῶς (ὑπὸ τοῦ θείου νόμου) νὰ κάμωσι τὸ καλὸν τοῦτο οἱ ἴδιοι εἰς ἑαυτούς (δηλ. ν' ἀφαιρέσωσιν οἱ ἴδιοι τὴν ζωήν των). Τοῦτο λοιπὸν τὸ δεύτερον κῶλον ἀναφ. εἰς τὴν αὐτοχειρίαν (ἴδ. ἀνωτ. § 25), τὸ δὲ πρῶτον εἰς τὸν θάνατον. — Ἡ ἁπλῆ πρᾶξις κατ' ἀντίθ. πρὸς τὴν πεπλεγμένην διακρίνεται ὑπὸ τοῦ Ἀριστοτέλους ἐν Ποιητ. κεφ. 10 (1452 a 15) ὧδε: λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν, ἧς γινομένης, ὥσπερ ὥρισται, συνεχοῦς καὶ μιᾶς ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνεται, πεπλεγμένη δέ ἐστιν, ἐξ ἧς μετὰ ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ ἀμφοῖν ἡ μετάβασίς ἐστιν λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν ἐκείνην, ἡ ὁποία γίνεται μέν, ὡς ὡρίσθη προηγουμένως, συνεχὴς καὶ ἑνιαία, ἀλλ' ἡ ἀνάπτυξις αὐτῆς ἐκτελεῖται ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ· πεπλεγμένη δὲ εἶνε ἐκείνη, ἐν τῇ ὁποίᾳ γίνεται ἡ ἀνάπτυξις μετὰ ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ καὶ τῶν δύο.

ἁπλῶς τι φράζουσ' ὅστις ἀνταποκτενεῖ Αἰσχ. Χο. 121 ἁπλωστὶ διώρθ. ὁ Herm. (κατὰ τὸ μεγαλωστί) καθαρὰ καθαρά. Ἀλλὰ τοιαύτη λέξις δὲν ὑπάρχει. ἁπλῶς πιφαύσκουσ' ἔγρ. ὁ Meineke. Εἰς ἐμὲ παρέχει ὑποψίαν τοῦτο, ὅτι ὅπως καὶ ἂν διώρθωσαν τὸν στίχον, τὸ νόημα εἶνε, ὅτι πρέπει νὰ εἴπῃ καθαρὰ ἡ Ἠλέκτρα νὰ ἔλθῃ τις, ὅστις ν' ἀποδώσῃ φόνον ἀντὶ φόνου. Τοῦτο ὅμως ἐν τοῖς ἐφεξῆς δὲν λέγεται καθαρὰ καθαρά. Ὅθεν ἴσως σημ. λέγουσα ὀλίγον ἁπλᾶ (ὀλίγον καθαρά, κυρ. κατά τι καθαρὰ) τὸ ὄνομα ἐκείνου, ὅστις θ' ἀνταποκτείνῃ. Εὕρηται δὲ καὶ ἀλλ. τὸ τὶ τοῦτο συντεταγμένον μετ' ἐπιρρήμ. Πρβ. διαφερόντως τι Θουκ. 1, 138. μᾶλλόν τι (οὐδέν τι μᾶλλον), ὅπερ συχνότατον Ἡροδ. Θουκ. Ξεν. οὐδέν τι πάνυ Ξεν. Ἑλλ. 5, 4, 45. δή τι Ἡρ. 1, 80. 3, 12 κἀλλ. οὔ τι, μή τι, πάνυ τι, σχεδόν τι, σφόδρα τι, ὅπως τι, ἐγγύς τι, ὁμοῦ τι κλ. — οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν οἶδεν (Ἅιδης), μόνην δ' ἔστερξε τὴν ἁπλῶς δίκην Ἀπ. Σοφ. 703 (Πλουτ. 761 F) μόνον δ' ἀγαπᾷ (ἀναγνωρίζει) τὴν ἀπόλυτον, τὴν αὐστηρὰν δικαιοσύνην (κατ' ἀντίθ. πρὸς τοὐπιεικὲς καὶ τὴν χάριν).

ἀπό (ἐπ. ἀπαί, ἀπο, ἀλλ' ἐνίοτε τὸ ο ἐκτείνεται ἐν ἄρσει, ὡς ἀπὸ νευρῆς Λ 664. ἀπὸ ῥίου Ξ 154 κἀλλ.). 1) Ἐπίρρ. μακράν, χωριστά· ἐν τμήσει: λούσῃ ἄπο βρότον Ξ 7 = ἀπολούσῃ βρ. ἀπὸ χλαῖναν βάλε Β 183 = ἀπέβαλε χλ. ἀπὸ χαλκὸς ὄρουσε βλημένου Φ 593 «ὥρμησεν ἀπὸ τοῦ βληθέντος τόπου» Σχ. Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι Π 75 «τὸ ἑξῆς ἐστιν ἀπαμῦναι· διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν» Ἡρῳδ. τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν Ρ 609 «τούτου δὲ παρ' ὀλίγον ἀπέτυχεν» Σχ. 2) Πρόθεσ. κυρ. δηλοῖ τοπικῶς· τὴν ἀφετηρίαν καὶ ἀρχὴν ἔκ τινος σημείου καὶ ἀπομάκρυνσιν. οἱ μὲν (ἐμάχοντο) ἀφ' ἵππων, οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες Ο 386 οἱ μὲν ἐμάχοντο ἀπὸ τῶν ἵππων ὁρμώμενοι (ὅθεν: ἔφιπποι), οἱ δὲ ἀπὸ τῶν πλοίων ὑψηλά, ἀφ' οὗ ἀνέβησαν ἐπάνω εἰς αὐτά. λαμπὰς ἀφ' ἵππων ἔσται Πλ. Πολ. 328 Α ἡ λαμπαδοδρομία θὰ γίνῃ ἀπὸ τῶν ἵππων (ἐν ᾧ δηλ. οἱ λαμπαδοδρομοῦντες θὰ εἶνε ἔφιπποι). Ἥρη δ' εἰσεῖδε — στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου Ξ 153 παρετήρησε (διηύθυνε πρὸς ἐκεῖνο τὸ μέρος τοὺς ὀφθαλμούς της) ἐκ τοῦ Ὀλύμπου ἀπὸ τοῦ ἀκρωτηρίου (τὸ ἀπὸ τοῦ ῥίου εἰδικώτερος διορισμός), ἀφ' οὗ (ἐπορεύθη καὶ) ἐστάθη ἐπ' αὐτοῦ. ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου λ 278 δέσασα τὸ σχοινίον ἀπὸ τοῦ μελ., ὥστε νὰ κρέμαται ἀπ' αὐτοῦ. ἀπὸ τῆς ἐμῆς κεφαλῆς τὴν τοῦ σοφωτάτου — κεφαλὴν ἀναδήσω Πλ. Συμπ. 212 Ε (λαβὼν τὰς ταινίας) ἀπὸ τῆς ἐμ. κεφαλῆς ἀναδήσω (αὐταῖς) τὴν τοῦ σοφ. κεφαλήν. κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ Αἰσχ. Ἀγ. 543 κυρ. χαῖρε κῆρυξ τῶν ἐν τῷ στρατῷ Ἀχ.

ἀπὸ τοῦ στρατοῦ (ἐλθών). οἱ ἀπὸ τῶν πύργων — ἐπαρήξουσι Ξεν. Κ. Π. 6, 4, 18 = οἱ ἐν τοῖς πύργοις ἐπαρ. ἀπὸ τῶν πύργων. τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ Θουκ. 2, 39 τῇ ἐμφύτῳ εὐτολμίᾳ ἡμ. αὐτῶν ἐν τῷ πολέμῳ. οἱ Λακεδαιμόνιοι φθόνῳ ἀπὸ τῶν πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ 4, 108 δὲν ὑπεστήριξαν αὐτὸν ἕνεκα φθόνου προερχομένου ἐκ τῶν πρώτων ἀνδρῶν: φθόνου, ὃν εἶχον οἱ πρ. ἄνδρες πρὸς αὐτόν. ἀπὸ τραπεζῶν δειπνεῖν Πλ. Πολ. 372 D κυρ. λαμβάνοντας τὴν τροφὴν (τὰ φαγητὰ) ἀπὸ τῶν τραπ. δειπνεῖν. — θεῶν ἄπο μήδεα εἰδώς ζ 12 ἔχων τὴν σύνεσιν ἀπὸ τῶν θεῶν (προερχομένην): κατὰ θείαν παραχώρησιν (ὁ Κ. Πανταζίδης παραβάλλει τὸ κοινόλεκτον: «ἀπὸ θεοῦ ἦταν τοῦτο»). κάλλος ἀπὸ Χαρίτων ἔχουσαι αὐτ. 18 κυρ. προερχόμενον ἀπὸ τῶν Χ. — Ἐνίοτε ἡ ἀπὸ σημ. τὸ ἀπωτέρω καὶ ἔμμεσον αἴτιον, ὡς ἐπράχθη οὐδὲν ἀπ' αὐτῶν ἔργον ἀξιόλογον Θουκ. 1, 17 τ. ἔ. ἀπ' αὐτῶν ὁρμώμενον, ἐξ αὐτῶν προερχόμενον. Ὁμοίως καὶ ἀλλ. 4, 76. 6, 61. 8, 48. Ὀρθῶς δὲ παρατηρεῖ ὁ Κλάσσεν, ὅτι ἡ ἐκτέλεσις τοῦ ἀξιολόγου ἔργου ἠδύνατο νὰ γίνῃ καὶ ὑπ' ἄλλων. Ἡ διόρθ. ἄρα τοῦ Cobet ὑπ' αὐτῶν εἶνε πλημμελής, διὰ τῆς ὑπὸ δηλουμένου τοῦ ἀμέσου ποιητικοῦ αἰτίου. Ὁμοίως λέγεται ἀπό τινος βλάπτεσθαι, ὠφελεῖσθαι κτλ. Ὁ Ξεν. ἐν Κ. Π. 1, 1, 2 λέγων, ὅτι οἱ ἔχοντες τὰς ἀγέλας ὠφελοῦνται ἀπ' αὐτῶν ἐννοεῖ, ὅτι ὠφελοῦνται διὰ τῆς ἐργασίας των, τοῦ γάλακτος, τοῦ κρέατος, τοῦ μαλλίου κτλ. Ὁ Πλούταρχος εἰς ἓν τῶν συγγραμμάτων του ἔδωκε τὴν ἐπιγραφὴν πῶς ἄν τις ἀπ' ἐχθρῶν ὠφελοῖτο, διότι ἐννοεῖ ὠφέλειαν ἔμμεσον, ἐκ τῶν λόγων καὶ τῶν ἔργων τῶν ἐχθρῶν προερχομένην. Τοὐναντίον ὠφελοῦμαι ὑπό τινος σημ. ἄμεσον ὠφέλειαν τ. ἔ ὑποστηρίζομαι ὑπό τινος. Διάφορα εἶνε ἀπὸ συμφορῶν διαβάλλεσθαι Θουκ. 5, 17 ἐξ ἀφορμῆς τῶν συμφ. διαβ. ἀπὸ τῆς ἱπποτροφίας θαυμάζεσθαι 6, 12 διὰ τῆς ἱπποτρ. κινεῖν τὸν θαυμασμόν. — λόγισαι ἀπὸ χειρὸς Ἀρφ. Σφ. 656 λογάριασε μὲ τὰ δάκτυλα (πρβ. τὸ Ὁμ. πεμπάζεσθαι δ 412). — ἀπ' ὀμμάτων Αἰσχ. Ἀγ. 978 μὲ τὰ 'μάτια μου. περὶ τοῦ ὀμμάτων ἄπο Εὐρ. Μήδ. 216 καὶ ὡς ἀπ' ὀμμάτων Σοφ. Ο. Κ. 16 ἴδ. ὄμμα. ἀπὸ γλώσσης Ἡρόδ. καὶ Αἰσχύλ. (ἴδ. γλῶσσα). ἀπὸ στόματος Αἰσχύλ. ἴδ. στόμα κττ. — ἀφ' ὥρας ἐργαζόμενα γύναια Πλουτ. Τιμ. 14 τὰ ἐπὶ χρήμασι πωλοῦντα τὴν ὡραιότητα, τὸ σῶμά των. ἀπὸ τῶν ἡμετέρων ὑμῖν πολεμεῖ συμμάχων Δημ. 4, 34 ὁρμώμενος ἐκ τῶν χρημάτων τῶν ὑμ. συμμάχων (οὓς διαρπάζει). — ταῦτα μὲν τὰ ἀπὸ τούτων τῶν ποταμῶν Ἡρ. 4, 53 σχεδὸν = ταῦτα τὰ περὶ τούτων τῶν ποτ., κυρ. ταῦτα εἶνε ὅσα ἔχει τις νὰ εἴπῃ λαμβάνων ἀφορμὴν ἐκ τούτων τῶν ποτ. Ὁμοίως 4, 195. οὐκ ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης ὀαριζέμεναι Χ 125 (ἴδ. δρῦς). — τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν Θουκ. 1, 49 ἐπειδὴ (εἰς τοὺς Κερκυραίους) δὲν ἐπανῆλθον αἱ εἴκοσι νῆες ἐκ τῆς διώξεως, ἀφ' οὗ καὶ προηγουμένως ὁ ἀριθμὸς τῶν πλοίων των ἦτο μικρότερος. — (ὁ Θηραμένης) ὅσον καὶ ἀπὸ βοῆς ἕνεκα ὠργίζετο τοῖς ὁπλίταις 8, 92, 9 ἐδείκνυεν (ἐξέφραζεν) ὀργὴν κατὰ τῶν ὁπλιτῶν μόνον μὲ τὰ λόγια: μόνον ὅσον ν' ἀκούηται (ἡ φωνή του): μόνον κατὰ τὸ φαινόμενον. Ὁμοίως Ξεν. Ἑλλ. 2, 4, 31. ‖ σημ. ἀπόστασιν, απομάκρυνσιν. μένων ἀπὸ ἧς ἀλόχοιο Β 292 «πόρρω τῆς ἰδίας γυναικός» Σχ. ἀπ αἰῶνος νέος ὤλεο Ω 725 ἀποχωρισθεὶς τοῦ βίου ἀπέθανες νέος. σπεύδειν ἀπὸ ῥυτῆρος Σοφ. Ο. Κ. 960 κυρ. μακρὰν τοῦ ῥυτῆρος, ὅθεν κρεμαμένου τοῦ χαλινοῦ, ἄνευ τοῦ χαλινοῦ: «μὲ τὰ τέσσαρα». ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι Α 562 «ἀποθύμιός μοι πλέον καὶ ἐχθρὰ γενήσῃ» Σχ. ἀπὸ δόξης Κ 324 μακρὰν τῆς προσδοκίας σου. οὐκ ἀπὸ γνώμης λέγεις Σοφ. Τρ. 389 «οὐκ ἄνευ συνέσεως» Σχ. (αἱ παλαιαὶ πόλεις) ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν Θουκ. 1, 7 μακρὰν τῆς θαλ. θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου 1, 76 οὐδὲ ἀλλότριον τῆς φύσεως τῶν ἀνθρώπων. αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων 6, 64 μακρὰν τῶν ὅπλων (τοῦ στρατοπέδου). νούσων δ' ἐσμὸς ἀπ' ἀστῶν ἵζοι κρατὸς ἀτερπής Αἰσχ. Ἱκ. 692 ὁ ἀτερπὴς τῶν νόσων ἐσμὸς ἔστω (κυρ. ἃς κάθηται, διὰ τὴν μεταφορὰν ἀπὸ τοῦ σμήνους τῶν μελισσῶν) μακρὰν τῆς κεφαλῆς τῶν ἀστῶν. — Θηραίοισι ἔαδε ἀδελφεὸν ἀπ' ἀδελφεοῦ πέμπειν πάλῳ λαχόντα Ἡρ. 4, 153 πέμπειν ἄποικον ἐκ δυοῖν ἀδελφῶν τὸν ἕτερον κληρωθέντα. — Ἡ ἀπὸ πάσχει καὶ τμῆσιν (Σ 92) καὶ ἀναστροφὴν (Ἡροδ. 2, 6). Τέλος ἄπο = ἄπεστι, ᾧ (τῷ Boeckh, τοῦ Bergk) ξυμβουλεύειν χὲρς ἄπο, νοῦς δὲ πάρα Τιμοκρέων Ἀπ. 9 πιθανῶς περὶ τοῦ Θεμιστοκλέους: ὅταν συμβουλεύῃ τις, ἡ χεὶρ εἶνε (πρέπει νὰ εἶνε) μακράν, ὁ δὲ νοῦς εἶνε πλησίον.

ἀποβαίνω (ἴδ. βαίνω): αἱ μὲν (τῶν ἐλπίδων) τελευτῶσιν ἐν ὄλβῳ βροτοῖς, αἱ δ' ἀπέβησαν Εὐρ. Βάκχ. 909 ὅπου ἀντὶ τοῦ ἀπέβησαν ὁ Stadtmueller γρ. ἐμάτησαν, καὶ ἄλλοι ἄλλα, διότι ἐνταῦθα τὸ ἀπέβησαν σημ. ἐχάθησαν, δὲν ἐξεπληρώθησαν, τοὐναντίον τοῦ συνήθους, καθ' ὃ ὁ χρησμός, ἡ ὑπόσχεσις ἀπέβη σημ. ἐξεπληρώθη. Κατὰ τὴν γνώμην μου εἰς τὸ ἀπέβησαν ἐνν. τοῦ ὄλβου τ. ἔ. ἀπῆλθον ἐκ τοῦ ὄλβου: δὲν ηὐτύχησαν, ἐματαιώθησαν. — τῆς γνώμης τὸ μη.. νικηθὲν.. τῆς ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι Θουκ. 2, 87 (ἴδ. κατὰ κράτος). — Ἀπροσ. ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην Ἡρ. 3, 82 ὅπου τὸ ἀπέβη = τὰ πράγματα ἀπέβησαν (κυρ. ἀπόβασις ἐγένετο).

ἀποβάλλω (ἴδ. βάλλω): ὅθεν ἀπὸ νῆας ἐς πόντον βάλ-

λουσι δ 359 δθεν ῥίπτουσι τὰ πλοῖα εἰς τὴν θάλασσαν, δηλ. ἀποπλέουσι.

ἀποβλαστάνω βλαστάνω ἀπό τινος. ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος Σοφ. Ο. Κ. 534 ἐγεννήθησαν ἐκ τῶν ὠδίνων κοινῆς μητρός.

ἀποβλέπω σημ. πρὸς τοῖς ἄλλοις καὶ βλέπω τινὰ (μακρόθεν) μετὰ θαυμασμοῦ, ὅθεν θαυμάζω, ὡς Εὐρ. Ἰ. Α. 1378. καὶ παθ. Ἀρφ. Ἐκκλ. 726. Θεοφρ. Χαρ. 2. Λουκ. Νιγρ. 13.

ἀποβουκολέω ἀποπλανῶ, χάνω ἐξ ἀμελείας. χαρίεν γάρ, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι Ξεν. Κ. Π. 1, 4, 13 νόστιμον θὰ εἶνε, δι' οὐτιδανὰ κρέατα νὰ γίνω αἴτιος εἰς τὴν κόρην μου νὰ χαθῇ τὸ παιδί της (εἰς τὰ βουνά).

ἀπογιγνώσκω (ἴδ. γιγνώσκω), Ἰων. καὶ μτγν. ἀπογινώσκω, συντ. καὶ μετὰ γεν. ἐμοῦ οἱ νόμοι ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν Λυσ. 1, 34 κυρ. ἐμὲ ἔχουν ἀθῳώση οἱ νόμοι (ἀποφαινόμενοι), ὅτι δὲν ἀδικῶ· πρβ. Θουκ. 1, 95.

ἀπογράφω ἀντιγράφω ἐν καταλόγῳ, καταγράφω τὴν περιουσίαν τινὸς εἰς δήμευσιν, ὡς δικανικὸς ὅρος, καταμηνύω κττ. τινὲς τῶν Ἐλευσῖνάδε ἀπογραψαμένων Λυσ. 25, 9 τινὲς ἐξ ἐκείνων, οἵτινες ἔδωκαν τὰ ὀνόματά των διὰ τὴν Ἐλευσῖνα, ὡς μέλλοντες νὰ μετάσχωσι τῆς εἰς τὴν Ἐλευσῖνα ἐκστρατείας. τῆς οὐσίας ἀπογραφείσης καὶ δημευθείσης Δημ. 40, 22. ἀπογραφήσεσθαι ἔμελλεν ἡ οὐσία — δημοσία εἶναι 59, 7. τὰ ἀνδράποδα ἀπεγράφοντο (= ἀπέγραφον ἑαυτοῖς) Λυσ. 12, 8 ἔκαμνον ἀπογραφὴν πρὸς ἰδίαν των χρῆσιν (διότι τὰ καλλίτερα αὐτοὶ ἐλάμβανον). Τὸ ἐνεργ. ἀπογράφω = κάμνω ἀπογραφὴν πρὸς δήμευσιν, ἢ δίδω σημείωσιν τῶν πραγμάτων, ὡς Λυσ. 19, 50. 28, 5. ἀπέγραψε ταῦτα πρὸς Θηριππίδην ἔχονθ' ἑαυτὸν Δημ. 27, 14 ἔκαμεν ἀπογραφὴν (καὶ ἐδήλου) ἐνώπιον τοῦ Θηρ. ὅτι εἶχε ταῦτα τὰ πράγματα. πρὸς ὀφείλοντά με αὐτῷ ἀπέγραψε 27, 59 ἐν τῷ λογαριασμῷ ἐσημείωσέ με καὶ ὡς ὀφειλέτην του (ὅτι καὶ τῷ ὀφείλω). — ὑπόμνημα ἀπεγράψατο τήν τε χρείαν καὶ τὸ ὄνομα τοῦ λαβόντος 49, 30 διέταξε τὸν γραμματέα νὰ σημειώσῃ ἐν τῷ βιβλίῳ καὶ τὸν σκοπὸν (προορισμὸν) τῶν χρημάτων καὶ τὸ ὄνομα τοῦ λαβ. ἡγοῦμαι πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν Λυσ. 21, 16 πολὺ δικαιότερον ἠθέλατε καταγγελθῇ ὑμεῖς ὑπὸ τῶν ζητ., ὅτι ἔχετε τὰ ἐμά. — ἀπογράφει τῶν αὑτοῦ ἐγγυητῶν τὰ ὀνόματα Λυσ. 13, 30 καταγράφει τὰ ὀνόματα τῶν ἐγγυητῶν ἐν ἰδιαιτέρῳ πρακτικῷ, ὅπερ ἐχρησίμευε διὰ τὴν μήνυσιν. ταῦτα ἐμήνυσε καὶ ἀπέγραψε τούτους Ἀνδοκ. 1, 13. πρόθυμοι ἦσαν ἀπογράφεσθαί με Ἀντιφ. 6, 37 νά με καταμηνύωσι. Καὶ περὶ τοῦ προέδρου τοῦ δικαστηρίου, ἐνώπιον τοῦ ὁποίου γίνεται ἡ καταγγελία: οὔ φασιν αὐτὸν (τὸν βασιλέα) ἐθέλειν ἀπογράφεσθαι τὴν δίκην 6, 41 λέγουσιν, ὅτι δὲν θέλει νὰ δέχηται τὴν μήνυσιν. Καὶ παθ. ἐπειδάν τις ἀπογραφῇ φόνου δίκην 6, 36 ὁπόταν τις καταμηνυθῇ ἐπὶ φόνῳ. εἰς τὴν βουλὴν ἀπογραφείς Ἰσαῖ. 4, 28 καταμηνυθεὶς οὐδὲ διαδικασίαν ἀπεγράψατο πρὸς οὐδένα Δημ. 47, 28 ἐναντίον οὐδενὸς ἔκαμεν αἴτησιν (δικαστικήν), ὅτι πρέπει νὰ συμπεριληφθῇ εἰς τὴν δίκην, ν' ἀναλάβῃ τὴν δίκην ἀντ' αὐτοῦ.

ἀπογυμνάζω ἐκγυμνάζω. ἀπ. στόμα Αἰσχ. Ἑπτ. 428 ἐκγυμνάζων τὸ στόμα μέχρι καταπονήσεως (κουράζων), ἐξασκῶν μόνον τὴν γλῶσσάν του (διὰ ματαίων ἀπειλῶν).

ἀποδακρύω (ῡ): ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν οὐδέν ποτ' ἄλλ' ἢ τῆς φακῆς ἐμπλήμενος Ἀρφ. Σφ. 983 «κοινόν τι παθὼν ὁ πρεσβύτης καὶ ἐπιδακρύσας τῷ τῶν παίδων ὀδυρμῷ αἰτιᾶται ὡς ἐκ τῆς φακῆς τοῦτο πεπονθώς» Σχ. ἐφανέρωσα νῦν τὴν γνώμην μου διὰ δακρύων δι' οὐδὲν ἄλλο παρὰ διότι ἔφαγα πολλὴν φακῆν. Κατ' ἄλλους τὸ γνώμην ἐμὴν = κατὰ γνώμην ἐμήν, ὥστε τὸ ἀπεδάκρυσα (ἐπεδάκρυσα διόρθ. Hirschig) κεῖται ἀπολύτως. Πρβ. Πλουτ. 840 D: τὰ εἰρημένα δένδρα πίονα ἔχειν τὴν φύσιν, ὥστε πίτταν ἀποδακρύειν καὶ ῥητίνην.

ἀποδείκνῡμι παρουσιάζω: οἱ ἐπεστεῶτες ἀπεδείκνυσαν τὸν λόγον Ἡρ. 7, 119 ἐπαρουσίαζαν τὸν λογαριασμόν. ἀπέδεξε ἐς τὸ δεῖπνον τετρακόσια τάλαντα ἀργυρίου τετελεσμένα 7, 118 ἐπαρουσίασε λ/μόν, ὅτι ἐξωδεύθησαν 400 τάλ. ἀργ. διὰ τὸ δεῖπνον. ἀποδεικνύντα ἐνέχυρον τοῦ πατρὸς τὸν νέκυν οὕτω λαμβάνειν τὸ ἀργύριον Ἡρ. 2, 136 ὅταν τις παρουσιάζῃ (δίδῃ, προσφέρῃ) ὡς ἐνέχυρον τοῦ πατρός του τὸν νεκρόν, οὕτω νὰ λαμβάνῃ τὰ χρήματα. ἀπολαβὼν ἅπαντα σᾶ ἀπέδωκά σοι, ἐπεὶ καὶ σὺ ἐμοὶ ἀπέδειξας τὸν ἄνδρα Ξεν. Ἀν. 5, 8, 7 ἀφ' οὗ καὶ σὺ μοῦ ἐπαρουσίασες (ἔφερες ὀπίσω, σχεδὸν = «ἀπέδωκας» κατὰ τὰ Ἀ. Β. σ. 419) τὸν ἄνδρα. ‖ ὁρίζω, ἀφιερῶ. τέμενός τινι, βωμόν κττ. Ἡρ. 5, 89. 7, 178. ‖ μὲ διπλῆν αἰτ. ἢ μὲ αἰτ. καὶ μτχ. ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας Ἀρφ. Βατρ. 1011. ὑγιέα μιν ἐόντα ἀπέδεξε Ἡρ. 3, 130 = ἀπέδειξεν αὐτὸν ὄντα ὑγιῆ. — πολλὰ δ' ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον Θουκ. 1, 6 (ἴδ. διαιτῶ). ‖ καὶ μετ' ἀπαρφ. ἀφίκοντο εἰς κώμας, ὅθεν ἀπέδειξαν οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια Ξεν. Ἀν. 2, 3, 14 τοῖς ἔδειξαν (ὥρισαν) οἱ ἡγεμόνες νὰ λαμβάνωσι τὰ ἐπιτήδεια· πρβ. Ἡρ. 2, 124. — Μέσ. ἀποδείκνῡμαι γνώμην φανερώνω (ἐκφράζω) τὴν γνώμην μου Ἡρ. 4, 97. Θουκ. Λυσ. Καὶ ἄνευ τοῦ γνώμην· οἱ δὲ μάντεις ἀποδεδειγμένοι ἦσαν, ὅτι κέ. Ξεν. Ἀν. 5, 2, 9

εἶχαν ἀποδείξῃ φανερώσῃ τὴν γνώμην (μαντείαν) των, ὅτι. Πλῆρες ἐν 5, 5, 3: ἀπεδείξαντο οἱ μάντεις γνώμην πρβ. ἀποφαίνομαι μετὰ τοῦ γνώμην καὶ ἄνευ αὐτοῦ. πνεύματα — στάσιν ἀντίπνουν ἀποδεικνύμενα Αἰσχ. Πρ. 1120 ἴδ. ἀντίπνους. — Παθ. ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους εἰωθότες ἰέναι Θουκ. 7, 57 συνηθίζοντες νὰ πορεύωνται ἐναντίον ἐκείνων, οἵτινες ἑκάστοτε ὑπεδεικνύοντο εἰς αὐτοὺς (ὑπὸ τῶν μισθωσάντων) ὡς ἐχθροί.

ἀποδέρω, Ἰων. — δείρω, ἐκδέρω, γδέρνω. Καὶ παθ. πρόβατα — ἀποδαρέντα καὶ φυσηθέντα Ξεν. Ἀν. 3, 5, 9 ἀφ' οὗ γδαρθοῦν καὶ φουσκωθοῦν. — ἔγωγ' ἀποδείρασα (ἐνν. τὴν ἄμοργιν, ἢ μᾶλλον τὸ ἀνδρ. αἰδοῖον) αὐτίκα μάλ' ἀπέρχομαι Ἀρφ. Λυσ. 739 ἀφ' οὗ ἀφαιρέσω τὸν φλοιὸν (ἢ τὸ δέρμα), καθαρίσω. Πρβ. 953: τά τ' ἄλλα πάντα κἀποδείρασ' οἴχεται = οἴχ. ἐπεὶ τά τε ἄλλα πάντα ἐποίησέ με καὶ ἀπέδειρέ μου τὸ αἰδοῖον. — Παθ. καθ' ὅτ' ἀπεδειρόμην, οὐκτὸς ἐγέλων Ἀρφ. Σφ. 1286 καὶ ἔπειτα ὅταν με ἔδερνεν (ὁ Κλέων) μέχρις ἐξαντλήσεως, οἱ ἐκτὸς εὑρισκόμενοι ἐγέλων.

ἀποδέχομαι, Ἰων. — δέκομαι: ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται.. ἀπρεπές τι ἐπιγνῶναι Θουκ. 3, 57 ἴδ. ἐπιγιγνώσκω.

ἀποδημέω εἶμαι μακρὰν τοῦ δήμου, τῆς πατρίδος: λείπω ἀπὸ τὴν πατρίδα μου Μοῖσα οὐκ ἀποδαμεῖ τρόποις ἐπὶ σφετέροισι Πίνδ. Π. 10, 37 «ἡ δὲ Μοῦσα οὐκ ἔστιν ἀπόδημος ἀπὸ τῶν ἠθῶν αὐτῶν· οἷον οὐκ εἰσὶν ἄμουσοι» Σχ. Τὸ ἀντίθ. ἐπιδημῶ. Εν τοῖς Ἀ. Β. 419 καὶ 79 ἀναφ. πρκ. ἀπεδημηκότες («Ἕρμιππος Φορμοφόροις») καὶ ἀπεδημηκότες ὡς ἐκ τοῦ Δημοσθ. καὶ Ξενοφ. («Δημοσθένης κατὰ Λεπτίνου καὶ Ξενοφῶν Ἀπομνημονευμάτων τρίτῳ»). Ἀλλ' οὔτε παρὰ Δημ. οὔτε παρὰ Ξεν. εὕρηται τοιοῦτόν τι.

ἐπαέξω: θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ ξ 65 ὁ δὲ θεὸς ἐπαυξάνῃ τὴν ἐργασίαν του. Ἀλλὰ καὶ ἄνευ τμήσεως τῆς ἐπὶ λαμβανομένης ἐπιρρήμ. (ἐπὶ τούτοις).

ἔπαθον ἴδ. πάσχω.

ἐπαίνεσις ἡ: καὶ σοὶ μὲν Ἀργεῖ' ὀνείδη καὶ Φρυγῶν ἐπαινέσεις ἀνέμοις φέρεσθαι παραδίδωμι Εὐρ. Τρῳ. 418 καὶ εἰς σὲ μὲν τὰ κατὰ τῶν Ἀργείων ὀνείδη καὶ τὰ ἐπαινέματα τῶν Φρ. (τὰ ὑπὸ σοῦ γενόμενα) παραδίδω, διὰ νὰ τὰ ρίψῃς εἰς τοὺς ἀνέμους (κυρ. διὰ νὰ φέρωνται ὑπὸ τῶν ἀν.).

ἐπαινέω (ἴδ. αἰνέω). Ἡ σύνταξις: ἐπαινῶ τι καί τινα: τινά τι ἢ τινά τινος (ἐπαινέσαντες πολλὰ ἑαυτούς Θουκ. 1, 86. ἐπαινῶ σε τῆς τέχνης Ἰουλ.): ἐπί τινι ἢ ἔν τινι (πράγματι): τί τινος ἀρσ.) Μετ' ἀπρφ., μετὰ τοῦ εἰ, ὅτι, ὡς. Ἐπὶ τῆς σημ. τοῦ παραινῶ, ἐπαινῶ τι ἢ τινά τι ἢ μετ' ἀπρφ. (Αἰσχ. Χο. 579) Ἀπολ. ἐπὶ δ' ᾔνεον ἄλλοι Ἀχαιοί Γ 461 = ἐπῄνουν δὲ οἱ ἄλ. Ἀχ. ἐπαινεσάντων δ' αὐτῶν ἐποιοῦντο τὴν ὁμολογίαν Θουκ. 4, 65 συναινεσάντων αὐτῶν. Μετὰ δοτ. Ἕκτορι γὰρ ἐπῄνησαν κακὰ μητιόωντι Σ 312 Ἕκτορι συνῄνεσαν κακὰ βουλευομένῳ. ἐπῄνεσ' ἔργον καὶ πρόνοιαν, ἣν ἔθου Σοφ. Αἴ. 536 ἐπαινῶ τὴν πρᾶξίν σου καὶ τὴν πρόνοιαν, ἣν ἔλαβες. Ὁ ἀόρ. δηλοῖ ὅτι ὁ Αἴας ἐπῄνεσε τὸ ἔργον, ἀφ' ὅτου ἐδήλωσεν ἡ Τέκμησσα, ὅτι ἀπεμάκρυνε τὸν παῖδα. Ὁμοίως λέγομεν καὶ ἡμεῖς: «ἐσιχάθηκα», «βαρέθηκα» κττ. ἵνα δηλώσωμεν ὅτι ἀπὸ πολλοῦ χρόνου ἐσχηματίσαμεν τοιαύτην ἰδέαν. ἐγὼ δέ, εἰ μὲν γυνή μοι διαφέρουσα εἴη πλούτῳ καὶ θάπτειν αὐτὴν διακελεύοιτο ἐν τῷ ποιήματι, τὸν ὑπερβάλλοντα ἂν τάφον ἐπαινοίην, φειδωλὸς δ' αὖ τις καὶ πένης ἀνήρ, τὸν καταδεᾶ, μέτρον δ' οὐσίας κεκτημένος καὶ μέτριος αὐτὸς ὤν, τὸν αὐτὸν ἂν ἐπαινέσαι Πλ. Νόμ. 719 E ἐγὼ δὲ (ὡς ποιητής), ἐὰν ὑπῆρχεν ἐν τῷ ποιηματί μου γυνὴ ὑπερέχουσα κατὰ τὸν πλοῦτον καὶ παρήγγελλε νὰ τὴν θάπτωσι, θὰ ἐπῄνουν τὴν μεγαλοπρεπῆ ταφήν, τοὐναντίον δὲ φειδωλός τις καὶ πτωχὸς θὰ ἐπῄνει (ἐν τῷ ποιηματί μου) τὴν πενιχρὰν (κατωτέραν) ταφήν· ὁ δ' ἔχων μετρίαν περιουσίαν καὶ μέτριος ὁ ἴδιος ὤν, ἤθελεν ἐπαινέσῃ τὴν αὐτὴν (δηλ. μετρίαν) ταφήν. τὸ λίαν ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν Εὐρ. Ἱππ. 264 τὴν ὑπερβολὴν ἐπαινῶ ὀλιγώτερον τοῦ μηδὲν ἄγαν. πάντ' ἔχω σ' ἐπαινέσαι λόγοισι Σοφ. Αἴ. 1381 κατὰ πάντα ἔχω νά σ' ἐπαινέσω διὰ τοὺς λόγους σου. ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ Αἰσχ. Ἱκ. 1007 σᾶς συμβουλεύω νὰ μή με καταισχύνητε. ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν Χο. 579 ὑμᾶς δὲ συμβουλεύω νὰ ἔχητε γλῶσσαν εὐλαβῆ. τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους; Σοφ. Αἴ. 1360 τοιούτων φίλων τὴν ἀπόκτησιν σὺ συμβουλεύεις; ἀνηβητηρίαν ῥώμην μ' ἐπαινῶ λαμβάνειν Εὐρ. Ἀνδ. 552 προτρέπω ἐμαυτὸν νὰ λαμβάνω (σχεδὸν = φέρε ἀναλάβω) ῥώμην ἀνηβητηρίαν (ὃ ἴδε). τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας πέμπειν ἐπαινῶ Αἰσχ. Ἑπτ. 583 ἀπέναντι τούτου σὲ συμβουλεύω νὰ πέμπῃς σοφοὺς καὶ γενναίους ἀντιπάλους. στρατὸς δ' ἐπῄνεσ', ἔς τ' ἀπαλλαγὰς πόνων καλῶς λελέχθαι μῦθον ἔς τ' εὐψυχίαν Εὐρ. Ἡρακλ. 811 ὁ στρατὸς δὲ ἐπεδοκίμασε τοῦτο, (ὑποδείξας) ὅτι ὁ λόγος οὗτος ἐλέχθη καλῶς καὶ ὡς πρὸς τὴν ἐκ τῶν πόνων ἀπαλλαγὴν (καὶ διότι θ' ἀπαλλαγῶσιν ἐκ τῶν πόνων) καὶ ὡς πρὸς τὴν εὐψυχίαν. ‖ παραιτοῦμαι εὐχαριστῶν· κάλλιστ', ἐπαινῶ Ἀρφ. Βατρ. 508 «απαραιτούμενοι ἔλεγον» Σχ. = δὲν θέλω, εὐχαριστῶ (= κάλλιστα ἐνν. ἔχει, ὃ καὶ προστίθεται ἐνίοτε· πρβ. καλῶς = δὲν θέλω, ἔφαγα κτλ.). Ἄλλοι ἧττον ὀρθῶς γρ. κάλλιστ' ἔπαινῶ (= ich danke schönstens). Πρβ. Ξεν. Συμπ. 1, 7 ἐπαινοῦντες τὴν κλῆσιν (= εὐγενῶς ἀποποιούμενοι τὴν πρόσκλησιν, εὐχαριστοῦντες διὰ τὴν πρόσκλησιν) οὐχ ὑπισχνοῦντο συνδειπνήσειν Ξεν. Ἀν.

7, 7, 52 καὶ Πλουτ. 22 F. ἴδ. καλῶς. || οὐ μέμφομαι· δῶρον δ' ὅτι δῷ τις ἐπαίνει παρ.=μὴ μέμφου. Κατὰ ταῦτα καὶ ἐν Ξεν. Ἀν. 7, 8, 23: ἐνταῦθα οὐκ ᾐτιάσατο τὸν θεὸν Ξενοφῶν = ἐπῄνεσεν, εὐχαρίστησε τὸν θεόν. Καὶ ἁπλῶς εὐχαριστῶ, ὡς τοὺς θεοὺς ἐγὼ ἐπαινῶ ὅσον δύναμαι Ξεν. Κ. Π. 4, 1, 2. 3, 2, 14. ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν Εὐρ. Ῥῆσ. 648 σοὶ εἶμαι εὐγνώμων διὰ τὴν πρὸς ἐμὲ ἐκδούλευσίν σου.

ἐπαίνημι Αἰολ. ἀντὶ ἐπαινέω.

ἔπαινος ὁ: ὁ νῦν ἔπαινος οὐκ ἐλάσσονα ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας Σοφ. Ο. Κ. 1413 ὁ νῦν ἔπαινος ὑμῶν θὰ ἀποφέρῃ ὑμῖν ἔτι ἄλλον ἔπαινον διὰ τὴν πρὸς ἐμὲ γενομένην φιλικὴν ὑπηρεσίαν (= ὑπουργίας) ὄχι μικρότερον. ἔπαινος περί (ὑπέρ, κατά) τινος Πλάτ. οἱ κατὰ (ὑπὲρ) Δημοσθένους ἔπαινοι Αἰσχ. 3, 50.

ἐπαίρω, Ἰων. ἐπαείρω σηκώνω ἐπάνω· ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι πάγκαρπα Σοφ. Ἠλ. 634 σήκωνε λοιπὸν σὺ ἡ πλησίον μου θεράπαινα τὰς ὁλοκάρπους προσφοράς. ἔπαιρε σαυτόν. Ἀλλ' ἐπῆρται τοῦτό γε Ἀρφ. Λυσ 937 σηκώνου ἐπάνω. Ἀλλὰ τοῦτο τοὐλάχιστον (τὸ αἰδοῖον) ἐσηκώθη. τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν Δημ. 16, 23 διὰ τί παρακαίρως διεγείρουσιν (ἀναθαρρύνουσι) τοὺς ἑτέρους. τίς σ' ἐπῆρε δαιμόνων; Σοφ. Ο. Τ. 1328 τίς τῶν δαιμόνων ἀνέπεισέ σε; νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον Εὐρ. Ἀπ. 149 ἡ νεότης μὲ παρέσυρε καὶ τὸ θράσος πλέον ἢ ὅσον ἀπῄτει ἡ φρόνησις. εἴ τι τοῦτό σε ψυχὴν ἐπαίρει Εὐρ. Ἡρακλ. 174 ἐὰν τοῦτο κάπως ἐνθαρρύνει τὴν ψυχήν σου: ἐὰν τοῦτο σοὶ παρέχει ἐλπίδας τινάς. Λοξίᾳ δὲ μέμφομαι, ὅστις (δρᾶν ὃς Weil) μ' ἐπάρας ἔργον ἀνοσιώτατον τοῖς μὲν λόγοις ηὔφρανε τοῖς δ' ἔργοισιν οὔ Εὐρ. Ὀρ. 286 ὅστις παρακινήσας (παρασύρας) με εἰς ἔργον ἀνοσ. διὰ μὲν τῶν λόγων του μὲ ηὔφρανε, ὄχι δὲ καὶ διὰ τῶν ἔργων του. ἐπαείρας (ἐνν. τὸ σκέλος) ἀπεματάϊσε Ἡρ. 2, 162 ἀπέπαρδε. Μέσ. τί τὴν ἄβουλον στάσιν γλώσσης ἐπήρασθε; Σοφ. Ο. Τ. 634 ἴδ. ἄβουλος. θρασεῖς λόγους τῇ πόλει ἐπαιρόμενος Δημ. 18, 222 κατὰ μεταφ. ἐκ τῶν ὅπλων= ἐπανατεινόμενος, ἐκβάλλων, ἀποτολμῶν νὰ λέγῃ λόγους ἀπειλητικούς. Παθ ἐπῆρται τοῦτό γε («τὸ αἰδοῖον» Σχ.) Ἀρφ. Λυσ. 937 ἴδε ἀνωτ. ἐπηρμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων Θουκ. 7, 51 ἦσαν σηκωμένοι 'ς τὸ πόδι, ὥστε νὰ μὴ —, προσεπάθουν νὰ μὴ ἀφήσουν τοὺς Ἀθ. νὰ φύγουν. ἡ Ἑλλὰς τῇδε τῇ ὁρμῇ ἐπῆρται καὶ προσέχει τὴν γνώμην Θουκ. 2, 11 ἡ Ἑλλὰς διὰ ταύτης τῆς κινήσεως ἡμῶν εἶνε μετέωρος (συντεταραγμένη) καὶ ἔχει πρὸς αὐτὴν ἐστραμμένην τὴν προσοχήν της. Ἄλλοι τὸ τῇδε τῇ ὁρμῇ συνάπτουσι πρὸς μόνον τὸ προσέχει. — τοὺς ξυμμάχους ἅμα ἐδέδισαν σφῶν, μὴ διὰ τὰ σφάλματα ἐπαιρόμενοι ἐπὶ πλέον ἀποστῶσι 5, 14 συγχρόνως ἐφοβοῦντο, μήπως οἱ σύμμαχοι πάρουν θάρρος («τὸ πάρουν ἐπάνω των») διὰ τὰς ἀποτυχίας τῶν Ἀθ. καὶ ἀποστατήσωσιν εἰς μεγαλιτέραν ἔκτασιν. Καὶ ἄλλως: χρὴ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι 6, 11 δὲν πρέπει νὰ ὑπερηφανεύεσθε, «νὰ τὸ παίρνετε ἐπάνω σας», διὰ τὰ δυστυχήματα τῶν ἐναντίων.

ἐπαισθάνομαι: οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν Σοφ. Αἴ. 553 «οὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν» Σχ Ἀλλὰ καὶ ἡ ἐξήγ. «οὐδὲν ἐκ τούτων τῶν κακῶν ἐννοεῖς» ἔχει τὸν λόγον της ἐν τῇ ἐφεξῆς ἀντιλογίᾳ: «ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος». ὥσπερ ἐν τοῖς σώμασιν, τέως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται Δημ. 2, 21 ὅπως εἰς τὰ σώματα, ἐφ' ὅσον ἔχει τις τὰς δυνάμεις του, δὲν αἰσθάνεται τίποτε.

ἐπαΐσσω: ἄλλοτε δ' ἀλλοῖος οὖρος πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει Πίνδ. Ἰ. 3, 24 ἄλλοτε δὲ ἀλλοῖος ἄνεμος ἐπιπνέων ἐλαύνει πάντας τοὺς ἀνθ. Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων Ε 263 νὰ ὁρμήσῃς εἰς τοὺς ἵππους τοῦ Αἰνείου, μνήμων (τῆς δοθείσης σοι ἐντολῆς). σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον Ν 687 σπ. ἐφορμῶντα κατὰ τῶν πλοίων ἐκώλυον. πᾷ πόδ' ἐπάξας σαρκῶν ὀστέων τ' ἐμπλησθῶ; Εὐρ. Ἑκ 1071 πρὸς ποῖον μέρος κινήσας τὸν πόδα μου (ἐφορμήσας) νὰ (γευθῶ καὶ νὰ) χορτάσω σάρκας καὶ ὀστᾶ; Μέσ. οὐδ' ἔτι χεῖρες ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί Ψ 682 «οὐδὲ αἱ χεῖρες ἑκατέρωθεν ἐκ τῶν ὤμων κινοῦνται ἐλαφραί» Γαζῆς, κυρ. κινοῦνται ἐπὶ τῶν ὤμων. ἐπαΐξεσθαι ἄεθλον Ψ 773 ἐπὶ τὸ ἆθλον ὁρμήσειν. ἐξ ὕδατος καὶ καρκίνος ᾤχετο χέρσον, χειμῶνος μέλλοντος, ἐπαΐσσεσθαι ὁδοῖο Ἄρατ. 1138 μετέβη εἰς τὴν ξηράν, ἐπὶ τῇ προσεγγίσει χειμῶνος, ἵνα κινῆται ἐπὶ τῆς ὁδοῦ.

ἐπάϊστος Ἰων. 2 (ἐπαΐω)· ὡς ἐπάϊστος ἐγένετο τοῦτο ἐργασμένος Ἡρ. 2, 119 καθὼς (ἐπειδὴ) ἔγινε γνωστός, ὅτι διέπραξε τοῦτο τὸ ἔργον.

ἐπαισχύνομαι κυρ. αἰσχύνομαι ἐπί τινι· πολλῶν πάροιθεν καιρίως εἰρημένων τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι Αἰσχ. Ἀγ. 1373 πολλῶν πρότερον σκοπίμως εἰρημένων οὐκ ἐπαισχυνθ. νῦν εἰπεῖν τἀναντία. Μετὰ μετοχ. οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν Σοφ. Φιλ. 929 καὶ δὲν ἐντρέπεσαι βλέπων με.

ἐπαιτέω κυρ. αἰτῶ τι ἐπί τινι, ζητῶ καὶ ἄλλο (ἐκτὸς τοῦ πρότερον δοθέντος)· ὧν ἐπαιτεῖς εἰς δέον πάρεσθ' ὅδε Κρέων τὸ πράσσειν καὶ τὸ βουλεύειν Σοφ. Ο. Τ. 1417 ἴδ. βουλεύω. εἰ καί νύ κεν οἴκοθεν ἄλλο μεῖζον ἐπαιτήσειας Ψ 591 «ἐπὶ τῷ ἵππῳ αἰτήσειας» Εὐστάθ. || ἐπανειλημμένως, ἐπιμόνως ζητῶ. Τὸ ἀντίθ. προσδίδωμι. Μέσ. οὐ γὰρ ὡς ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε, ἀλλ' ἢ φίλων τις ἢ πρὸς αἵματος φύσιν Σοφ. Ἠλ. 1124 διότι δὲν παρακα-

λεῖ νὰ τῆς δώσουν ταῦτα (ὁ πληθ. διότι ἡ Ἠλέκ. δὲν θέλει μόνον τὸ ἄγγος ἀλλὰ καὶ ὅπως κλαύσῃ) μὲ ἐχθρικὸν σκοπόν, ἀλλ' ὥς τις ἐκ τῶν φίλων ἢ ὡς συγγενὴς ἐξ αἵματος.

ἐπαιτιάομαι μελ. -άσομαι. Ἀποθ. μέσ. αἰτιῶμαί τινα ἐπί τινι. Ἡ σύνταξις: ἐπαιτιῶμαί σε: ἐπαιτιῶμαί σε τούτου, καὶ ἐπαιτιῶμαί σε ποιῆσαι τοῦτο. Καὶ πρὸς σύστ. αἰτ. ἐπαιτ. τινά τι.—καὶ γὰρ οὖν κείνην ἴσον ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου Σοφ. Ἀντ 489 ἴδ. βουλεύω. ἀραῖος (ὁ ἴδε), εἴ σέ τι δέδρακ' ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν Ο. Τ. 645 ἐάν σε ἔχω κάμῃ τι ἐξ ἐκείνων, τὰ ὁποῖα μὲ κατηγορεῖς ὅτι ἔκαμνον. τὴν ἰδίαν ξυμφορὰν τῆς φυγῆς ἐπῃτιάσατο καὶ ἀνωλοφύρατο Θουκ. 8, 81 «ἐπῃτιάσατο τοὺς Ἀθηναίους περὶ τῆς ἰδίας ξυμφορᾶς τῆς κατὰ τὴν φυγὴν» καὶ «τὰ ἑαυτοῦ πάθη μετὰ ὀλοφυρμοῦ διηγήσατο» Σχ. Ἀλλὰ τὸ τὴν ξυμφοράν συμφωνεῖ μᾶλλον πρὸς τὸ ἀνωλοφύρατο τ. ἕ. = ἐπαιτιώμενος ἀνωλοφύρατο τὴν ξυμφ. ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ διακοσμεῖν τὰ πράγματα Πλ. Φαίδ. 98 Β παρατηρῶ ἄνθρωπον τὸν μὲν νοῦν οὐδόλως μεταχειριζόμενον οὐδέ τινας αἰτίας εἰς αὐτὸν (τὸν νοῦν) ἀποδίδοντα διὰ τὴν διακόσμησιν τῶν πραγμάτων. γράψας ἐν γραμματείῳ ἃ ἐπαιτιῶμαι τὴν γυναῖκα ταύτην Ἀντιφ. 1, 10 τὰς κατηγορίας, (διὰ) τὰς ὁποίας κατηγορῶ τὴν γυν. ταύτην. κἀμὲ γάρ τι ξυμφοραῖς ἐπαιτιᾷ; Αἰσχ. Πρ. 974 μήπως καὶ ἐμὲ αἰτιᾶσαι κάπως διὰ τὰς συμφοράς σου;

ἐπαίτιος 2 ἔνοχος, αἴτιος (κακοῦ) τινος· οὔ τι μοι ὔμμες ἐπαίτιοι Α 335 οὐδόλως εἶσθε σεῖς αἴτιοι, δέν μοι πταίετε σεῖς. δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι Θουκ. 5,65 ὑποδηλῶν ὅτι ἡ παροῦσα ἄκαιρος προθυμία θέλει νὰ εἶνε (ἢ κατὰ τὴν γρ. βουλόμενον, ἣν παρέχει ὁ Πλούτ. 797 C: ὅτι ἐπιθυμεῖ ὁ Ἆγις νὰ εἶνε ἡ παρ. ἄκαιρος προθυμία) ἐπανόρθωσις τῆς ἐξ Ἄρ. ἐνόχου (ἐπιμέμπτου) ὑποχωρήσεως. ὑποπτεύσας μή τι πρὸς τῆς πόλεως ἐπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι..., συμβουλεύει κέ. Ξεν. Ἀν. 3, 1, 5 κυρ. μήπως ἤθελεν ὑπάρχῃ τις ἀφορμὴ αἰτιάσεως (ἐνοχῆς) ἐναντίον του ἐκ μέρους τῆς πόλεως. Τὸ ἐπαίτιον τοῦτο θὰ ἦτο: ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι.

ἐπάκουσις ἡ, τὸ ἐπακούειν, τὸ ἐπακοῦσαι. Ἐν ἐπιγρ. Κνιδ. 3591, 43 τοῖς παραγενομένοις ἐπὶ τὰν ἐπάκουσιν τῶν μαρτυριῶν ἵνα ἐπακούσωσιν (ἐπήκοοι γένωνται) τῶν μαρτ.

ἐπακούω, μέλ. -σομαι. Μετ' αἰτ. πργμ. πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει Γ 277 κυρ. ὁ ἥλιος ὅλα ἀκούει ἀπ' ἐπάνω, πάντα εἶνε ἐντὸς τῆς περιοχῆς τῆς ἀκοῆς του· ὅθεν σημ. ἀκούειν ἐκ τοῦ πλησίον· πρβ. ἐπήκοος. ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις Υ 250 ὁποῖον λόγον εἴπῃς, τοιοῦτον θὰ ἀκούσῃς. Μετὰ γεν. τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι Θουκ. 2, 36 κυρ. ἐπακούουσιν ὅσοι δὲν ἀπέχουσι πολὺ ἀπὸ τοῦ ῥήτορος: παρ' ὅσοις οἱ λόγοι τοῦ ῥήτορος εἶνε ἐντὸς τῆς περιοχῆς, ὡς εἰπεῖν, τῆς ἀκοῆς των. Ἐπακούουσι λοιπὸν ὅσοι ἵστανται εἰς ἐπήκοον τ. ἕ. εἰς τόσην ἀπόστασιν, ὥστε νὰ δύνανται νὰ ἀκούωσιν. Ἡ δ' ἑρμηνεία τοῦ Classen: «ἐπὶ πλήθους ἀνθρώπων, οἵτινες ὄχι ἄνευ προσπαθείας καὶ προσοχῆς ἀκούουσι καὶ ἐννοοῦσιν, εἶνε ἡμαρτημένη. ἡ γυνὴ ἐδόκει σοι.. πώς τι ἐπακούειν ὧν σὺ ἐσπούδαζες διδάσκων Ξεν. Οἰκ. 9,1,1 ὅπου ὁ Dind. διώρθ. ὑπακούειν. πρβ. τὸ ἐν § 18: ταῦτα ἀκούσασα ἡ γυνὴ πῶς σοι ὑπήκουε;—δίκης ἐπάκουε Ἡσ. Ἔργ. 275 ὑπάκουε (πείθου) εἰς τὸ δίκαιον, τὴν δικαιοσύνην. Καὶ μετὰ μτχ. ἔστι δ' οἷον ἐγὼ γᾶς Ἀσίας οὐκ ἐπακούω οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ Πέλοπος πώποτε βλαστὸν φύτευμα Σοφ. Ο. Κ. 694 ἐδῶ ὑπάρχει φυτόν, ὁποῖον ἐγὼ οὔτε ἐν τῇ Ἀσίᾳ ἤκουσα οὔτε ἐν τῇ μεγάλῃ Δωρικῇ νήσῳ τοῦ Πέλοπος νὰ ἐβλάστησέ ποτε. εὐλαβεῖσθαι μή ποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν Πλάτ. Νόμ. 729 Β μή ποτέ τις τῶν νέων ἴδῃ αὐτὸν (τὸν πρεσβύτερον) ἢ καὶ ἐπακούσῃ ποιοῦντα ἢ λέγοντά τι τῶν αἰσχρῶν. || ἐπαίρουσιν αὐτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν Ξεν. Κυνηγ. 5, 19 ἀνασηκώνουσιν ἑαυτούς (τὰ ὦτά των) καὶ προσέχουν ν' ἀκούσωσιν, ἂν κτλ. || εἰσακούω· ἐπακούει τις ἐρωτῶντος, εὐχομένου, λέγοντος, ἀλλ' ὑπακούει τις καλοῦντι, κόπτοντι τὴν θύραν κττ. Ἀπολύτ. ἐπακούσατε δεξάμεναι θυσίαν Ἀρφ. Νεφ. 274 ὅπου ὁ Δίνδορφ ἔγρ. ὑπακούσατε (ὁ ἴδε). ἄθρει δὲ περισκοπῶν (σκοπῶν κύκλῳ), μή τις τῶν ἀμυήτων ἐπακούῃ Πλ. Θεαίτ. 155 Ε ἀμυήτους ἐνταῦθα ὀνομάζει ὁ Πλάτων, κατ' εὐρυτέραν ἔννοιαν, τοὺς οὐδὲν ἄλλο ἀποδεχομένους ἢ τὸ προσπῖπτον εἰς τὰς αἰσθήσεις, τοὺς ὑλιστάς, κατ' ἀντίθ. πρὸς τὸν Ἡράκλειτον καὶ Πρωταγόραν. Ὁ ἴδιος δὲ ἐπεξηγεῖ τὸ πρᾶγμα ἐν τοῖς ἐφεξῆς.

ἐπακρίζω: πολλῶν αἱμάτων ἐπήκρισεν («ἐπ' ἄκρον ἤγαγε καὶ τέλος ἐπέθηκε» Ἡσ. καὶ Εὐστάθ. «ἐπὶ ἄκρον ἦλθε» Σχ.) τλήμων Ὀρέστης Αἰσχ. Χο. 931 ἐπέθηκε τὸν κολοφῶνα εἰς τὰς πολλὰς (προγενεστέρας) μιαιφονίας, αἱματοχυσίας ἐν τῷ οἴκῳ (πρβ. Ἀγ. 1282).

ἐπακτός 2: οὐκ ἀστός, ἀλλ' ἐπακτὸς ἐξ ἄλλης χθονός Εὐρ. Ἴων 290 ἐπείσακτος, ἔξωθεν ἐλθὼν ἐξ ἄλλης χώρας. ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε δορός τ' ἐπακτοῦ... τιθῇ Σοφ. Ο. Κ. 1525 ἴδ. ἀλκή. αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ᾗ λαβὼν ἐπακτὸν ἄνδρα Αἴ. 1296 ξένον ἄνδρα δηλ. μοιχόν. κοὔτοι νόσον γ' ἐπακτὸν ἐξαρούμεθα Τρ. 491 ἴδ. ἐξαίρω. τῇ

Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφός ἐστιν, ἀρετὴ δὲ ἔπακτός ἐστι, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ Ἡρ. 7, 102 μὲ τοὺς Ἕλληνας ἀνέκαθεν καὶ ἐξ ἀρχῆς ἡ μὲν πενία εἶνε μαζὶ ἀνατεθραμμένη, ἡ δὲ ἀρετὴ εἶνε ἐπείσακτος καὶ ἀποκτῶσιν αὐτὴν ὁρμώμενοι ἐκ τῆς σκέψεως (τοῦ φυσικοῦ νοῦ) καὶ τῆς δυνάμεως τοῦ νόμου. γάμων ἐπακτὸν (ἐπακτὰν πρότερον παρὰ τὸ μέτρον) ἄταν Εὐρ. Φοίν. 345 ἐπείσακτον συμφορὰν ἐκ τῶν (ξένων) γάμων (ὡς εἰ μὴ ἐπήρκουν τὰ οἰκεῖα τῶν Λαβδακιδῶν κακά). ὅρκος ἐπακτός Ἰσ. 1, 23 ὁ ὑπὸ τοῦ ἀντιδίκου ἐπαγόμενος (προτεινόμενος), καὶ οὐχὶ καθ' Ἁρποκρ. « ὃν αὐτός τις ἑκὼν αὑτῷ ἐπάγεται τ. ἔ. αἱρεῖται». ἢ οὐκ αἰσχρὸν δοκεῖ καὶ ἀπαιδευσίας μέγα τεκμήριον τὸ ἐπακτῷ παρ' ἄλλων, ὡς δεσποτῶν τε καὶ κριτῶν, τῷ δικαίῳ ἀναγκάζεσθαι χρῆσθαι; Πλ. Πολ. 405 Β ἢ δὲν φαίνεται ἐπονείδιστον καὶ μεγάλη ἀπόδειξις ἀπαιδευσίας τὸ νὰ μεταχειρίζηταί τις τὸ δίκαιον ἐπείσακτον παρ' ἄλλων, ὡσὰν δεσποτῶν καὶ κριτῶν;

ἐπᾰλαλάζω, μέλ. -άξω ἐκβάλλω πολεμικὸν ἀλαλαγμὸν ἐπὶ τῷ ἐγγίζοντι πολέμῳ, ὅθεν τῷ Ἐνυαλίῳ ἐπηλάλαξαν Ξεν. Κ. Π. 7, 1, 56 ἐφώναξαν τὴν πολεμικὴν κραυγὴν (ἀλαλά) ἐπὶ τῇ προσεγγίσει τοῦ Ἐνυαλίου (τοῦ θεοῦ τοῦ πολέμου).

ἐπαλάομαι ἀποθ. μέσ. μὲ παθ. ἀόρ. καὶ μέλλ. -ήσομαι: πόλλ' ἐπαληθείς δ 81 μετὰ πολλὰς περιπλανήσεις.

ἐπαλαστέω: τὸν δ' ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη α 252 «ἐπὶ τοῖς λεχθεῖσι δεινοπαθήσασα» Σχ.

ἐπᾰλείφω ἀλείφω τι ἀπ' ἐπάνω, ἐπιχρίω· ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων, κηρὸν δεψήσας μ 47 νὰ ἐπαλείψῃς τὰ ὦτα τῶν συντρόφων σου (μὲ κηρόν), ἀφ' οὗ μαλακώσῃς (μαλάξῃς) κηρόν.

ἐπᾰλέξω: μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ Υ 315 ὅτι ποτὲ δὲν θὰ ἀποκρούσωμεν ἀπὸ τοὺς Τρῶας (κυρ. εἰς τοὺς Τρ.) τὴν κακὴν ἡμέραν, βοηθοῦσαι αὐτούς. ἐλλιτάνευε κακῇ ἐπαλαλκέμεν ἄτῃ Νικ. Θηρ. 352 παρεκάλει νὰ τὸν βοηθήσῃ εἰς τὴν κακήν του συμφοράν.

ἐπαλής 2 ἀλεεινός· πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην ὥρῃ χειμερίῃ Ἡσ. Ἔρ. 493 ἴδ. ἀλεής.

ἐπαλλάσσω, Ἀττ. -ττω· τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν Ν 358 σύροντες ποτὲ μὲν ἐδῶ ποτὲ δὲ ἐκεῖ (ποτὲ μὲν ἐπὶ τούτων, ποτὲ δ' ἐπ' ἐκείνων) τὸ σχοινίον τοῦ πολέμου, κατέστησαν ἀμφιρρεπῆ τὴν μάχην (πρβ. ἐπαμείβω)· ἡ εἰκὼν ἐκ τῆς παιδιᾶς διελκυστίνδα. Ἄλλοι: ἐτέντωσαν τὸ σχοινίον τοῦ πολέμου ἐναλλὰξ ἐπ' ἀμφοτέρων (ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν). Οἱ δὲ ἀρχαῖοι: «τὸ πέρας τῆς ἔριδος καὶ τὸ πέρας τοῦ πολέμου συμπλέξαντες ἐπ' ἀμφοτέροις τοῖς στρατεύμασιν ἥπλωσαν αὐτό». — ἐπαλλάττοντες ἅλματα, ἐμποιοῦντες ἴχνεσιν ἴχνη Ξεν. Κυν. 5, 20 ποικίλλοντες τὰ ἅλματά των καὶ ἐπὶ τῶν (προηγουμένων) ἰχνῶν ποιοῦντες ἄλλα ἴχνη. ποὺς ἐπαλλαχθεὶς ποδί Εὐρ. Ἡρακλ. 836 ὁ ποὺς προταθεὶς ἐναντίον τοῦ ποδὸς τοῦ ἀντιπάλου, ὥστε νὰ διασταυρώνωνται οἱ πόδες αὐτῶν. ἐπηλλαγμέναις δι' ἀλλήλων ταῖς χερσί Πλουτ. Λουκούλ. 21 μὲ χέρια σταυρωμένα εἰς σημεῖον ὑποταγῆς (ἴδ. Κοραῆν). ἀπεκρίνατο οὐχ ὥσπερ οἱ φυλαττόμενοι, μή πῃ ὁ λόγος ἐπαλλαχθῇ, ἀλλ' ὡς ἂν (τ. ἔ. ὡς ἂν ἀποκρίναιντό τινες, εἰ πεπεισμένοι εἴησαν) πεπεισμένοι μάλιστα πράττειν τὰ δέοντα Ξεν. Ἀπομν. 3, 8, 1 ἀπεκρίθη ὄχι ὅπως οἱ προφυλαττόμενοι, μήπως ὁ λόγος των παρεξηγηθῇ (διαστραφῇ), ἀλλ' ὅπως ἐκεῖνοι, οἱ ὁποῖοι εἶνε μάλιστα πεπεισμένοι ὅτι πράττουσι τὸ καθῆκόν των. αἴτιον δὲ ταύτης τῆς ἀμφισβητήσεως καὶ ὃ ποιεῖ τοὺς λόγους ἐπαλλάττειν, ὅτι τρόπον τινὰ ἀρετὴ τυγχάνουσα χορηγίας βιάζεσθαι δύναται μάλιστα Ἀριστοτ. Πολ. 1, 6 (1255 a 13) αἴτιον δὲ ταύτης τῆς ἀμφισβητ. καὶ τὸ ὁποῖον (συγχρόνως) προσεγγίζει τὰς (διαφόρους) γνώμας εἶνε τοῦτο, ὅτι τρόπον τινὰ ἡ πνευματικὴ ἱκανότης τυγχάνουσα ὑλικῶν μέσων ἔχει τὴν δύναμιν μάλιστα καὶ νὰ ἐπιβάλληται (νὰ ἐξουσιάζῃ τοὺς ἄλλους).

ἐπάλληλος 2 καὶ 3: μόρον κοινὸν κατειργάσαντ' ἐπαλλήλοιν (Herm. ἐπ' ἀλλήλοιν) χεροῖν Σοφ. Ἀντ. 57 τ. ἔ. ἀλληλοφόνοις χερσὶ διέπραξαν κοινὸν φόνον· πρβ. Αἰσχ. Ἑπτ. 915.

ἐπᾶλτο γ' ἑν. μ. ἀόρ. β' τοῦ ἐφάλλομαι, συγκεκομ. ἀντὶ ἐφάλετο Ἰλ. Ν 643, ὡς τὸ ἔπαλτο τοῦ πάλλομαι.

ἐπαμβατὴρ -ῆρος ὁ = ἐπαναβατήρ, ἐπαναβάτης ὡς ἐπίθ. παρ' Αἰσχ. Χο. 279. Τὸ χωρίον εἶνε: εἶπε τάσδε νῷν νόσους, σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν ἀνέφερε δι' ἡμᾶς τοὺς δύο τὰς ἑξῆς νόσους, δηλ. λειχῆνας ἀναβαίνοντας (ἔσωθεν) ἐπάνω εἰς τὰς σάρκας, οἵτινες μὲ λυσσαλέους ὀδόντας κατατρώγουν τὸ ἀρχικὸν δέρμα (κυρ. τὸ ἐξ ἀρχῆς πεφυκός).

ἐπαμείβω: νίκη ἐπαμείβεται ἄνδρας Ζ 339 ἐξ ὑπαμοιβῆς ἔρχεται πρὸς τοὺς ἄνδρας τ. ἔ. ἄλλοτε ἔρχεται πρὸς τούτους καὶ ἄλλοτε πρὸς ἐκείνους. ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται (ἐξυπ. κήδεα) Ἀπ. Ἀρχιλ. 9, 9 πάλιν δ' ἐξ ὑπαμοιβῆς θὰ ἔλθουν πρὸς ἄλλους.

ἐπάμερος Δωρ. ἀντὶ ἐφήμερος. ἐπάμεροι· τί δέ τις; τί δ' οὔ τις; Πινδ. Π. 8, 95 εἴμεθα ἐφήμερα πλάσματα· τί εἶνε ὁ ἄνθρωπος; τί δὲν εἶνε; «τῶν ἀνθρώπων τῶν ἐφημέρων τί ἄν τις εἴποι ὅτι ἔστι τις, ἢ πάλιν ὅτι οὐκ ἔστι»; Σχ.

ἐπαμμένω π. ἀντὶ ἐπαναμένω Αἰσχ. Πρ. 631. Τὸ χωρίον: τορῶς τέκμηρον ὅ τι μ' ἐπαμμένει παθεῖν σαφῶς διασάφησον ὅ τι με ἐπαναμένει παθεῖν.

ἐπαμοιβαδίς ἐπίρρ. (ἐπαμείβω)· πυκνοὶ ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς ε 481 ἦσαν φυτρωμένοι πυκνοὶ συμ-

πεπλεγμένοι πρὸς ἀλλήλους. ἐπὰν λήξῃ κακοῦ (γυνὴ) Ἀπ. Σοφ. 846 ὅπου ἀντὶ τοῦ ἐπάν ὁ μὲν Herm. γρ. ἐπήν, ὁ δὲ Ellendt ἐπεί· διότι οἱ ἀρχαιότεροι Ἀττικοὶ ποιηταί, ὡς Ἀρφ. Ὄρν. 1355. Λυσ. 1175, καὶ μετ' αὐτῶν Θουκ. 5, 47. 8, 58. Ξεν. Ἑλλ. 2, 1, 24. Κ. Π. 3, 2, 1. Ἀν. 2, 4, 3 μεταχειρίζονται ἐπήν ἀντὶ τοῦ ἐπάν. Τὸ δὲ ἐπεί εὕρηται ἐνίοτε συντεταγμένον πρὸς ὑποτ. ὡς Σοφ. Ἀντ. 1025. 710. Ο. Κ. 1225 κἀλλ.

ἐπαναγκάζω ἀναγκάζω τινὰ ἐπί τι (τ. ἔ. ποιεῖν τι)· ἐπηνάγκαζέ νιν Διὸς χαλινὸς πρὸς βίαν (πρὸς βίαν φρενῶν ἢ βίᾳ φρενῶν πληρέστερον) πράσσειν τάδε Αἰσχ. Πρ. 698 ἠνάγκαζεν αὐτὸν ὁ χαλινὸς (ἡ ἄκαμπτος θέλησις) τοῦ Διὸς νὰ πράττῃ ταῦτα παρὰ τὴν θελησίν του. οἱ Ἠλεῖοι ἐπηνάγκαζον (Λεπρεάτας) Θουκ. 5, 31 ἠνάγκαζον αὐτοὺς ἐπὶ τοῦτο (= ἀποφέρειν τὸ τάλαντον).

ἐπαναγορεύω ἀνακηρύττω μεγαλοφώνως Ἀρφ. Ὄρν. 1071 ἴδ. ἐπανεῖπον.

ἐπαναίρω : ἧς μάχης νῦν ἔχονται κἀπαναίρονται δόρυ Σοφ. Ο. Κ. 424 εἰς τὴν ὁποίαν τώρα ἐνασχολοῦνται καὶ σηκώνουσιν ἐναντίον ἀλλήλων δόρυ (πόλεμον).

ἐπανάκειμαι : τοῖς κακοῖς... ἀλγεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται Ξεν. Κ. Π. 3, 3, 52 ἴδ. ἀβίωτος.

ἐπαναμένω : ὅ τι μ' ἐπαμμένει παθεῖν Αἰσχ. Πρ. 635 ἴδ. ἐπαμμένω. Καὶ μετὰ δοτ. οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν Πέρσ. 809 ὅπου τοὺς περιμένουν τὰ ὕψιστα τῶν κακῶν διὰ νὰ τὰ πάθωσι. Ἡ δοτ. σφιν (= αὐτοῖς) κατὰ τὸ Ἀπ. Εὐρ. 733 τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.

ἐπαναπλέω, Ἰων. ἐπαναπλώω (ἴδ. πλέω)· μαίνεσθε οὕτω, ὥστε κατιόντος τοῦ οἴνου ἐς τὸ σῶμα ἐπαναπλώειν ὑμῖν ἔπεα κακά Ἡρ. 1, 212 νὰ ἐπαναπλέωσι μέσα εἰς τὸ στόμα κακοὶ λόγοι. Ἐπὶ διαφόρου ἐννοίας λέγουσι σήμερον: «αὐτὸ (ὁ λόγος αὐτὸς) πλέει μέσα εἰς τὸν νοῦν μου» ἐπί τινος πράγματος, ὅπερ, ἐν τῇ συνειδήσει ὑπάρχον γνωστόν, νῦν δὲν ἀναμιμνήσκεταί τις.

ἐπανάσεισις ἡ, ἡ εἰς τὸν ἀέρα (= ἀνά-) ἀπειλητικὴ (= ἐπ-) σεῖσις τῶν ὅπλων.

ἐπανάστασις -εως ἡ· τί διαφέρει τῆς ἀποστάσεως ἴδε ἐν τῷ ἐπανίστημι.

ἐπανατείνω κυρ. ἀνατείνω τι ἐπί τινα· ἐνεργ. καὶ παθ. ἐπανετείνοντο («ἐν προσδοκίᾳ ἦσαν» Σουΐδας κυρ. ἐτίθεντο ὑψηλά που, ὡς δάφναι τινές, διὰ νὰ εἶνε προωρισμέναι εἰς τοὺς ἀξίους ἐπαίνου) δὲ καὶ μείζονες ἐλπίδες τοῖς ἀξίοις ἐπαίνου Κ. Π. 2, 1, 23 τ. ἔ. εἰς τοὺς ἀξίους ἐπαίνου ὑπέσχετο μείζονα βραβεῖα ἐν τῷ μέλλοντι. Πρβ. τὸ Πινδ. Ν. 8, 25 μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται, οὗ τὴν ἑρμην. ἴδ. ἐν λ. ἀνατείνω.

ἐπανατέλλω : ἀπὸ κλιμάκων ποδὸς ἴχνος ἐπαντέλλων Εὐρ. Φοιν. 103 ἐπαναβιβάζων ἀπὸ τῆς κλίμακος τὰ ἴχνη τῶν ποδῶν: βοηθῶν μοι ν' ἀνέλθω τὴν κλίμακα. ὁ δ' ἐπαντέλλων χρόνος πράσσων τοῦτο μὴ κάμοι Πίνδ. Ὀ. 8, 28 ὁ δ' ἐπιὼν χρόνος εἴθε μὴ ἀποκάμοι τοῦτο ποιῶν. λευκὰς κόρσας ἐπαντέλλειν Αἰσχ. Χο. 282 ἴδ. κόρση. Ἀγαμέμνονος γυναικὶ σημαίνω (σημανῶ) τορῶς, εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις ὀλολυγμόν. . ἐπορθιάζειν Αἰσχ. Ἀγ. 27 εἰς τὴν γυναῖκα τοῦ Ἀγ. δηλῶ σαφῶς (μεγαλοφώνως), εὐθὺς ὡς ἐγερθῇ ἐκ τῆς κλίνης, νὰ ὑψώνῃ χαρμόσυνον φωνὴν ἐν τῷ οἴκῳ· ἴδ. ἐπορθιάζω. φόνος ὅσος ὅδε κεχυμένος ἐπαντέλλει Ἡρ. Μ. 1052 πόσον αἷμα ἐκ τοῦ φόνου εἶνε χυμένον ἐδῶ, τὸ ὁποῖον τώρα φαίνεται.

ἐπανατίθημι : φέρ' ἐπαναθῶ σοι καὶ ξύλον Ἀρφ. Σφ. 148 ἔλα νά σου βάλω καὶ ἕνα ξύλον ἀπ' ἐπάνω. ἐπανθέμεναι σανίδας Φ 535 νὰ κλείσωσι τὴν θύραν.

ἐπαναφέρω : εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι Ἀρφ. Νεφ. 1079 ἔπειτα εἰς τὸν Δία ν' ἀποδώσῃς τὴν αἰτίαν καὶ (νὰ λέγῃς) ὅτι καὶ ἐκεῖνος κυριεύεται ἀπὸ τὸν ἔρωτα. Συχνότατον δὲ εἶνε τὸ ἀναφέρειν εἴς τινα ἐπὶ τοιαύτης ἐννοίας· πρβ. Δημ. 18, 224 (Κτησιφῶντι) ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους = ἐπανενεγκεῖν εἰς ἐκείνους. ταῦτα, ὅσα φαίνομαι βέλτιον τῶν ἄλλων προορῶν, οὐδ' εἰς μίαν οὔτε δεινότητα οὔτε ἀλαζονείαν ἐπανοίσω Δημ. 5, 11 ταῦτα, ὅσα προφανῶς κάλλιον τῶν ἄλλων προβλέπω, δὲν θὰ ἀποδώσω εἰς οὐδεμίαν ἀπολύτως οὔτε ἐπιτηδειότητα (ἰδιαιτέραν ὀξυδέρκειαν) οὔτε εἰς (ἄλλην) ἱκανότητα (ἣν ἀποδίδει τις εἰς ἑαυτὸν ἐξ ἀλαζονείας). εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέραν κακότητα, μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε Ἐλεγ. Σόλ. 11, 1 ἐὰν δὲ ἔχετε πάθη κακὰ ἐξ ὑμετέρας κακίας (ὑπαιτιότητος), δι' ὅλου μὴ ἀποδίδετε τὴν αἰτίαν τούτων εἰς τοὺς θεούς. τότε δὲ καὶ οἱ κύνες ὀσφραίνονται, καὶ αὐτὰ (τὰ ἴχνη) ἐπαναφερόμενα ὄζει Ξεν. Κυν. 5, 2 προσβάλλοντα τὴν αἴσθησιν (κυρ. φερόμενα ἄνω ἐκ τοῦ ἐδάφους πρὸς τὴν ὄσφρησιν).

ἐπάνειμι : ὁ καλλιβόας τάχ' ὑμῖν αὐλὸς οὐκ ἀναρσίαν ἀχῶν καναχὰν ἐπάνεισιν Σοφ. Τρ. 642 ὁ καλλίφωνος αὐλὸς ταχέως ἐπανέρχεται εἰς ὑμᾶς ὄχι πένθιμον ἐκπέμπων ἦχον.

ἐπανεῖπον ἀόρ. β' τοῦ ἐπαναγορεύω· ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι Θουκ. 6, 60 ἐκτὸς τῆς εἰς θάνατον καταδίκης (= ἐπ-) ἐπεκήρυξαν χρηματικὴν ἀμοιβὴν εἰς τὸν ἀποκτείναντα.

ἐπανέρομαι, Ἰων. ἐπανείρομαι· παρ' Ἀττ. μόν. ἀόρ. β' ἐπανηρόμην, ἐπανερέσθαι, μέλλ. ἐπανερήσομαι· ἴδε Β. Ἀ. 11, 15. Ἐν δ' Αἰσχ. Πέρσ. 977 γράφουσι σήμερον τάδε σ' ἐπανερόμαν (τῆς χρον. αὐξήσεως παραλειπομένης ἐν τοῖς λυρικοῖς χωρίοις) ἐκ διορθ. Meineke ἀντὶ τοῦ ἐπανέρομαι, ἀνθ' οὗ ὁ Porson γράψας ἐπανέρωμαι ἑρμηνεύει: ἄς σε ἐρωτήσω.

ἐπανέχω: Ἐν Δημ. 19, 51 σήμερον γράφεται ἐκ τοῦ ἀρίστου κώδ. S ἐπὶ ταῖς παρ' ὑμῶν ὑπέχοντες ἐλπίσιν ἀντὶ τοῦ ἐπανέχοντες· ἴδ. ὑπέχω.

ἐπανήλωκα πρκ. τοῦ ἐπαναλίσκω.

ἐπανήμει γ΄ ἑν. παρατ. τοῦ ἐπανεμέω.

ἐπανθέμεναι π. ἀντὶ ἐπαναθεῖναι, ἀόρ. β΄ τοῦ ἐπανατίθημι.

ἐπανθέω: τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς ὥσπερ μήλοισιν ἐπήνθει Ἀρφ. Νεφ. 978 ἴδ. δρόσος. νῦν δ' οἴχεται, κύκνου τε πολιώτεραι δὴ αἵδ' ἐπανθοῦσιν τρίχες Ἀρφ. Σφ. 1065 τώρα δὲ ἐπέρασαν πλέον, καὶ αἱ τρίχες αὗται ἐδῶ ἐπιφαίνονται καὶ τῶν τοῦ κύκνου ἀκόμη λευκότεραι βεβαίως. ὅπερ (ἐνν. δοκεῖ μοι φράζειν ὁ ξένος) εὐθὺς παισὶ καὶ θηρίοις, τοῖς μὲν ἀκρατῶς ἔχειν πρὸς τὰς ἡδονὰς σύμφυτον ἐπανθεῖ, τοῖς δ' ἐγκρατῶς Πλ. Νόμ. 710 A ὁ ξένος μοὶ φαίνεται ὅτι ἐννοεῖ ἐκεῖνο τὸ εἶδος τῆς σωφροσύνης, τὸ ὁποῖον παρατηρεῖται (ἐπιφαίνεται) ὡς ἔμφυτον εὐθὺς εἰς τὰ παιδία καὶ τὰ ζῷα, δηλ. ἄλλα μὲν νὰ εἶνε ἀκρατῆ, ἄλλα δὲ ἐγκρατῆ πρὸς τὰς ἡδονάς. Τὸ ἀπρφ. ἔχειν εἶνε παράθεσις εἰς τὸ ὅπερ.— τοῦτο τοὐπιχώριον ἐπανθεῖ, τὸ «τί λέγεις σύ»; Ἀρφ. Νεφ. 1174 καὶ τοῦτο τὸ ἐγχώριον (τὸ ἐθνικὸν) γνώρισμα (τῆς ἀναιδείας) φαίνεται (εἶνε τρόπον τινὰ ἐζωγραφημένον) ἐπὶ τοῦ προσώπου σου, «τί λὲς (βρέ);» καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδύ τι κάλλος Θεόκρ. 20, 21 καὶ γὰρ ἐμοὶ πρόσθεν διεφαίνετο ἐπὶ τοῦ προσώπου ἡδύ τι κάλλος.

ἐπανθίζω στολίζω ὡσὰν μὲ ἄνθη, ποικίλλω· πολλοῖς ἐπανθίσαντες πόνοισι γενεάν Αἰσχ. Ἑπτ. 933 μὲ πολλὰς θλίψεις ὡσὰν μὲ ἄνθη στολίσαντες τὸ γένος. ὑμᾶς κωκυτοῖς ἐπανθίζειν νόμος (ἐνν. χοάς) Χο. 150 κοσμεῖν μὲ θρήνους, «στέφειν ὡς ἄνθεσι» Σχ. Μέσ. πολύμναστον ἐπηνθίσω δι' αἷμ' ἄνιπτον Ἀγ. 1460 ἐστολίσθης (δηλ. καὶ αὐτὴν προσέθεσας εἰς τοὺς στέφανον τὸν ἀποτελούμενον ἐκ τῶν ἄλλων ψυχῶν οἷον ἀνθέων) τὴν πολυύμνητον ψυχὴν (τοῦ Ἀγαμ.) ἕνεκα αἵματος ἀτιμωρήτου (τοῦ τῆς Ἰφιγενείας). Ἀλλὰ τὸ χωρίον τοῦτο ἐφθαρμένον· ἴδε πολύμνηστος.

ἐπανίημι: ἐπανῆκεν ὁ σῖτος Δημ. 32, 25 κατέπεσεν, ἠλαττώθη ἡ τιμὴ τοῦ σίτου Παθ. τῶν ὄψων τὰ μὲν θερμὰ παραθεῖναι τὰ δ' ἐπανέντα (τὸν μάγειρον) Ἀπ. Σωσιπάτρ. 1, 52 (Ἀθην. 378 F) ἄλλα μὲν νὰ παραθέσῃ θερμά, ἄλλα δὲ χλιαρὰ μόνον (κυρ. ἀφ' οὗ τ' ἀφήσῃ ὀλίγον νὰ κρυώσουν).

ἐπανίστημι μτβ. κυρ. ἀνίστημι ἐπί τινα, σηκώνω ἐναντίον τινός. ‖ Μέσ. μετ' ἀόρ. β΄ καὶ πρκ. καὶ ὑπερσ. ἐνεργ. ἀντὶ μέσ. σηκώνομαι (ἐκ τῆς θέσεώς μου κατόπιν ἄλλου): οἱ δ' ἐπανέστησαν πείθοντό τε ποιμένι λαῶν Β 85 οἱ δὲ ἀνέστησαν ἐπ' αὐτῷ τ. ἔ. κατόπιν αὐτοῦ, τιμῆς ἕνεκα. ἐπεγείρουσαι καὶ φράζουσαι «πεινήσεις, ἀλλ' ἐπανίστω» Ἀρφ. Πλοῦ. 539 «διανιστῶσι καὶ λέγουσι «πεινάσεις, ἐὰν καθεύδῃς, ἀλλ' ἐγείρου». Ὀρθῶς ἐξηγεῖ ὁ Σχ. τ. ἔ. δὲν πρέπει νὰ κοιμᾶσαι, ἐὰν θέλῃς νὰ μὴ πεινάσῃς, ἀλλ' ἐγείρου. Ὁ Leeuwen παρεξηγήσας γράφει: «πεινήσεις»! «ἀλλ' ἐπανίστω»! κέ. σηκώνου λοιπόν! Δὲν εἶνε ἀνάγκη. ἐπαναστὰς ἐπὶ τοῦ καταστρώματος ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν Ξεν. Ἑλλ. 1, 4, 18 ἀναστὰς ἐπὶ τοῦ καταστρ. παρετήρει, ἂν ἦσαν παρόντες οἱ (πολιτικοί του) φίλοι. ‖ ἐπαναστατῶ κατά τινος· ἐάν τις τυραννεῖν ἐπαναστῇ Ἀνδοκ. 1, 97 ἐάν τις ἐπαναστατήσῃ, ἵνα γίνῃ τύραννος· ἴδ. Ἀριστ. Ἀθ. Πολ. 16. ἢν ἡ δουλεία ἐπανιστῆται Θουκ. 5, 23 ἂν οἱ δοῦλοι (Εἵλωτες) ἐπαναστατῶσι. ἢν τοῦτ' (τὸ πόλισμα) ἐπανεστήκῃ, τὴν ἀρχὴν τὸν Δί' ἀπαιτεῖν Ἀρφ. Ὄρν. 554 ἂν ἡ πόλις αὕτη σηκωθῇ (εἶνε σηκωμένη) ὑψηλὰ (διὰ τῶν τειχῶν της), ν' ἀπαιτῆτε τὴν ἀρχὴν παρὰ τοῦ Διός. ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν Θουκ. 3, 39 «ἀπόστασίς ἐστιν, ὅταν τινὲς κακῶς πάσχοντες ἀποστῶσιν· ἐπανάστασις δέ, ὅταν τινὲς τιμώμενοι καὶ μηδὲν ἀδικούμενοι στασιάσωσι καὶ ἐχθρεύσωσι τοῖς μηδὲν ἀδικήσασι» Σχ. Κυρ. τὸ μὲν ἐπανίστασθαι (= ἀνίστασθαι ἐπί τινα) δηλοῖ τὴν ἐπιθετικὴν ἐπανάστασιν, τὸ δὲ ἀφίστασθαι τὴν ἀμυντικὴν ἀπόστασιν, τὴν μετὰ πολλὴν καταπίεσιν γινομένην.

ἐπανιτέον καὶ **-ιτητέον** ῥ. ἐπίθ. τοῦ ἐπάνειμι.

ἐπανοιστέον ῥ. ἐπίθ. τοῦ ἐπαναφέρω.

ἐπανοίσω μέλλ. τοῦ ἐπαναφέρω.

ἐπαντλέω ἀντλῶν χύνω τι ἐπάνω εἴς τι (ἢ εἴς τινα), περιχύνω, κατακλύζω· ἀντίθ. ἐξαντλῶ. ὅταν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα διὰ τῆς γῆς εἰσρεῖ τε καὶ πληροῖ αὐτὰ ὥσπερ οἱ ἐπαντλοῦντες Πλ. Φαίδων 112 C ὅταν ἀποσυρθῇ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν κάτω δὰ καλούμενον, τὸ ὕδωρ εἰσρέει διὰ τῆς γῆς κατ' ἐκείνας τὰς φυσικὰς κοίτας (τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα εἶνε περίφρασις ἀντὶ: κατ' ἐκεῖνα τὰ ῥεύμ.) τῶν ὑδάτων καὶ πληροῖ αὐτάς, ὥσπερ (ποιοῦσιν) οἱ διὰ τῆς ἀντλίας (ἐξάγοντες καὶ χύνοντες ὕδωρ εἴς τι μέρος (οἷον εἰς δεξαμενάς τινας). Κατωτ. λέγεται ἐπὶ τῆς αὐτῆς σημ. παθητ. εἰς τὸν Τάρταρον ἐμβάλλει (τὰ ῥεύματα, τὰ ὕδατα) πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο τ. ἔ. ἢ ἐπάντλησις ἐγίγνετο, καὶ ἀναφ. εἰς τὸ ἀνωτ. οἱ ἐπαντλοῦντες.— ὥσπερ κυαθίζουσ' ἐνίοθ' ἡμῖν ἡ τύχη ἓν ἀγαθὸν ἐπιχέασα (ὑποχέασα Mein.) τρί' ἐπαντλεῖ κακά Διφίλου Ἀπ. 107 ἡ τύχη ὡσὰν διὰ κυάθου προσφέρουσα ἡμῖν τὰ δῶρά της, ἀφ' οὗ χύσῃ ἐπάνω μας ἓν ἀγαθόν, τὸ ξεπλύνει μὲ τρία κακά, τὰ ὁποῖα χύνει κατόπιν. Ὁ Meineke παρατηρεῖ, ὅτι ὑπονοεῖται ἡ κρᾶσις ἓν (οἴνου ὑποχεομένου) πρὸς τρία (ὕδατος ἐπιχεομένου). Τοῦτο εἶνε ἀληθές, ἀλλ' ἐπὶ τῶν ἀνθρώπων τὸ ὑποχεῖν δὲν ἁρμόζει· ὅθεν ὁ ποιητὴς μετεχειρίσθη δύο διά-

φορὰ ῥήμ., ἅτινα προσεπάθησα νὰ μεταφράσω καταλλήλως. τοῦ βίου τὸ ὀδυνηρὸν καὶ τὸ πολλαῖς φροντίσιν ἠπηντλημένον Πλουτ. 107 Α τὸ περισπώμενον (κυρ. τὸ κατακλυζόμενον, τὸ ὑπερπληρούμενον) διὰ πολλῶν φροντίδων. οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι, σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους Ἀπ. Εὐρ. 899 δὲν θὰ ἠδυνάμην νὰ «γεμίζω τὸ κεφάλι» ἀνθρώπου, ποῦ δὲν κρατεῖ μέσα του τὰ λεγόμενα, ἐπιχέων ἀφθόνως εἰς ἄνδρα μὴ σοφὸν (ὡς μὴ στέγοντα) λόγους σοφούς.

ἐπανύω: οὐδέ ποτέ σφιν νίκη ἐπηνύσθη Ἡσ. Ἀσπ. 311 κατὰ λέξ. οὐδέ ποτ' αὐτοῖς ἡ νίκη κατωρθώθη: ἤχθη εἰς πέρας, ἀλλ' ἄκριτον εἶχον ἄεθλον, ὡς λέγει ἐφεξῆς. Κατὰ τμῆσιν ἱερῶν οἵαν οἴων (Martin: οἵαν ἀνθ' οἵων θυμάτων) ἐπί μοι μελέῳ χάριν ἠνύσω Σοφ. Τρ. 994 ποίαν χάριν ἀντὶ ποίων θυμάτων παρεσκεύασας εἰς ἐμὲ τὸν ἄθλιον!

ἔπαξε Δωρ. ἀντὶ ἔπηξε ἀόρ. τοῦ πήγνυμι.

ἐπάξιος 2 καὶ 3: ὄψει δὲ κεἴ τις ἄλλος ἤλιτεν βροτῶν.... ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια Αἰσχ. Εὐμ. 269 θὰ παρατηρήσῃς δὲ (ἐκεῖ) καὶ ἄν τις ἄλλος ἐκ τῶν θνητῶν ἡμάρτησεν, ὅτι ἕκαστος ἔχει ἀνταξίαν ποινήν, ἣν ἐπιβάλλει εἰς αὐτὸν ἡ δίκη. πῶς δ' οὔ; σέβουσαι γ' ἀξίαν ἐπαξίων 438 πῶς ὄχι; διότι βεβαίως σὲ τιμῶμεν ὡς ἀνταξίαν κόρην τοῦ Διός.

ἐπαξιόω: ἰώ, χρόνῳ μακρῷ φιλτάταν ὁδὸν ἐπαξιώσας ὧδέ μοι φανῆναι Σοφ. Ἠλ. 1273 ὦ σύ, ὅστις μὲ ἠξίωσας (μὲ ἔκρινας ἐπαξίαν) οὕτω μετὰ μακρὸν χρόνον, νὰ ἐμφανισθῇς πρὸς ἐμὲ φιλτάτην ὁδὸν πορευθείς. ὁ γὰρ ξένος σε καὶ πόλισμα καὶ φίλους ἐπαξιοῖ δικαίαν χάριν παρασχεῖν παθὼν Σοφ Ο. Κ. 1496 διότι ὁ ξένος εὐεργετηθεὶς (παθὼν χάριν) κρίνει ὀρθὸν νὰ παράσχῃ δικαίαν χάριν πρὸς σὲ καὶ τὴν πόλιν καὶ τοὺς φίλους.

ἐπάξω Δωρ. ἀντὶ ἐπήξω β' ἑν. μ. ἀορ. α' τοῦ πήγνυμι.

ἐπάξω μέλλ. τοῦ ἐπάγω.

ἐπαοιδή, Ἰων. ἀντὶ ἐπῳδή, γοήτευμα διὰ ψαλμῳδίας, ἐξορκισμός, θελκτικὸν ᾆσμα Ὀδ. σ 457. Πίνδ. Ἰ. 3, 51. Ἡρ. 1, 132.

ἐπαποδύω: ἀλλ' ἐπαποδυώμεθ' ἄνδρες, τουτῳὶ τῷ πράγματι Ἀρφ. Λυσ. 651 «ἐπιχειρήσωμεν» Σχ.

ἐπάπτω Ἰων. ἀντὶ ἐφάπτω.

ἐπαρὴ Ἰων. ἀντὶ ἐπαρά.

ἐπαράομαι: τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον; Σοφ. Ἠλ. 388 τί λόγος εἶν' αὐτός, ὦ δυστυχής, ποῦ κατηράσθηκες; τί κατάρα εἶνε αὐτή, τὴν ὁποίαν κατηράσθης ἐναντίον σου; δι' ἐμπύρων σπονδὰς καθεῖναι κἀπαράσασθαι τάδε Εὐρ. Ἰ. Α. 59 ἴδ. ἔμπυρος. τῶν ἐμπρησθέντων ἱερῶν ἐπηράσαντο (=κατάραν ἐξήνεγκον) εἴ τινες κινήσειαν Ἰσοκ. 4, 156 ἡ γεν. ἐξαρτ. ὡς μεριστικὴ ἐκ τοῦ κινήσειαν τ. ἔ. ἐξήνεγκον κατάραν κατ' ἐκείνων, οἵτινες (κυρ. ἐάν τινες) ἤθελον κινήσῃ τι τῶν ἐμπρ. ἱερῶν (ἢ πρὸς ἀνοικοδόμησιν ἢ πρὸς ἐπισκευήν· πρβ. Διόδ. 11, 29).

ἐπαραρίσκω ἴδ. ἐπάρω.

ἐπάργεμος 2: Αἰσχ. Πρ. 514 (ἴδ. ἐξομματόω). αἰδὼς γὰρ ἐν λεχθεῖσιν (λέσχησιν Emperius) οὐκ (οὐσ' Bothe) ἐπαργέμους λόγους τίθησιν Χο. 661 ἡ συστολὴ (ἣν ἔχει τις ὁμιλῶν πρὸς γυναῖκα) δὲν ἐμβάλλει λόγους σκοτεινοὺς («ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων» Σχ.) μεταξὺ τῶν λεχθέντων (ἃ ἔχει τις ν' ἀνακοινώσῃ). Οὕτως ἐξηγῶ. — νῦν γὰρ ἐξ αἰνιγμάτων ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ Ἀγ. 1099 διότι τώρα εὑρίσκομαι εἰς ἀμηχανίαν διὰ τὰς προφητείας τὰς σκοτεινὰς ἐκ τῶν αἰνιγμ.

ἐπαρήρει γ' ἑν. ὑπερσ. (ἐπαρηρὼς) τοῦ ἐπαίρω.

ἐπαρήσομαι Ἰων. μέλλ. τοῦ ἐπαράομαι.

ἐπαρθῆναι π. ἀόρ. α' ἀπαρ. τοῦ ἐπαίρω.

ἔπαρθον ἀόρ. β' τοῦ πέρθω.

ἐπάρκεσις-εως ἡ: ἐκ ταῖνδε..... καὶ τροφὰς ἔχω βίου καὶ γῆς ἄδειαν καὶ γένους ἐπάρκεσιν Σοφ. Ο. Κ. 447 συγγενικὴν περιποίησιν (κυρ. ἣν ὀφείλουν τὰ τέκνα πρὸς τοὺς γονεῖς).

ἐπαρκέω: οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ πεσεῖν πτώματ' οὐκ ἀνασχετά Αἰσχ. Πρ. 950 διότι οὐδόλως θὰ ἐμποδίσουν αὐτὸν ταῦτα (αἱ βρονταὶ καὶ ὁ κεραυνός), ὥστε νὰ μὴ πέσῃ πτῶσιν ἀνυπόφορον (ἀφορήτως ἀλγεινήν). σέ τοι μόνον δέδορκα πημονᾶν (Reiske: ποιμένων) ἐπαρκέσοντα Σοφ. Αἴ. 360 σὲ μόνον βλέπω ποῦ θ' (κυρ. ἵνα) ἀποκρούσῃς τὴν δυστυχίαν. Ἀλκιμίδας τό γ' ἐπάρκεσε κλειτᾷ γενεᾷ Πινδ. Ν. 6, 61 τὸ ὁποῖον εὖχος («σεμνολόγημα» Σχ.) ὁ Ἀλ. προσήνεγκεν εἰς τὸ ἔνδοξον γένος του. ξένια δοῦναι καὶ πέπλοις ἐπαρκέσαι Εὐρ. Κύκλ. 301 καὶ νὰ τοὺς βοηθήσῃς μὲ φορέματα (δίδων εἰς αὐτοὺς φορέματα). τό τ' ἔπειτα καὶ τὸ μέλλον καὶ τὸ πρὶν ἐπαρκέσει νόμος ὅδε Σοφ. Ἀντ. 612 καὶ ἔπειτα καὶ ἐν τῷ μέλλοντι, ὡς καὶ ἐν τῷ παρελθόντι, θὰ διαρκέσῃ (θὰ ἔχῃ ἰσχὺν) ὁ ἑξῆς νόμος.

ἐπαρκούντως: οὐ ζῶ; κακῶς μὲν οἶδ', ἐπαρκούντως δ' ἐμοί Σοφ. Ἠλ. 354 δὲν ζῶ; κακὰ μὲν καὶ ψυχρά, τὸ γνωρίζω, ἀλλὰ τόσον ὅσον ἀρκεῖ διὰ ν' ἀποζῶ. Περὶ τοῦ ἐπαρκούντως παρατηρεῖ ὁ Kaibel ἐν τῇ ἐκδόσει τῆς Ἠλέκτρας, ὅτι ἡ ἐπι - ὑποδηλοῖ τὸν ἐχθρόν, ἐναντίον τοῦ ὁποίου ἡ βοήθεια (ἀρκεῖν), ὡς ἐν τῷ ἐπαμύνεσθαι, ἐπιβοηθεῖν. Ἡ Ἠλ. ἐννοεῖ: «ὅσον ἐπαρκεῖν, ὥστε μὴ ἀποθανεῖν». Τὸ δὲ ἐπαρκεῖν σημ. σχεδὸν ὅ τι καὶ τὸ ἀρκεῖν, τῆς προθέσεως δηλούσης ὅ τι καὶ ἐν τῷ ἀπόχρη· δὲν κατήντησε δὲ εἰς τὴν σημ. τοῦ ἀποκρούειν, ἀπαμύνειν παρὰ τὸ Ὁμηρ. Ν 440: ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον. Ταῦτα λέγει ὁ Kaibel ἐξ ἀφορμῆς τῆς μαρτυρίας τοῦ Θωμᾶ Μα-

γίστρου: «Σοφοκλῆς ἀπαρκούντως ἐμοί». Καὶ ὅμως ἔχει δίκαιον ὁ ἀρχαῖος γραμματικός, διότι τὸ ἀπαρκούντως = ἀρκούντως ὅσον ἀποζῆν· ὅπερ ἀπαιτεῖ ἡ ἔννοια.

ἐπάρμενος 3 κυρ. μτχ. πρκμ. ἢ μ. ἀόρ. τοῦ ἐπάρω.

ἐπαρτύω: ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο γ 152 ἡτοίμαζεν ὁ Ζ. τὸ ὀλέθριον κακόν.

ἐπάρχω ἄρχω ἐπί τινος. Ἐνεργ. Ξεν. Κ. Π. 4, 6, 2. καὶ μέσ. συνήθ. π. Ὁμ. νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσι Α 471. γ 340 κἀλλ. διένειμαν εἰς πάντας (εἰς ἕνα ἕκαστον ὀλίγον οἶνον), χύσαντες εἰς τὰ ποτήριά των (ἑνὸς ἑκάστου) ὀλίγον (τὸν πρῶτον) οἶνον διὰ σπονδήν. Ὁμοίως οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν σ 418. Ὁ Σχ. ἐν Α 471 ἐξηγεῖ «τῇ οἰνοχόῃ ἐπιχέαντες τοῖς ποτηρίοις διέδωκαν πᾶσιν· ἢ ἐπαρξάμενοι σπονδὴν τοῖς θεοῖς, πᾶσιν ἐνώμησαν». Ἐν τούτοις τὸ ἐπάρχομαι σημ. ἀρχίζω τὴν ἱεροτελεστίαν (σπονδὴν) χύνων (ὀλίγον) οἶνον πρὸς σπονδὴν εἰς τὸ ποτήριον (ἑνὸς ἑκάστου) = ἄρχομαι τῆς σπονδῆς ἐπιχέων οἶνον (= ἐπὶ -) τοῖς ποτηρίοις. Κατὰ τὸν Βούττμαν ἡ ἐπὶ σημ. τὴν προσέλευσιν τοῦ οἰνοχόου πρὸς ἕνα ἕκαστον τῶν σπενδόντων. || ἐν δὲ τῷ Θέμις νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν ἀθανάτῃσιν χερσὶν ἐπήρξατο Ὕμν. Ἀπόλλ. 125 σημ. ἁπλῶς διὰ τῶν ἀθανάτων χειρῶν της προσήνεγκεν. Περιττὴ δὲ ἡ διόρθ. ἀθανάτοις χείλεσιν.

ἐπάρω (ἴδ. ἄρω, ἀραρίσκω). θύρας σταθμοῖσιν ἐπῆρσε κληῗδι κρυπτῇ Ξ 167 εἰς τοὺς παραστάτας ἐφήρμοσε διπλᾶς θύρας. μία δὲ κληῗς ἐπαρήρει Μ 456 μία δὲ κλεὶς ἦτο ἐφηρμοσμένη. ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς ποσσὶν ἐπιθλίβει ἀμφοτέροισιν Ἀράτ. Φαιν. 83 ὁ δὲ (Ὀφιοῦχος) ἐπιμόνως στηριζόμενος καλῶς ἐπὶ τῶν δύο ποδῶν του, πατεῖ ἀπ' ἐπάνω (τὸ μέγα θηρίον τὸν Σκορπίον). μτχ. μ. ἀορ. συγκεκ. ἐπάρμενος.

ἐπαρωγὸς ὁ (ἐπαρήγω).

ἐπᾶσαι ἀόρ. ἀπρφ τοῦ ἐπᾴδω.

ἐπασάμην ἴδ. πατέομαι.

ἐπασκέω ἐπιμελῶς ἐκτελῶ, διακοσμῶ τι· αὐλὴ ἐπήσκηται (= ἐπιμελῶς διακεκόσμηται) τοίχῳ καὶ θριγκοῖσι ρ 266 ἡ αὐλὴ εἶνε τοιχογυρισμένη, ἔχει γύρω κτιστὸν τοῖχον καὶ θριγκούς. πόλλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος Ἀπ. Ἀχαι. 31 (Ἀθήν. 418 Α) σ. 747 Nauck πολλὰ τρώγουσιν, ὡς εἶνε συνήθεια τῶν γυναζομένων (ἀθλητ. ἀσκήσεις).

ἐπασσύτερος 3 λέξ. Αἰολ. συνήθ. τοῖς ποι. ἐκ τοῦ ἆσσον· ὅθεν σημ. «τὸ ἐγγὺς καὶ τῇ ἐπαλληλίᾳ πυκνόν» Εὐστ 491, 46 εἷς ἐπάνω εἰς τὸν ἄλλον. Συνήθ. πληθ. κῦμα ἐπασσύτερον Δ 423 τὸ ἕνα κῦμα ἐπάνω εἰς τὸ ἄλλο. σκοποὶ ἷζον... αἰὲν ἐπασσύτεροι π 366 πάντοτε διαδεχόμενοι ἀλλήλους, ταχέως ὁ εἷς μετὰ τὸν ἄλλον. θνῆσκον ἐπασσύτεροι Α 383 ἀπέθνησκον ὁ εἷς μετὰ τὸν ἄλλον, «ἄλλοι ἐπ' ἄλλοις».

ἐπασσυτεροτριβῆ χερὸς ὀρέγματα Αἰσχ. Χο. 425 κτυπήματα (κυρ. ἁπλώματα) τῆς χειρὸς ἐπιτριβόμενα ἀλλεπάλληλα, πυκνὰ καὶ ἀλλεπαλλήλως ἐπιφερόμενα ἴδ. ἀπριγδόπληκτος.

ἐπᾳστέον ῥ. ἐπίθ. δεῖ ἐπᾴδειν Πλ. Χαρμ. 158 C.

ἔπαυλα: εὐΐππου τᾶσδε χώρας ἵκου τὰ κράτιστα γῆς ἔπαυλα Σοφ. Ο. Κ. 669: τῆς εὐΐππου ταύτης ἐδῶ χώρας, ὦ ξένε, αἱ ἐπαύλεις, ποῦ ἦλθες, εἶνε αἱ ὡραιότεραι τοῦ κόσμου.

ἐπαυλέω αὐλῶ ἐπί τινι· δάϊον τόδε μέλος ἐπαυλεῖται Εὐρ. Ἡρ. Μ. 896 ὀλέθριόν ἐστι τόδε τὸ μέλος (ἡ Ἀμφιτρύωνος φωνή), ὃ αὐλεῖται ἐπὶ τῷ χορῷ τῶν τέκνων διωκομένων ὑπὸ τοῦ πατρός.

ἐπαυράω ἴδ. ἐπαυρίσκω.

ἐπαυρίσκω ἀπολαύω, ὡς ἐνεργ. μόνον ἐπαυρίσκουσι Θέογν. 111, ὃ ἀμφίβολον. ἐπαυρεῖ (ὡς ἐν.) Ἡσ. Ἔργ. 419. ἀόρ. ἐπαῦρον Πίνδ. Π. 3, 36. ἐπαύρῃς Λ 391. Ν 649. ἐπαυρεῖν Λ 573 κἀλλ. - ρέμεν Σ 302. ρ 81. Μέσ ἐπαυρίσκομαι ἐπ. ποι. νέον Ἰων., σπαν. Ἀττ. πεζ. Ν 733. Ἱπποκρ. 7, 488. 558 L. - ρήσεσθαι Ζ 353. ἐπηυρόμην Εὐρ. Ἑλ. 469. β' πρόσ. ἐπαύρεο Πίνδ. Ν. 5, 49. ἐπαύρῃ (Δ. Γ. - ρῃς), - ηαι, - ωνται σ 107. Ο 17. Α 410. ἐπαύροιτο Ἡρ. 7, 180. -όμενος Ἀπολλ. Ῥ. 4, 964. Ἀνθ. 7, 376. 384. -έσθαι Εὐρ. Ἰ. Τ. 529. Ἀπ. Ἀδέσπ. Τρ. 95 (κατ' ἄλλους κωμ.). Ἀνδοκ. 2, 2. Ἀπολλ. Ῥ. 1, 677. Ἡρώνδ. 3, 2. 7, 26. Δί. Κάσσ 52, 12. Ἀόρ. α' σπάν. ἐπηυράμην Ἀριστοτ. 1163 a 20. ἐπαυράμεθα Ἱπποκρ. 9, 424 L. -αύρασθαι 4, 632 L. οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες Θέογν. 111 κατὰ λέξιν: οἱ δὲ ἀγαθοὶ ἀπολαύουσι τὴν μεγίστην ἀπόλαυσιν (θεωροῦσιν ὡς τὴν μεγ. ἀπόλ.), ὅταν πάθωσι καλόν τι (μικρὸν ἢ μέγα) Τὸ χωρίον ὑπέστη πολλὰς διορθ. ἀμαυρίσκουσι: ἐλαφρίζουσι: τὰ μέγιστ' εὖ παῦρ' ἴσκουσι κλ. — ὁκόταν γὰρ ἡ μήτηρ ψυχρὸν ἑλκύσῃ ἀπὸ τοῦ ἠέρος, ἐπαυρίσκεται ἡ γονή Ἱπποκρ. 7, 488 L ὁπόταν ἡ μήτηρ πάρῃ (κυρ. σύρῃ) ψῦχος ἀπὸ τὸν ἀέρα, ἀπολαύει αὐτοῦ τὸ σπέρμα. ἐπὴν ἐς τὴν κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτά, ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίης 7, 558 ὅταν τὰ φαγητὰ καὶ τὰ ποτὰ πέσουν (φθάσουν) εἰς τὴν κοιλίαν, τὸ σῶμα ἀπολαύει αὐτῶν (λαμβάνον αὐτὰ) ἀπὸ τῆς κοιλίας. Ἀόρ. β'. ἐπηῦρον, Δωρ. ἐπαῦρον Πινδ. Π. 3, 36 = ἀπέλαυσαν τοῦ κακοῦ, ἐζημιώθησαν· ἴδ. κατωτ. καὶ ἀπαυράω. ἦ τ' ἄλλως ὑπ' ἐμεῖο, καὶ εἴ κ' ὀλίγον περ ἐπαύρῃ, ὀξὺ βέλος πέλεται Λ 391 διάφορον βέβαια εἶνε τὸ ὑπ' ἐμοῦ ῥιπτόμενον βέλος· ὀλίγον μόνον ἂν ἐγγίσῃ τὸ βέλος, (κινεῖται) ἀποβαίνει ὀξύ. πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ Ν 649 πρὸς ὅλα τὰ μέρη περιβλέπων («περισκοπῶν»), μή τις διὰ σιδήρου ἐπιτύχῃ (κτυπήσῃ) τὸ σῶμά του. ἀλλὰ τό γ' ἔμπης στόρνυται (τὸ νέφος), εἴ κ' ἐσθλοῖο κυβερ-

νηιῆρος ἐπαύρῃ Ἀπολλ. Ῥ. 2, 174 «εἰ ἀγαθοῦ κυβερνήτου τύχοι» Σχ. πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν Λ 573 πρὶν ἄψασθαι τοῦ σώματος. λίθου δ' ἀλέασθαι ἐπαυρεῖν Ψ 340 ν' ἀποφύγῃς νὰ ἐγγίσῃς τὸν λίθον. τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς Σ 302 προτιμότερον εἶνε νὰ τὰ χαρῇ τις ἐκ τούτων παρὰ οἱ Ἀχαιοί. αὐτόν ἔχοντά σε βούλομ' ἐπαυρέμεν ἤ τινα τῶνδε ρ 81 ἐπιθυμῶ μᾶλλον σὺ ὁ ἴδιος ἔχων αὐτὰ νὰ τὰ χαρῇς παρά τις ἐκ τούτων (τῶν μνηστήρων). πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ Ἡσ. Ἔργ. 419 μᾶλλον δὲ ἀπολαύει τῆς νυκτός. Μέσ. τοιαῦτ' ἐπηύρου (Elmsley: ἐπηύρω) τοῦ φιλανθρώπου τρόπου Αἰσχ. Πρ. 28 τοιούτων ἀγαθῶν ἀπέλαυσας ἀπὸ τῆς φιλανθρωπίας σου. οὕτω τί σοι δοίησαν αἱ φίλαι Μοῦσαι τερπνὸν τῆς ζοῆς τ' ἐπαυρέσθαι Ἡρώνδ. 3, 2 ἔτσι νά σου δώσουν καλὸν αἱ φ. Μ. καὶ νὰ χαρῇς τὴν ζωήν σου. τοῦ πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι Ν 733 τούτου (τοῦ νοῦ) πολλοὶ ἀπολαύουσιν ἄνθρωποι. πρὶν γὰρ θανεῖν σε, τοῦδ' ἐπαυρέσθαι θέλω Εὐρ Ἰ. Τ. 529 πρὶν ἀποθάνῃς, θέλω ν' ἀπολαύσω τούτου (δηλ. ἐπιθυμῶ νὰ τὰ μάθω ὅλα). τίν' αἰτίαν σχών, ἧς ἐπηυρόμην ἐγώ; Ἑλ. 470 τίς ὑπῆρξεν ἡ αἰτία (τοῦ μίσους τούτου), οὗ τὰ ἀποτελέσματα ἔπεσαν ἐπ' ἐμὲ (ἐξ οὗ ἔχω νὰ ὑποφέρω ἐγώ); μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεὼν Ἀπ. 95 Ἀδέσπ. Τρ. βραχυχρονίου βίου ζῶν τις πρέπει ν' ἀπολαύσῃ. ἐπαυρομένα πολλὴν κτῆσιν ἀπ' οἰκείου σώματος ἀγλαΐας Ἀνθ. 9, 332 ἀποκτήσασα μεγάλην κτῆσιν (περιουσίαν) ἐκ τῆς ὡραιότητος τοῦ σώματός της. τί ποτε οὗτοι οἱ ἄνδρες δεινῶς οὕτως περικαίονται, εἴ τι ὑμᾶς χρὴ ἀγαθὸν ἐμοῦ ἐπαυρέσθαι; Ἀνδοκ. 2, 2 διὰ τί τάχα οὗτοι οἱ ἄνθρωποι τόσον πολὺ στενοχωροῦνται, ἐὰν πρέπει (πρόκειται) ὑμεῖς νὰ ἀπολαύσητέ τι ἀγαθὸν ἐξ ἐμοῦ. || Εἰρωνικῶς· ἵνα πάντες ἐπαύρωνται βασιλῆος Α 410 διὰ νὰ δοκιμάσουν ὅλοι τὰ καλὰ τοῦ βασ. των. ὀΐω μιν ἐπαυρήσεσθαι Ζ 353 νομίζω ὅτι θὰ δοκιμάσῃ τὰς συνεπείας, θὰ καταλάβῃ πρὸς ζημίαν του. καὶ γειτόνων πολλοὶ ἐπαῦρον Πίνδ. Π. 3, 36 «καὶ τῶν γειτόνων πολλοὶ ἀπέλαυσαν τοῦ κακοῦ τοῦ περὶ τὴν Κορωνίδα» Σχ. Μετὰ αἰτ. μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ σ 107 ἵνα μή που δοκιμάσῃς καὶ μεγαλίτερόν τι κακόν.

ἐπαυχέω καυχῶμαι, πέποιθα· ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο δεδορκότ' ἐχθροῖς ἄστρον ὣς λάμψειν ἔτι Σοφ. Ἠλ. 65 οὕτως ἐλπίζω, ὅτι καὶ ἐγὼ κατόπιν τῆς φήμης ταύτης ζῶν καὶ βασιλεύων θὰ φανῶ τοῦ λοιποῦ λαμπρὸς εἰς τοὺς ἐχθρούς μου ὡς ἄστρον.

ἐπαΰω ἐπιβοῶ, ἐπιφωνῶ· ὅταν ἥκῃ μέρος ἔργων, ἐπαΰσας πατρὸς ἔργῳ θροούσᾳ πρὸς σέ, τέκνον, πατρὸς αὐδὰν καὶ περαίνων (γρ. καῖν' ἐπαινῶν) ἐπίμομφον ἄταν Χο. 823 σὺ δέ, ὅταν ἔλθῃ ὁ καιρὸς διὰ νὰ κάμῃς τὸ μέρος σου, πρὸς αὐτὴν φωνοῦσάν σοι, «τέκνον», ἐν ᾧ ἐργάζεσαι ὑπὲρ τοῦ πατρός σου, ἀντιφωνήσας μετὰ θάρρους καὶ σὺ τὴν φωνὴν τοῦ πατρὸς (ἀντιτάξας τὸν «πατέρα») φόνευέ την ὑπείκων κατ' ἀνάγκην εἰς (κυρ. ἀποδεχόμενος ὡς ἀναγκαῖον) τὸ θλιβερὸν χρέος. ἐπαΰσας πατρὶ ἔργῳ = αὔσας ἐπὶ τῷ ἔργῳ τοῦ πατρός. τόδε μοι τρὶς ἐπάϋσον (ἐπάπυσον Briggs) Θεόκρ. 23, 44 τόδε μοι τρὶς ἐπιφώνησον.

ἐπαφαυαίνομαι: ἐπαφαυάνθην γελῶν Ἀρφ. Βατρ. 1089 ξεράθηκα ἀπὸ τὰ γέλοια.

ἐπαχθής 2 ἐνοχλητικός, φορτικός, καταθλιπτικός· οὐδὲ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς Θουκ. 6, 54 οὐδὲ κατὰ τὴν ἄλλην αὐτοῦ κυβέρνησιν (διοίκησιν) ἦτο καταθλιπτικὸς εἰς τοὺς πολλούς. παρέλαβον τὴν τέχνην παρὰ σοῦ οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν Ἀρφ. Βατρ. 940 παρέλαβον τὴν δραματικὴν τέχνην παρὰ σοῦ ἔχουσαν ὄγκον (πρβ. Πλουτ. 79 Β παρομοίαν τινὰ γνώμην τοῦ Σοφοκλέους) ὡς ἐκ τοῦ πομπώδους ὕφους καὶ τῶν βαρειῶν (ὡς ἐχουσῶν βάρος καὶ μέγεθος) λέξεων.

ἐπεγείρω: «λέγει δέ που καὶ Σοφοκλῆς· τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα· εἰπὼν τοῦτο ἐκεῖνος ὡς ἀπὸ ἰχθύων, οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ» Εὐστάθ. Ἀλλὰ τὸ Ἀπόσπ. τοῦτο ἀμφιβάλλεται, ἂν εἶνε τοῦ Σοφ., ἄλλοι δὲ μᾶλλον κωμικοῦ τινος ποιητοῦ φρονοῦσιν ὅτι εἶνε.

ἐπεγχέω ἀπ' ἐπάνω χύνω ἐντὸς (ἀγγείου) ῥευστόν τι· τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχέασα Αἰσχ. Ἀγ. 1131 συναναμίξασα τῷ τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα» Σχ. ἐν τῷ κρατῆρι, ἐν ᾧ ἀνέμιξας τὰ τῶν μάντεων, ἀναμίξασα καὶ ἐγὼ τὸ ἐμὸν πάθος λέγω αὐτό: καὶ ἐμοὶ ἐπέπρωτο νὰ εἶμαι μάντις κακῶν, καὶ τὸ νῦν δὲ κακὸν προεμάντευσα· ἀλλ' ὅπως σὺ ἀντιτάσσεις ἀπιστίαν πρὸς τοὺς μάντεις, οὕτω καὶ ἐμοὶ οὐδεὶς ἐπίστευσεν.

ἐπέδραμον ἐνεργ. ἀόρ. β' τοῦ ἐπιτρέχω.

ἐπέδρη Ἰων. = ἐφέδρα.

ἐπεί ἐπὶ γενικῶν γνωμῶν εὕρηται συντεταγμένον μετ' εὐκτικῆς· καὶ γὰρ ὑστέρῳ τό γ' εὖ πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ Σοφ. Τρ. 91 διότι καὶ ἀργὰ ἂν φθάσῃ τις, ἡ περὶ τῆς καλῆς ὑγείας ἑνὸς ἄλλου εἴδησις (κυρ. τὰ τῆς ὑγείας ἑνὸς ἄλλου ὅταν τὰ μάθῃ τις) φέρει κέρδος: τ. ἔ. ἡ περὶ τῆς καλῆς ὑγείας τοῦ πατρός σου εἴδησις φέρει κέρδος. Ἀλλ' ἀκριβῶς τὴν τελευταίαν ταύτην ὡρισμένην ἔκφρασιν ἂν μετεχειρίζετο, ἡ εὐκτικὴ δὲν θὰ εἶχε τὸν τόπον της, ἀλλὰ ἡ ὑποτακτικὴ (ἐπὴν πύθῃ). Τοὐναντίον ἐν ἀορίστῳ ἐκφράσει, οἵα ἡ προκειμένη, ἐν ᾗ δὲν πρόκειται περὶ τοῦ Ἡρακλέους ὡρισμένως, ἀλλὰ περὶ οἱουδήποτε, ἡ εὐκτικὴ ἔχει ὀρθῶς. Τὸ αὐτὸ ῥητέον καὶ περὶ τῶν ἄλλων πρβ. ἐπεὶ δὲ βλάστοι, τῶν τριῶν μίαν λαβεῖν εὔσοιαν ἀρκεῖ Ἀπ. Σοφ. 118 ἀφ' οὗ δὲ γεννηθῇ (τις), ἀρκεῖ νὰ λάβῃ ἐκ τῶν τριῶν μίαν τὴν σωτηρίαν. Ἀλλὰ

τὸ ἀπόσπασμα εἶνε λίαν ἀσαφές. Τὸ γενικὸν δὲ καὶ ἀόριστον τῆς ἐννοίας εἶνε ὁ λόγος, δι' ὃν καὶ ἐπὶ ἄλλων προτάσεων, π. χ. τῶν ἀναφορικῶν, τίθεται ὁμοίως εὐκτική· ἄνδρα δ' ὠφελεῖν, ἀφ' ὧν ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνος Ο. Τ. 315 τὸ νὰ προσπαθῇ τις (κυρ. ἀνήρ τις) νὰ κάμνῃ τὸ καλόν, μεταχειριζόμενος ὅλα τὰ μέσα, ὅσα ἔχει εἰς τὴν διάθεσίν του, εἶνε λαμπρότατος κόπος. Καὶ ἄλλως· οὐκ οὖν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν, ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι; Αἰσχ. Εὐμ. 728 δὲν εἶνε λοιπὸν δίκαιον νὰ εὐεργετῇ τις τὸν εὐσεβοῦντα καὶ ἐν πάσῃ ἄλλῃ περιπτώσει, καὶ ὅταν τύχῃ νὰ εὑρίσκηται εἰς ἀνάγκην; τὸ μανθάνειν δ' ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγοι Σοφ. Ἀντ. 1031 τὸ μανθάνειν παρ' ὀρθῶς συμβουλεύοντος εἶνε τερπνότατον, ἂν ἤθελε λέγῃ ὠφέλιμα. τἀποκλαῦσαι κἀποδύρασθαι τύχας ἐνταῦθ', ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει Αἰσχ. Πρ. 664 τὸ ν' ἀποκλαύσῃ (ἴδ. τὴν λ.) τις καὶ νὰ θρηνολογήσῃ τὰς τύχας του ἐκεῖ, ὅπου μέλλει νὰ τύχῃ δακρύων παρὰ τῶν ἀκουόντων, εἶνε ἄξιον τῆς χρονοτριβῆς: δὲν εἶνε καιρὸς χαμένος. Ὄχι πολὺ διάφορα εἶνε: ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν Θουκ. 1, 120 ἴδιον φρονίμων ἀνθρώπων εἶνε, ἂν δὲν ἀδικῶνται νὰ ἡσυχάζωσι· πρβ. 3, 9. 10, 1. εἰκῇ κράτιστον ζῆν, ὅπως δύναιτό τις Σοφ. Ο. Τ. 979 ἄριστον εἶνε νὰ ζῇ τις τυχαίως (ὅπως τύχῃ, 'ς τὴν τύχην), ὅπως δύναται.

ἐπεί γε δή: ἐπεί γε δὴ τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην Σοφ. Ἀντ. 923 ἐπειδὴ ὁπωσδήποτε βεβαίως (πάντως) τὴν κατηγορίαν τῆς ἀσεβείας εὐσεβὲς ἔργον πράττουσα ἀπέκτησα. Ὁμοίως Ἡρ. 3, 9. ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον Σοφ. Τρ. 484 ἐπειδὴ ὁπωσδήποτε τώρα πλέον γνωρίζεις καλῶς ὅλην τὴν ὑπόθεσιν· πρβ. Εὐρ. Ἑλ. 1259.

ἐπείγω πιέζω, στενοχωρῶ, ὠθῶ· σπαν. πεζ. ἤπειγον Πίνδ. Ὀ. 8, 47. Σοφ. Φιλ. 499. κατ- Θουκ. 1, 61 (παρ' Ὁμ. αἰείποτε ἔπειγον)· ἤπειξα καὶ κατ- μτγν. ἐπείγομαι σπεύδω (ἐνίοτε καὶ μτβ.), πολλ. καὶ πεζ. ἠπειγόμην (ἐπ- Ε 622). ἐπείξομαι Αἰσχ. Πρ. 52. ἠπείχθην Θουκ. 1, 80 κἀλλ. ἤπειγμαι μτγν. ἐπεικτέον. ὀλίγον μιν ἄχθος ἐπείγει Μ 452 μικρὸν βάρος πιέζει αὐτὸν (παρέχει εἰς αὐτόν). ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν Σοφ. Ο. Κ. 1540 διότι μὲ βιάζει τὸ ἐκ θεοῦ σημεῖον, ὅπερ (νῦν) εἶνε παρὸν ἐν ἐμοὶ (καὶ τρόπον τινὰ μοὶ δεικνύει τὴν ὁδόν): «οὐ πταίει ὁ ὑποκριτὴς (τ. ἔ. οὐδαμοῦ προσκόπτει ὡς τυφλός), ἀλλ' εὐθὺ ἄπεισιν ὥσπερ ἀγόμενος ὑπὸ τοῦ θεοῦ» Σχ. Πᾶσα διόρθ. περιττή. πόνος ἄλλος ἔπειγεν λ 54 ἄλλη ἐργασία ἦτο (τότε) κατεπείγουσα. ᾗ νοεῖς ἔπειγέ νυν Σοφ. Ἠλ. 1435 λοιπὸν σπεῦδε ἐκεῖσε, ὅπου σκέπτεσαι. οὐκέτ' ἐρετμὰ προήκεα χερσὶν ἔπειγον μ 205 δὲν ἐκίνουν πλέον αὐτὴν τὰ κωπία. οὐκ ἔστιν ἀλύξαι ἀνθρώποις, ὅ τι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει Θεόκρ. 24, 69 δὲν εἶνε δυνατὸν εἰς τοὺς ἀνθρώπους ν' ἀποφύγωσιν ὅ τι ἡ Μοῖρα ἐπικλώσῃ (ἀποφασίσῃ) εἰς αὐτοὺς (μετὰ σπουδῆς). ἐπείγετε δ' ὦνον ὁδαίων ο 445 ἐπισπεύδετε τὴν ἀγορὰν τῶν ἐφοδίων. Καὶ παθ. τοῖον γὰρ ἐπείγετο χέρσ' ἐρετάων ν 115 τόσον καλὰ ἐπεταχύνετο (προωθεῖτο) διὰ τῶν χειρῶν τῶν κωπηλατῶν. ὀπὸς γάλα λευκὸν ἐπειγόμενος ἔπηξεν Ε 902 ταχέως ταραττόμενος (ὑπὸ τοῦ κυκῶντος) ἔπηξε τὸ λ. γάλα. λέβης ἐπειγόμενος πυρί Φ 362 θερμαινόμενος ὑπὸ τοῦ πυρός. βελέεσσιν ἐπείγετο Ε 622 ἐστενοχωρεῖτο ὑπὸ τῶν βελῶν. Μέσ. μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος ἐκτελέσω β 97 περιμένετε, ὅσον καὶ ἂν ἐπισπεύδετε τὸν γάμον μου, ἕως ὅτου τελειώσω τὸ φᾶρος. ἐπειγομένων αὐτῶν τὸν πλοῦν Θουκ. 8, 9 ἐν ᾧ ἐπέσπευδον τὸν πλοῦν. οἱ δέ τε θάμνοι πρόρριζοι πίπτουσιν, ἐπειγόμενοι πυρὸς ὁρμῇ Λ 157 βιαζόμενοι τῇ τοῦ πυρὸς ὁρμῇ. ψυχὴ κατ' οὐταμένην ὠτειλὴν ἔσσυτ' ἐπειγομένη Ξ 519 ὥρμησε νὰ ἐξέλθῃ μετὰ σπουδῆς πρὸς τὸ μέρος, ὅπου ἔγινεν ἡ πληγή. πρὸς ἠέλιον κεφαλὴν τρέπε, δῦναι ἐπειγόμενος ν 30 βιαζόμενος (ἐπιθυμῶν) νὰ δύσῃ ὁ ἥλιος. αὐτὰρ Ἀχιλλεὺς μιμνέτω αὖθι τέως γε, ἐπειγόμενός περ Ἄρηος Τ 188 καίπερ σπεύδων εἰς τὸν πόλεμον. ὧραι ἐπειγόμεναι Πίνδ. Ν. 4, 34 αἱ ἐπισπεύδουσαι ὧραι τ. ἔ. ἡ βραχύτης τοῦ εἰς τὴν ᾠδὴν προσμεμετρημένου χρόνου. λαμπρός θ' ἕκαστος κἀπὶ τοῦτ' ἐπείγεται κέ. Ἀπ. Εὐρ. 183 ἕκαστος διαπρέπει ἐν τούτῳ καὶ πρὸς τοῦτο (ὅπερ λέγεται ἐφεξῆς) δεικνύει προθυμίαν. ἢν μὴ ἐπειχθῇς ναυμαχίην ποιεύμενος Ἡρ. 8, 68 (κατωτ. ἐπειχθῇς ναυμαχῆσαι) ἂν δὲν βιασθῇς νὰ ναυμαχήσῃς. τίνι πιστεύσαντας ἀπαρασκεύους ἐπειχθῆναι; Θουκ. 1, 80 νὰ σπεύσωμεν, νὰ βιασθῶμεν, ἐν ᾧ εἴμεθα ἀπαράσκευοι;

ἐπεῖδον ἴδ. ἐφορῶ.

ἐπεικάζω: ὡς ἐπεικάσαι πάθει (Thiersch: πάθῃ) πάρεστιν Αἰσχ. Χο. 974 ὡς δύναταί τις εὐκόλως νὰ εἰκάσῃ ἐκ τοῦ πάθους των (ὅτι δηλ. καὶ νεκροὶ κεῖνται πλησίον ἀλλήλων). ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ κείνου; Σοφ. Ἠλ. 663 ἆρά γε ἐπιτυγχάνω καὶ εἰς τὴν δευτέραν εἰκασίαν μου, ὅτι ἡ παροῦσα κυρία εἶνε ἡ γυνὴ ἐκείνου; ἢ πατρὶ τὠμῷ τάσδ' ἐπεικάσας τύχω χοὰς φερούσας —; Αἰσχ. Χο. 14 ἢ νὰ εἴπω καλλίτερα (κυρ. νὰ ἐπιτύχω εἰς τὸν συμπερασμόν μου), ὅτι φέρουσι χοὰς εἰς τὸν πατέρα μου; ὥστ' ἐπεικάζειν τινὰ δόμοις παραστείχοντα 565 ὥστε περνῶν τις πλησίον τῆς οἰκίας νὰ τὸ συμπεραίνῃ (ὅτι δηλ. δὲν μᾶς ἐδέχθησαν εἰς τὴν οἰκίαν) ἐκ τῆς στάσεως ἡμῶν (ἐφ' ἡμῶν = ἐπ-).

ἐπεικτέον ῥ. ἐπίθ. τοῦ ἐπείγω.

ἐπεικώς ἴδ. ἐπέοικα.

ἐπικλείω ἐπαινῶ, ἀποδέχομαι· τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι, ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται α 351 ὁποιον ᾆσμα, νεώτατον ὄν, προσβάλλει τὰ ὦτα (περιηχεῖ) τῶν ἀκουόντων, ἐκεῖνο περισσότερον ἐπιδοκιμάζουν οἱ ἄνθρωποι· πρβ. τὸ τοῦ Τιμοθέου· οὐκ ἀείδω τὰ παλαιά, καινὰ γὰρ ἀμὰ κρείσσω.

ἐπίκλημα τό, ἐπιτίμημα, ἐγκάλεσμα, μομφή, ἄρθρον κατηγορίας· ἐξ ὀμμάτων ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενὸς κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου; Σοφ. Ο. Τ. 529 μὲ ὀφθαλμοὺς ἀδιαστρόφους (εὐθὺ βλέποντας, ὄχι πεπλανημένους) καὶ μὲ ἀδιατάρακτον νοῦν κατηγορεῖτο (ἐξεφράζετο) ἡ κατηγορία αὕτη ἐναντίον μου; Τὸ ἀντίθ. τοῦ ὀρθῶν ὀμμάτων εἶνε ὁ διάστροφος ὀφθαλμός, τὸ δ' ἐναντίον τῆς ὀρθῆς φρενὸς εἶνε ὁ παρήορος νοῦς. Ὥστε ὁ Κρέων ἀποδίδει τὴν κατηγορίαν ταύτην εἰς παραφροσύνην τοῦ Οἰδίποδος τοὐπίκλημ' ὑπεξελὼν αὐτ. 227 ἴδ. ὑπεξαιρῶ. ἦν ἐν πολλῇ ἀθυμίᾳ τῷ ἐπικλήματι τούτῳ Ξεν. Οἰκ. 11, 4 ἤμην εἰς μεγάλην ἀθυμίαν διὰ τὴν κατηγορίαν ταύτην.

ἐπίκληρος 2 κυρ. ὁ ἐπὶ (παντὶ τῷ) κλήρῳ (κληρονόμος), κληρονόμος ὅλης τῆς πατρῴας περιουσίας, μονοκληρονόμος, ἰδίως ἡ μονογενὴς θυγάτηρ, ἥτις, ἵνα μὴ περιέλθῃ ἡ περιουσία εἰς ξένην οἰκογένειαν, ὤφειλε νὰ ὑπανδρευθῇ τὸν πλησιέστατον συγγενῆ της· ἂν δὲ οἱ συγγενεῖς ἐφιλονείκουν τίς ὁ πλησιέστερος ἢ ἂν ἡ ἐπίκληρος εἶχεν ὑπανδρευθῇ πρὸ τοῦ θανάτου τοῦ πατρός, ἐγίνετο δίκη, ὅπερ ἐλέγετο ἐπιδικάζεσθαι τῆς ἐπικλήρου, ἡ δὲ κόρη ἐκαλεῖτο ἐπίδικος.

ἐπικληρόω: ἐπεκλήρωσεν ἡ ἀρχὴ τοὺς ὀφείλοντας τὰ σκεύη Δημ. 47, 21 ἡ ἀρχὴ διὰ κλήρου ὥρισεν ἐκείνους, οἵτινες ἔμελον νὰ εἰσπράξωσι τὰ ναυτικὰ σκεύη παρὰ τῶν ὀφειλόντων αὐτά.

ἐπικληρωτικοὶ νόμοι οἱ περὶ τῶν ἐπικλήρων ἃ χρὴ ποιεῖν διορίζοντες νόμοι Bull. d. Corr. Hell. 1877 σ. 153.

ἐπικλινὴς 2: ἐπικλινεῖς ἐκραβδίζειν τοὺς πονηροὺς Ἀρφ. Λυσ. 577, ὅπου ἡ ὀρθὴ γρ. εἶνε ἐπὶ κλίνης, ὃ ἴδε.

ἐπικλίνω: οὐδὲ πύλῃσιν εὗρ' ἐπικεκλιμένας σανίδας Μ 121 οὐδὲ εἰς τὰς πύλας εὗρεν ἐπιτεθειμένας τὰς σανίδας (τὰ θυρόφυλλα), κλεισμένα τὰ φύλλα τῶν θυρῶν. κεραῖαι ἐπικεκλιμέναι Θουκ. 2, 76 ἔχουσαι ἐπικλινῆ θέσιν (ὑπεράνω τοῦ τείχους). Σαλαμῖνος τᾶς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς Εὐρ. Τρῳ. 797 τῆς κειμένης πλησίον (ἢ πρὸς τὸ μέρος τῶν) ἱερῶν λόφων (τῶν περὶ τὴν ἀκρόπολιν τῶν Ἀθηνῶν). μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα Δημ. 3, 8 ἐν ᾧ κανὲν ἐμπόδιον δὲν ὑπάρχει εἰς τὸν Φίλιππον, ἀφ' οὗ ὑποτάξῃ τὰ παρόντα (ἀπασχολοῦντα αὐτὸν) πράγματα (δηλ. τὴν Ὄλυνθον), νὰ στραφῇ («νὰ γυρίσῃ», κατὰ μτφ. ἐκ τοῦ ζυγοῦ) πρὸς ταῦτα τὰ (ἐδῶ) πράγματα (δηλ. τὴν Ἀττικήν).

ἐπίκλοπος 2: ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων Χ 281 ἀπεδείχθης ἕνας τεχνίτης εἰς τα λόγια (μάστορις) καὶ δόλιος διὰ λόγων ἀπατεών. ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων φ 397 ἀληθῶς ἕνας παρατηρητὴς καὶ δόλιος δοκιμαστὴς τῶν τόξων ἀπεδείχθη. ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος Ἑρμείην ἤνωγε Ἡσ. Ἔργ 67 διέταξε τὸν Ἑρμῆν νὰ ἐμβάλῃ εἰς αὐτὴν ἀναιδῆ (κυνικὴν) γνώμην καὶ ἀπατηλὸν ἦθος.

ἐπικλύζω: ἅπασαν ἔνοσις ἐπικλύσει πόλιν Εὐρ. Τρῳ. 1328 κλόνησις, σεῖσις (σεισμὸς) θὰ καταλάβῃ ἅπασαν τὴν πόλιν ἡμῶν. πάντας γὰρ πισῆας ἐπικλύζων ποταμὸς ὣς λῖς ἄμοτον κεράϊζε Θεόκρ. 25, 201 διότι πάντας τοὺς κατοίκους τῶν λειμώνων ὡς ποταμὸς πλημμυρῶν ὁ λέων ἀπαύστως κατέστρεφε. Τὸ πισεὺς (παρὰ τὸ πῖσος τόπος ὑγρός, «ποτιζόμενος», λειμὼν) ἐπλάσθη κατ' ἀναλογίαν πρὸς τὸ πεδιεὺς (κάτοικος τοῦ πεδίου). τὸ βασιλικὸν χρυσίον τὴν δαπάνην αὐτοῦ ἐπικέκλυκεν Αἰσχίν. 3, 173 τὸ χρυσίον καταπλημμυρῆσαν ἔχει σκεπάσῃ τὴν δαπάνην. Ἀμτβ. ἀθρόαις ἐπικλύσει ταῖς παρισώσεσιν Διον. Ἁλ. π. Ἰσοκρ. 14 θὰ πλημμυρήσῃ (θὰ μᾶς καταπνίξῃ) μὲ τὰς παρισώσεις του ἀθρόας (τὰς ὁποίας ὅλας μαζὶ ἐπισωρεύει).

ἐπικλώθω ἐπινήθω, κλώθω, ἐπὶ τῶν θεῶν, μάλιστα τῶν Μοιρῶν, αἱ κλώθουσαι ἐπὶ ἑκάστῳ τὸ εἱμαρμένον εὐτυχὲς ἢ δυστυχὲς νῆμα τῆς ζωῆς του· ἐν γένει παρέχω, χορηγῶ· τὰ μὲν ἄρ που ἐπέκλωσαν θεοὶ αὐτοί λ

139 ταῦτα βεβαίως οἱ θεοὶ αὐτοὶ προώρισαν. ᾧ τε Κρονίων ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε δ 208 εἰς τὸν ὁποῖον εὐτυχίαν προορίσῃ ὁ Κρ καὶ κατὰ τὸν γάμον καὶ κατὰ τὴν γέννησίν του. τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόν δε νέεσθαι α 27 κατὰ τὸ ὁποῖον προώρισαν οἱ θεοὶ νὰ ἐπιστρέψῃ εἰς τὴν πατρίδα του. τοῦτο γὰρ λάχος Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν Αἰσχ. Εὐμ. 336 ἴδ αὐτουργία. ᾧ στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ θέσθαι Εὐρ. Ὀρ. 12 εἰς τὸν ὁποῖον (Ἀτρέα) ἡ θεὰ (Μοῖρα), ποῦ ἔξανε τὸ νῆμα τῆς ζωῆς του, προώρισεν ἔριδα, δηλ. νὰ κάμῃ πόλεμον μὲ τὸν ἀδελφόν του (Θυέστην). «Γράφεται δὲ καὶ ἔρις, ἵν' ᾖ· ἡ θεὰ Ἔρις τὸν πόλεμον ἐπέκλωσε Θυέστῃ καὶ Ἀτρεῖ» Σχ. ἕως ἂν ἐκπλήσωσι τὸν ἐπικλωσθέντα τῆς ζωῆς βίον Πλουτ. Παραμυθ. Ἀπολλ. 114 D ἴδ. βίος.

ἐπικοιμάομαι: ἀλλά μοι δοκεῖς οὐ καθεύδων ἐπικεκοιμῆσθαι Πλάτ. Εὐθυδ. 300 A μοὶ φαίνεσαι ὅτι, ἐν ᾧ δὲν κοιμᾶσαι, ὀνειρεύεσαι (κυρ. ἔχεις ἀποκοιμηθῇ ἐπίτηδες, ἵνα ὀνειρευθῇς, ὡς οἱ ἐκ τῶν ὀνείρων μαντευόμενοι· πρβ. τὸ ἐγκοιμᾶσθαι). Δύναταί τις ἁπλούστερον ὧδε: ἐν ᾧ δὲν ἔπεσες νὰ κοιμηθῇς, ἔχεις ἀποκοιμηθῇ: δηλ. κοιμᾶσαι ὄρθιος.

ἐπικοινωνέω: τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ τῶν ὑπὸ τοῦ δήμου ὑστεφανουμένων Αἰσχίν. 3, 44 θέτει νόμον, ὅστις οὐδὲν κοινὸν ἔχει πρὸς (δὲν ἔχει καμμίαν σχέσιν μὲ) τὸν νόμον τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων. Παθ. περὶ γάμους ἀλλήλοις ἐπικοινωνουμένους Πλ. Νόμ. 631 D ὅπου ἡ ὀρθὴ γρ εἶνε ἐπικοινουμένους τ. ἔ. περὶ γάμους, οἳ ἐπικοινοῦνται ἀλλήλοις: περὶ τας ἀμοιβαίας ἐπικοινωνίας τῶν γάμων.

ἐπικοκκάστρια ἡ: ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκάστρια Ἀρφ. Θεσμ. 1059 ἴδ ἀντῳδός.

ἐπικομπέω ἐπικομπάζω· τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν Θουκ. 4, 126 ἐν ᾧ ἔτι μέλλουσι (χωρὶς νὰ προβῶσιν εἰς ἔργα), ἐπιδεικνύουσι κομπωδῶς τὴν ἀνδρείαν των.

ἐπικόπτω κόπτω, κτυπῶ, ἐπάνω, φονεύω κτυπῶν ἄνωθεν πρὸς τὰ κάτω· πέλεκυν ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο βοῦν ἐπικόψων γ 442 ἵνα φονεύσῃ δι' ἑνὸς κτυπήματος ἐπὶ τοῦ τραχήλου. Ἐπὶ νομισμ. τυπώνω· ἐπικόψας χαρακτῆρα Ἀριστοτ. Οἰκ. 2, 20 ἴδ. ἐκδίδωμι. Ἐν δὲ τῷ ἐκ τοῦ Στράβωνος μύλον ἀποτριβέντα ἐπικόπτειν σημ. χαράσσειν τὸν μύλον (πρβ. μυλοχαράκτης). φιλόσοφος φιληδονίαν ἐπικόπτων ἀκόλαστον Πλουτ. 529 B περιορίζων φιληδονίαν ἀκ. Μέσ. ἔκρυψα πέπλοις κἀπεκοψάμην νεκρόν Εὐρ. Τρῳ. 622 ἐσκέπασα τὸν νεκρὸν καὶ ἐθρήνησα αὐτὸν καὶ ἐκτυπήθηκα (ἐκτύπησα τὸ στῆθός μου) = ἐθρήνησα τὸν νεκρὸν καὶ ἐπέκοψα ἐμαυτήν.

ἐπίκοτος 2 θυμώδης, ὀργίλος· στάσιν ἀπὸ πραπίδων ἐπίκοτον ἀνελών Πινδ. Ἀπ. 109 ἀφ' οὗ ἀφαιρέσῃ ἐκ τῆς διανοίας του τὸν ἐχθρικὸν κομματισμόν. ἐπ' ἀνδρὶ δήοισιν ἐπικότῳ σέβας Αἰσχ. Χο. 626 «ἐπ' ἀνδρὶ φοβερῷ καὶ σεβαστῷ καὶ παρὰ τοῖς πολεμίοις» Σχ. Ἀλλ' ἡ γρ. ἡμαρτημένη. Ἐν τῷ ἐπικότῳ κατὰ τὴν γνώμην μου λανθάνει ἴσως ἡ ἀληθὴς γρ. μὴ σκοπῶ τ. ἔ. ἐπ' ἀνδρί τε δήοισι (ἢ καὶ λαοῖσι) σέβας μὴ σκοπῶ — ; (καὶ ἐν ἀντιστροφ. βροτῶν ἄπ' ἄτ. γένος οἴχεται) τ ἔ. πρέπει ν' ἀποσιωπήσω τὸν βδελυρὸν γαμήλιον σύνδεσμον, τὸν ἐπικατάρατον εἰς τὸν οἶκον, καὶ τὰ ὑπὸ γυναικῶν ἐπινοηθέντα βουλεύματα ἐναντίον ἀνδρὸς πολεμιστοῦ, ὃν καὶ οἱ ἐχθροὶ ἐσέβοντο (κυρ. καὶ τὸ παρὰ τοῖς ἐχθροῖς ὑπάρχον πρὸς τοιοῦτον ἄνδρα σέβας), νὰ τιμῶ δὲ κτλ. (Γρ. τίω); τέκνοισιν δ' ἀρὰς ἐφῆκεν ἐπικότους τροφᾶς Αἰσχ. Ἑπτ. 770 ἐναντίον δὲ τῶν τέκνων του ἐξηκόντισεν ἀρὰς ἐξωργισμένος (κυρ. κεχολωμένας) διὰ τὴν ἐξ αὐτῶν διατροφήν του. ὁ δ' ἐπικότως ἀεὶ θέμενος ἄγναμπτον νόον Πρ. 173 ἐκεῖνος δὲ μετ' ὀργῆς πάντοτε, ἀφ' οὗ ἔβαλε μέσα εἰς τὸν νοῦν του ἀμετάτρεπτον ἀπόφασιν (πρβ. Πέρσ. 145).

ἐπικουρέω ἔρχομαι ἐπίκουρος εἰς βοήθειάν τινος ἐν πολέμῳ· ἀλλά ἑ Μοῖρα ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας Ε 614 ἀλλ' ἡ Μοῖρα ἦγεν αὐτὸν πρὸς Πρίαμον καὶ τοὺς υἱέας βοηθήσοντα αὐτοῖς. ἐσθὴς ὅτῳ ἐστὶν ἀφθονωτέρα παροῦσα, πολλὰ καὶ ὑγιαίνοντι καὶ κάμνοντι ἐπικουρεῖ Ξεν. Κ. Π. 6, 2, 30 εἰς ὅντινα ὑπάρχουσιν ἀφθονώτερα φορέματα πρόχειρα, παρέχουσι μεγάλην βοήθειαν (εἶνε πολὺ χρήσιμα) εἰς αὐτὸν καὶ ὑγιαίνοντα καὶ ἀρρωστοῦντα· εἴ τῳ χειμῶνα ἐπεκούρησα Ἀν. 5, 8, 25 ἐὰν κανένα τὸν προεφύλαξα ἀπὸ τὸν χειμῶνα (ἀπὸ τὸ ψῦχος).

|| φροντίζω περὶ τῶν ἀναγκαίων καθημερινῶν ἐξόδων· οὐδὲ κάραβον μέγαν γυναιξὶ κοπιώσαις ἐπεκουρήσατε (ἐπεχορηγήσατε; Meineke) Ἀπ. Ἀρφ. 318 (Ἀθην. 104 E) οὐδὲ κάραβον μέγαν διηυκολύνατε εἰς γυναῖκας κοπιώσας (ἐκ τῆς νηστείας καὶ τῶν χορειῶν). τέχνην τινὰ ἐργάζεται ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ Αἰσχίν. 1, 27 «δουλεύει καμμία τέχνη γιὰ νὰ βγάζῃ τὸ (καθημερινὸ) ψωμὶ ποῦ τοῦ χρειάζεται».

ἐπικουρικός 3: ἐπικουρικὰ μᾶλλον ἢ δι' ἀνάγκης ὥσπερ τὰ σφέτερα ὄντα (τὰ πράγματα τῶν Συρ.) Θουκ. 7, 48 «μισθοφόρων τοῖς Συρακ. ὄντων καὶ οὐχὶ δι' ἀνάγκην στρατευομένων πολιτῶν, ὥσπερ Ἀθηναίων» Σχ.

ἐπίκουρος 2 βοηθός· «ἐπίκουροι οἱ ἀπὸ ξένης χώρας σύμμαχοι τῶν πολεμουμένων καὶ βοηθοί» Μ. Ἐ. εἰ δὲ μὴ ταχὺ λίποι, ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν Κρόνιον Πινδ. Ὀ. 1, 110 ἐὰν δὲ μὴ ἀπολίπῃ με ὁ βίος, ἔτι γλυκυτέραν (ἐνν. μολπὴν ἐκ τῶν προηγ. Ἄλλοι ἐνν. κλέϊξιν κατὰ σύστοιχον σύνταξιν, ἄλλοι ἄλλα) ἐλπίζω ᾄσεσθαί σοι καὶ τῷ ταχεῖ σου ἅρματι, βοηθητικὴν τῶν λόγων (ἐκ τῶν ἐνδόξων ἔργων

σου) ὁδὸν εὑρών, ἐλθὼν εἰς τὸ λαμπρὸν Κρόνιον. Λαβδακίδαις ἐπίκουρος ἀδήλων θανάτων Σοφ. Ο. Τ. 496 τιμωρός, ἐκδικητής. ἔλθοις πατρὶ αἱμάτων ἐχθίστων ἐπίκουρος Εὐρ. Ἠλ. 136 τιμωρὸς (ἐκδικητὴς) τῷ πατρὶ τῶν μυσαρῶν φόνων (διὰ τὴν μυσαρὰν δολοφονίαν του). ποῦ χρή μ' ἀθλίαν ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν; Ἰ. Α. 1027 τὴν ἀμυντικὴν τῶν κακῶν.

ἐπικουφίζω ἀνακουφίζω, ἐλαφρύνω, σηκώνω ὑψηλά· σὺ δὲ πατρὸς πλευρὰς σὺν ἐμοὶ ἐπικούφιζε. . . Σοφ. Αἴ. 1411 «ἀναβάσταζε» Σχ. τῷ οὖν κατιλυθέντι (= ἰλύι κατακρυφθέντι σίτῳ) τί ἂν ποιοῦντες δοκοῦσιν ἄν σοι ἐπικουφῆσαι; Ἐπικουφίσαντες, ἔφην ἐγώ, τὴν γῆν Ξεν. Οἰκ. 17,13 εἰς τὸν κατασκεπασθέντα ἐκ τῆς ἰλύος σῖτον διὰ τίνος μέσου νομίζεις ὅτι θὰ ἠδυνάμεθα νὰ δώσωμεν βοήθειάν τινα; Ἂν ἐλαφρώσωμεν τὴν ἐπ' αὐτοῦ γῆν (διὰ τοῦ σκαλίσματος, δι' οὗ μέρος τῆς γῆς διασκορπίζεται). ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι καὶ αὐτὸ τὸ εἰδέναι ὅτι οὐ λανθάνει ὅ τι ἂν ποιῇ Ξεν. Κ. Π. 1, 6, 25 ἡ τιμὴ φέρει εἰς τὸν ἄρχοντα ἀνακούφισίν τινα διὰ τοὺς κόπους του, καθὼς καὶ αὐτὴ ἀκριβῶς ἡ γνῶσις, ὅτι πᾶν ὅ τι κάμνει δὲν μένει ἄγνωστον. δεῖ δή με κἀκέλευστον εἰς ὅσον σθένω, μόχθου ἐπικουφίζουσαν, ὡς ῥᾶον φέρῃς, συνεκκομίζειν σοι πόνους Εὐρ. Ἠλ. 71 ὀφείλω λοιπὸν καὶ ἀκέλευστος (καὶ παρὰ τὸ σὸν κέλευσμα), ἀνακουφίζουσά σε ἐκ τοῦ μόχθου, ἵνα εὐκολώτερον ὑποφέρῃς αὐτόν, νὰ ὑπομένω μετὰ σοῦ μέχρι τέλους τοὺς πόνους. νεότης ἐπικουφίζει νόον ἀνδρός, πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην Θέογν. 629 ἡ νεότης καθιστᾷ κοῦφον τὸν νοῦν τοῦ ἀνδρὸς (φέρει κουφόνοιαν), πολλῶν δὲ τὴν καρδίαν παρασύει εἰς ἁμαρτήματα.

ἐπικραίνω ἐπιτελῶ. Ζεὺς δ' ἐπικράναι (Dindorf: ἐπέκρανεν) τέλος Αἰσχ. Ἱκ. 622 εἴθε νὰ φέρῃ τὰ πράγματα εἰς καλὸν τέλος. Ζεὺς ἐπικραινέτω φέρματι γᾶν Αὐτ. 69 ἴδ. καρποτελής. ἄχαριν χάριν ἐπικρᾶναι Ἀγ. 1545 (ἴδ. ἄχαρις). — θεῶν ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν Εὐμ. 363· ἴδ. λιτή. πᾶν ἐπικραίνεις Ἱκ. 380 πᾶν ἐπιτελεῖς. τοῖσι θανοῦσι θανὼν ἄλλων (ἄλλος Weckl.) ποινὰς θανάτων ἐπικρανεῖ (ἐπικραίνει Herm.) Ἀγ. 1338 ἐπὶ τοῖς φονευθεῖσι φονευθεὶς θὰ ἐκτελέσῃ τὰς ποινὰς ἄλλων προηγ. θανάτων τ. ἔ. διὰ τοῦ ἰδίου αἵματος θὰ ἐξιλεώσῃ τοὺς προτέρους θανάτους. κύδιστ' ἀχέων ἐπέκρανε Ἱκ. 13 ἀπεφάσισε τέλος τὰ αἱρετώτατα τῶν κακῶν (δηλ. τὴν φυγήν). κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα πότνι' Ἐρινὺς ἐπέκρανεν Ἑπτ. 870 ἡ Ἐρ. τοῦ Οἰδ. ἔφερε τὰ πράγ. εἰς τοιοῦτον πέρας, ὥστε νὰ εἶνε πολὺ ἀληθῆ. Δὲν εἶνε ἀναγκαία ἡ διόρθ. καταρὰς (γρ-άρας) δῆθ' ἡ πατρὸς κτλ. Μᾶλλον διορθ. ὧδε: κάρτα δ' ἀληθῆ τὰ πρὸς Οἰδ. κτλ. πρβ. 927· ἀρὰν πατρῴαν (= τὰ πρὸς πατρὸς) τιθεὶς ἀλαθῆ. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον, οἷ' ἐπικραίνει; Εὐμ. 950 ἀληθῶς ἀκούετε ταῦτα, τῆς πόλεως φρουροὶ (Ἀρεοπαγῖται), ὁποῖα ἐπιτελεῖ (τ. ἔ. ἀποφασίζει δι' ὑμᾶς: ὑπόσχεται ὅτι θὰ πράξῃ); τέρμα γὰρ εἴς με βίου Μοῖρ' ἐπέκρανε τόδε Ἀνθ. παράρτ. 148 τοῦτο τὸ τέλος τοῦ βίου προώρισεν εἰς ἐμέ. (ῥάβδος) πάντας ἐπικραίνουσα θεοὺς ἐπέων τε καὶ ἔργων τῶν ἀγαθῶν, ὅσα φημὶ δαήμεναι ἐκ Διὸς ὀμφῆς Ὕμν. Ὁμ. εἰς Ἑρμ. 531 ἐπειδὴ δὲν εὕρηται ἀλλαχοῦ κυρ. ἡ σύνταξις ἐπικραίνειν τινά τινος, τὸ χωρίον διωρθώθη πολλαχῶς (οἴμους ἢ ἄθλους ἀντὶ τοῦ θεοὺς κλ.). Ἀλλ' ἐνταῦθα ἡ σύνταξις εἶνε κραίνειν τι ἐπί τινα (ὑπαρχούσης ἤδη τῆς συντάξεως κραίνειν τι ἐπί τινι). Κατὰ ταῦτα ἐξηγητέον ὧδε: διὰ πάντας τοὺς θεοὺς (κυρ. ὥστε ἡ ἐκπλήρωσις αὐτῶν νὰ ἐπεκτείνηται εἰς ὅλους τοὺς θεοὺς) κυρ. ἐπιτελοῦσα ὅσα ἐκ τῶν ἀγαθῶν ἐπῶν τε καὶ ἔργων λέγω ὅτι ἔμαθον ἐκ τοῦ στόματος τοῦ Διός. Τὸ χωρίον λοιπὸν ἔχει καλῶς. οὔ σφιν ἐπεκραίαινε Γ 302 δὲν συγκατένευε. Καὶ παθητ. ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος αἰὼν εὐλόγως Αἰσχ. Ἱκ. 45 τῷ δὲ τῆς ἐφάψεως ἐπωνύμῳ ἐσομένῳ (τ. ἔ. τῷ Ἐπάφῳ) συνεπληροῦτο ὁ εἱμαρμένος χρόνος, ὡς ἦν εὔλογον. τάδε τοι χώρᾳ τἠμῇ προφρόνως ἐπικραινομένων (ἀπροσ. οὐδ. παθ.) γάνυμαι Εὐμ. 969 διὰ ταῦτα χαίρω, εὐμενῶς ἐπιβεβαιουμένων τούτων εἰς τὴν ἐμὴν χώραν (κυρ. ἐπιβεβαιώσεων γινομένων): ὅταν τὰ ἀγαθὰ ταῦτα εὐμενῶς ἐπιδαψιλεύωνται εἰς τὴν χώραν μου.

ἐπικράτεια ἡ: κρήνη ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου Ξεν. Ἀν. 6, 4, 4 οὐ μόνον ἐντὸς τῆς ἐπικρατείας τοῦ χωρίου ἀλλὰ καὶ δεσποζομένη ὑπὸ τοῦ χωρίου, κατὰ Πανταζίδην.

ἐπικρατέω: εἴτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες ρ 320 ὅταν οἱ βασιλεῖς δὲν ἔχωσι πλέον ἐξουσίαν. ἀγαπατὰ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι Πίνδ. Ν. 8, 5 εἶνε ἀγαπητὸν (εὐχάριστον) νὰ δύναταί τις, ἐπιτυχὼν τοῦ ὀρθοῦ («τῆς εὐκαιρίας μὴ ἀποσφαλέντα» Σχ.) ἐν ἑκάστῳ πράγματι, νὰ γίνεται κύριος τῶν βελτιόνων ἐρώτων («τῶν δὲ φαύλων ἀπέχεσθαι» Σχ.) τ. ἔ. εὐδαίμων εἶνε καὶ ὁ ἐν ἔρωτι ἐπιτυγχάνων. ἕως ἂν ὑμῶν ἐπικρατήσω τῷ κοάξ Ἀρφ. Βατρ. 267 ἕως ὅτου ὑπερισχύσω ὑμῶν διὰ τοῦ κοάξ. τῆς καθ' ἡμέραν ἀναγκαίου τροφῆς ἐπικρατεῖν Θουκ. 1, 2 κερδίζειν τὴν καθημερ. ἀναγκαίαν τροφήν. ἐπεκράτει τῆς συμφορᾶς κατεῖχέ θ' αὐτὸν Ἀπ. Ἀντιφάν. 18 ἦτο κύριος τῆς ἐρωτικῆς συμφορᾶς του (ὅτι δηλ. ἠράσθη μιᾶς τῶν ὁμοσπόρων) καὶ περιώριζεν ἑαυτὸν (τὸ πάθος του). ἐπικρατούντων τῶν περὶ τὸν Ξενάρη τὸν ἔφορον ταῦτα γίγνεσθαι Θουκ. 5, 46 ὥστε νὰ γίνωνται ταῦτα. ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους

6, 74 ὑπερίσχυον (δηλ. ὑπερίσχυεν ἡ θέλησίς των) ὥστε νὰ μὴ δέχωνται τοὺς 'Αθ. Σπαν. μετ' αἰτ. μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν 'Ισοκ. 1, 52 διότι μόλις τις διὰ ταύτης τῆς ἐπιμελείας δύναται νὰ κατανικήσῃ τὰ ἐλαττώματα τῆς φύσεως. Ἄλλως ἐν τοῖς ἑξῆς: νομίζομεν τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀνταμυνόμενός τις καὶ ἐπικρατήσας τὰ πλείω τοῦ πολέμου (πολεμίου Stahl τ. ἕ. ὑπερισχύσας τῶν πολεμίων ἐν ταῖς πλείσταις μάχαις) κατ' ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων (ὁ ἴδε) μὴ ἀπὸ τοῦ ἴσου ξυμβῇ Θουκ. 4, 19· πρβ. νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι 4, 18 ἴδ. ἐνδέχομαι. ὑπάρχει δ' ὑμῖν ἔτι τὰ πλείω τῶν πεζῶν ἐπικρατεῖν 7, 63 ἀκόμη δ' ἔχομεν τὸ πλεονέκτημα νὰ ὑπερισχύωμεν ἐν τοῖς πλείστοις διὰ τοῦ πεζικοῦ στρατεύματος.

***ἐπικρεμάννυμι*:** δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται ἑλίσσων βίου πόρον Πινδ. 'Ι. 8, 15 ὁ χρόνος τῆς ζωῆς ἐπικρέμαται δόλιος εἰς τοὺς ἀνθρώπους, ἐν ᾧ (ποικίλως) στρέφει τὴν ὁδὸν τῆς ζωῆς. ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος Σιμων. 'Απ. 39 (Πλουτ. 107 Β) ὁμοίως (μ' ὅλα ταῦτα) δὲ ὁ ἄφευκτος θάνατος ἐπίκειται, ἐπαπειλεῖ. ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου Θουκ. 7, 75 ἕνεκα τοῦ μεγέθους τοῦ ἔτι ἐπαπειλοῦντος αὐτοὺς κινδύνου. νῦν ἀνταπόδοτε μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες 3, 40 νῦν ἀνταποδώσατε τὰ ἴσα (ὅ τι ἠθέλετε πάθῃ) χωρὶς νὰ δείξητε ἀδυναμίαν πρὸς τὸ ἀμέσως παρὸν (τὴν ἀμέσως παροῦσαν τύχην αὐτῶν) μηδὲ λησμονοῦντες τὸν ἐπαπειλήσαντα ὑμᾶς ποτε (δηλ. πρὸ μικροῦ) κίνδυνον. τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι, πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι 2, 53 οὐδεὶς ἐλπίζων ὅτι ἤθελε ζήσῃ, μέχρις ὅτου δικασθῇ, καὶ ἀποδώσῃ ἀντὶ τῶν ἁμαρτημάτων του τὴν (πρέπουσαν) τιμωρίαν, ἀλλ' ὅτι (δηλ. ἀλλὰ πάντες ἐνόμιζον ὅτι) ἡ ἤδη ἐψηφισμένη κατ' αὐτῶν τιμωρία (δηλ. ἡ νόσος) κρεμασθεῖσα ἐπὶ τῶν κεφαλῶν αὐτῶν εἶνε πολὺ μεγαλιτέρα. ἀλλ' ὁ μὲν αὐτὸς τεῖσε κακὸν χρέος οὐδὲ (Δ. Γ. ὁ δὲ) φίλοισιν ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν (ὑπερκρέμασεν Bergk) Θέογν. 206· ἀλλ' ὁ μὲν ἐπλήρωσεν ὁ ἴδιος τὸ κακὸν χρέος καὶ δὲν ἀφῆκε τὴν συμφορὰν ταύτην νὰ ἐπαπειλῇ ἐν τῷ μέλλοντι τὰ τέκνα του. ζωᾶς ἆθλος ἐπεκρέματο 'Ανθ. 6, 237 ἠπείλει αὐτὸν ἀγὼν περὶ ζωῆς καὶ θανάτου.

***ἐπικρήηνον*,** ἐπικρήνειε ἴδ. ἐπικραίνω.

ἐπικρῆσαι ἴδ. ἐπικεράννυμι.

***ἐπικρούω*:** ὥστε χθόνα βάκτροις ἐπικρούσαντας 'Ατρείδας δάκρυ μὴ κατασχεῖν Αἰσχ. 'Αγ. 212 ὥστε οἱ 'Ατρεῖδαι κτυπήσαντες τὴν γῆν μὲ τὰς βακτηρίας των ἠδυνήθησαν νὰ κρατήσωσι (κυρ. νὰ μὴ κρατήσωσι) τὰ δάκρυά των. χάλασον τὸν ἧλον.— Οἴμοι κακόδαιμον, μᾶλλον ἐπικρούεις σύ γε 'Αρφ. Θεσμ. 1004 ἄφησε ὀλίγον χαλαρὸν τὸ καρφίον. Ὦ δυστυχία μου, σὺ περισσότερον τὸ κτυπᾷς. εἰς δασύποδα αὐτὴν ἐπικροῦσαι βουλόμενος 'Αθην. 579 Β θέλων νὰ σκώψῃ αὐτὴν ὡς δασύποδα.

***ἐπικρύπτω*:** ἐπεκρύπτοντο τῶν πεντακισχιλίων τῷ ὀνόματι μὴ ἄντικρυς δῆμον ὅστις βούλεται ἄρχειν ὀνομάζειν Θουκ. 8, 92 ἀπέκρυπτον ἑαυτοὺς (τὸ ἀληθές των φρόνημα) διὰ τοῦ ὀνόματος τῶν πεντ. ὥστε νὰ μὴ λέγουν καθαρὰ «τίς θέλει νὰ ἄρχῃ ὁ δῆμος».

ἐπικτάομαι κυρ. ἐπί τινι (ὅθ. προσέτι) κτῶμαι· ἔμπας ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι Σοφ. 'Αντ. 846 ἴδ. ἔμπας. πατρίοισι χρεόμενοι νόμοισι ἄλλον οὐδένα ἐπικτέονται 'Ηρ. 2, 79 = πατρίοις χρώμενοι νόμοις ἄλλον οὐδένα ἐπὶ (πρὸς) τοῖς πατρίοις κτῶνται. τὰ μὴ προσήκοντα ἐπικτωμένους Θουκ. 4, 61 = ἐπὶ (πρὸς) τῇ ἑαυτῶν (ἀρχῇ) κτωμένους τὰ μὴ προσήκοντα (= τὰ ἀλλότρια). πότερον ὧν κέκτησαι τὰ πλείω παρέλαβες ἢ ἐπεκτήσω; Πλ. Πολ. 330 Α τὰ περισσότερα ἔλαβες παρὰ τῶν γονέων σου ἢ τὰ ἀπέκτησας (σὺ ὁ ἴδιος) πρὸς τοῖς ὑπάρχουσιν (ἐκ τῶν γονέων); Πρὸς ταῦτα ἀπαντᾷ ὁ Κέφαλος: ποῖ' (ποῖ) ἐπεκτησάμην, ἔφη, ὦ Σώκρατες; Ἡ φράσις αὕτη φαίνεται μοι δημώδης τις: τί κάθησαι καί μοι λέγεις προσθήκας καὶ ἐπαυξήσεις τῆς περιουσίας: ποία εἶνε αὕτη ἡ ἐπαύξησις, ἐγὼ δὲν τὴν βλέπω. τριήρεις κέκτησθε πολλάς, καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπικτᾶσθαι Ξεν. 'Ελλ. 7, 1, 3 καὶ πατροπαράδοτον εἶνε εἰς ὑμᾶς νὰ ἐπαυξάνητε τὸ ναυτικόν σας, τ. ἔ. εἰς τὰς ἤδη ὑπαρχούσας ναῦς νὰ προσθέτητε καὶ ἄλλας.

ἐπίκτησις ἡ: καλὴ γὰρ ἡ 'πίκτησις... Τροίαν ἑλόντα κλέος ὑπέρτατον λαβεῖν Σοφ. Φιλ. 1344 διότι λαμπρὸν εἶνε τὸ κέρδος,... κυριεύσας τὴν Τροίαν νὰ λάβῃς φήμην ὑπερτάτην. Ὅπου ἐπίκτησις κυρ. σημ. τὴν ἐπὶ θεραπείᾳ κτῆσιν κλέους.

ἐπικυλίκειος 2 ὁ ἐπὶ κύλικος λεγόμενος· ἔχεις τοὺς ἐπικυλικείους περὶ μουσικῆς λόγους Πλουτ. 1146 D, ὅπου Δ. Γ. ἐπικυλικίους: ἐπικυκλίους· ἴδ. 'Αθήν. 2 Α.

ἐπικυρέω ἐπιτυγχάνω, ἀπαντῶ κατὰ περίστασιν. 'Εν τμήσει: μεγάλῳ ἐπὶ σώματι κύρσας Γ 23 ἐπιτυχὼν μεγάλῳ σώματι (πτώματι ἀγρίου ζῴου). μὴ φθονεραῖς ἐκ θεῶν μετατροπίαις ἐπικύρσαιεν Πίνδ. Π. 10, 21 εἴθε μὴ ἐμπέσοιεν ταῖς φθονεραῖς ἐκ θεῶν μετατροπαῖς. αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ Ψ 821 «ἀεὶ ἐπὶ τῷ αὐχένι ἐστοχάζετο τῇ αἰχμῇ τοῦ λαμπροῦ δόρατος» Γαζῆς· «ἐπετύγχανε καὶ κατηυστόχει τοῦ αὐχένος» Εὐστάθ. ἠπείλει τὸν αὐχένα, ὡς θὰ εἴπωμεν σήμερον. 'Αλλὰ καὶ τοῦτο καὶ Γ 23 ἀνάγονται μᾶλλον εἰς τὸ κύρω, διότι δὲν ὑπάρχει τμῆσις. 'Αλλὰ πρβ. Κόϊντ. 13, 394. τίνα κεν φύγοι ὕμνον

κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς Πίνδ. Ὀ. 6, 7 δὲν ἤθελε τύχῃ (κυρ. ἤθελεν ἀποφύγῃ) ἐκεῖνος ὁ ἀνήρ, ἐπιτυχὼν ἐν ἱμ. ᾠδαῖς πολιτῶν οὐ φθονούντων ;

ἐπικωλύω: τίς ἔσται μ' οὑπικωλύσων τάδε ; Σοφ. Φιλ. 1242 τίς θὰ εἶνε ἐκεῖνος, ὅστις θά μ' ἐμποδίσῃ νὰ κάμω ταῦτα; Ἡ ἐπι- σημ. κυρ. ἐπὶ τῷ ἔργῳ.

ἐπίκωπος 2 «ὁ ἐπὶ τῇ κώπῃ (=πρὸς τῇ κώπῃ) ὤν, ἕτοιμος εἰς τὸ ἐρέσσειν» Εὐστάθ. ποῦ εἶνε ἐπάνω 'ς τὸ κωπί, ὁ ἐπὶ τῇ κώπῃ καθήμενος, κωπηλάτης.

ἐπιλαγχάνω ἐπί τινι λαγχάνω, λαχαίνω δεύτερος· τό τε κατάμεμπτον ἐπιλέλογχε (ἐνν. τὸν ἄνθρωπον) πύματον γῆρας Σοφ. Ο. Κ. 1235 καὶ τελευταῖον ἐπέρχεται εἰς τὸν ἄνθρωπον ὡς κλῆρος (ὡς λάχος) τὸ κατάμεμπτον γῆρας.

ἐπιληθέσθαι ἴδ. ἐπιλανθάνομαι.

ἐπιλαμβάνω ἐπί τινι λαμβάνω, προσβάλλω, ἐκτείνομαι, ἐμποδίζω, πιάνω. Ἡ σύνταξις: ἐπιλαμβάνω τι ἤ τινά, ἐπιλαμβάνω τί τινος (ἐπὶ κωλύσεως)· ἐπιλαμβάνω τινός, καὶ ἐπιλαμβάνομαί τινος.—ὁ χρόνος βοιωταρχοῦντι Ἐπαμεινώνδᾳ διήνυστο, τεθνάναι δ' ἐτέτακτο ἐπιλαβόντα ἄνδρα τῆς ἀρχῆς Παυσ. 9, 14, 5 ἦτο δὲ ὡρισμένον νὰ φονευθῇ ὁ διατηρήσας τὴν ἀρχὴν πλέον τοῦ δέοντος χρόνου κυρ. ὁ καταλαβὼν μέρος τι (τοῦ χρόνου) τῆς ἀρχῆς του. ἔθαπτον πάντας ὁπόσους ἐπελάμβανε τὸ κέρας Ξεν. Ἀν. 6, 5, 5 εἰς ὅσους ἔφθανε τὸ κέρας τοῦ στρατοῦ. μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι Θουκ. 4, 27 μήπως ὁ χειμὼν καταλάβῃ αὐτοὺς φυλάττοντας τ. ἔ. μήπως ἐπέλθῃ ὁ χειμὼν καὶ αὐτοὶ ἀκόμη φυλάσσουν. νυκτὸς ἐπιλαβούσης τὸ ἔργον 4, 96 ἐπειδὴ νὺξ κατέλαβε τὸ ἔργον τῆς μάχης: νὺξ κατέλαβεν αὐτούς, ἐν ᾧ ἐπολέμουν ἀκόμη. ἐπιλαβὼν λοιμός τε τὸν στρατὸν καὶ δυσεντερίη διέφθειρε Ἡρ. 8, 115 καταλαβὼν λ. τὸν στρατόν. δὶς γὰρ τὸν αὐτὸν ὥστε καὶ κτείνειν οὐκ ἐπελάμβανε Θουκ. 2, 51 (τὸ νόσημα) δὲν προσέβαλλε δὶς τὸν αὐτόν, τοὐλάχιστον οὕτως ὥστε νὰ ἐπιφέρῃ θάνατον. Παθ. οὐχ ἥδε γὰρ τοιᾷδ' ἐπείληπται νόσῳ; Σοφ. Ἀντ. 732 «ὁ νοῦς· πῶς γὰρ οὐ κελεύεις με εὐσεβεῖν εἰς τοὺς κακούς, τήνδε (τὴν Ἀντιγόνην) κελεύων σέβειν κακὴν οὖσαν ὡς τοὺς κακοὺς (τὸν Πολυνείκη) σεβίσασαν; τοιᾷδ' ἐπείληπται νόσῳ = πεφώραται τοιαύτην νόσον νοσοῦσα, ἤτοι τοιαύτῃ κακίᾳ ἐνεχομένη, τ. ἔ. εἰς τοὺς κακοὺς εὐσεβοῦσα» (Σεμιτέλος). ἔτη δὲ ἡ Χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ καὶ ἔνατον ἐκ μέσου, ὅτε ἐπεφεύγει Θουκ. 4, 133 ὅτε δὲ εἶχε φύγῃ ἡ Χρυσίς, παρῆλθον ὀκτὼ ἔτη καὶ τὸ ἥμισυ τοῦ ἐνάτου (κυρ. ἔφθασεν εἰς τὰ ὀκτὼ κέ.) ἀπὸ τῆς ἐνάρξεως τοῦ παρόντος πολέμου. ἐπιλαβόντες τὸ κλύσμα τῆς ὀπίσω ὁδοῦ Ἡρ. 2, 87 ἐμποδίσαντες (κυρ. πιάσαντες) τὸ κλύσμα, ὥστε νὰ μὴ γυρίσῃ ὀπίσω. ἐπίλαβε τὸ ὕδωρ Λυσ. 23, 4 σταμάτησε τὸ ὕδωρ τῆς κλεψύδρας (ἐμπόδισον τὴν κίνησίν του). Ἐν τῷ ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιλαβομένη Θουκ. 7, 65 ἡ ὀρθὴ γρ. εἶνε ἐπιβαλλομένη (ὅ ἴδε). καί μου ἀνισταμένου ἐπιλαμβάνεται Καλλίας τῆς χειρὸς τῇ δεξιᾷ Πλ. Πρωτ. 335 D καὶ ἐν ᾧ ἠγειρόμην (ἵνα ἀναχωρήσω), ὁ Καλ. λαμβάνει («πιάνει») τὴν χεῖρά μου διὰ τῆς δεξιᾶς του. ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι (=ἐπειλημμένοι τοσαύτης ἐρημίας, ὅσην ἅπαντες ὁρᾶτε), καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχόλων ὄντων... ἀπεστερήμεθα μὲν χώρας οἰκείας κέ. Δημ. 3, 27 ἀλλ' ἐν ᾧ ἔχομεν ἐπιτύχῃ τόσην ἐρημίαν (ἀντιζήλων), ὅσην ἅπ. βλέπετε, καὶ ἐν ᾧ οἱ μὲν Λακεδ. ἔχουν καταστραφῇ, οἱ δὲ Θηβαῖοι εἶνε ἀπησχολημένοι (εἰς τὸν Φωκικὸν πόλεμον),... ἔχομεν ἀποστερηθῇ χώρας κτλ. Ἂν δὲ μετ' ἄλλων ἐξαλείψωμεν τὸν καί, τότε τὸ Λακεδ. ἀπολωλότων καὶ αἱ ἐφεξῆς μετοχαὶ ὄντων καὶ ὄντος εἶνε ἐπεξήγησις εἰς τὸ ἐπειλημμένοι.— οὔκουν προσήει πρὸς ταῦθ' ἡ διάνοια (τ. ἔ. οὔκουν διενοεῖτο ταῦτα λέγειν), ἀλλ' ἀνεδύετο ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ συνειδέναι Δημ. 19, 210 δὲν ἐπλησίαζε λοιπὸν πρὸς ταῦτα (τὰ ῥήματα) ἡ διάνοιά του, ἀλλ' ὑπεχώρει (ἀπέφευγε), διότι ἡ συνείδησις τῆς πράξεως (τοῦ ὅτι ἔπραξε ταῦτα) ἐπελαμβάνετο τῆς διανοίας του (δηλ. ἐπέβαλλεν εἰς αὐτὴν σιγήν: τὴν ἐμπόδιζε νὰ τὰ σκεφθῇ). || ἐπιμελεῖσθαι, ὅπως μηδεὶς ἰδιώτης μηδὲν τῶν τῆς πόλεως μήτ' οἰκοδομήμασι μήτ' οὖν ὀρύγμασιν ἐπιλήψεται Πλ. Νόμ. 779 C νὰ φροντίζουν, πῶς κανεὶς ἰδιώτης νὰ μὴ καταλαμβάνῃ («πιάνῃ») κανὲν μέρος ἐκ τῶν ἀνηκόντων εἰς τὴν πόλιν μήτε δι' οἰκοδομημάτων μήτε διὰ τάφρων. Ἐν δὲ τῷ τὸν θεὸν ἐπηρώτων, εἰ τὰς Ἀθήνας ἐπιλήψονται Λυκ. κ. Λε. § 84 ἡ ὀρθὴ γρ. εἶνε λήψονται. ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν Αἰσχίν. 3, 150 «θὰ τὸν πιάσῃ ἀπὸ τὰ μαλλιὰ καὶ θὰ τὸν τραβήξῃ (νὰ τὸν βάλῃ) εἰς τὴν φυλακήν». τῶν δὲ κατὰ ταὐτὰ ἐχόντων οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῆς διανοίας λογισμῷ Πλ. Φαίδων 79 Α τὰ δὲ κατὰ ταὐτὰ ἔχοντα δὲν δύνασαι δι' ἄλλου τινὸς μέσου νὰ τὰ συλλάβῃς (νὰ τὰ ἐγγίσῃς, νὰ τὰ ἀντιληφθῇς) παρὰ μόνον διὰ τοῦ λογισμοῦ (τῆς σκέψεως) τῆς διανοίας σου. τῆς δὲ γυναικὸς σμικρὸς ὁ καιρός· κἂν τούτου μὴ ἐπιλάβηται, οὐδεὶς ἐθέλει γῆμαι ταύτην Ἀρφ. Λυσ. 596 τῆς γυν. βραχυχρόνιος εἶνε ἡ κρίσιμος στιγμή· καὶ ἂν δὲν συλλάβῃ αὐτήν, κανεὶς δὲν θέλει νὰ τὴν νυμφευθῇ. ἐάν τι μὴ ἀληθὲς λέγω, μεταξὺ ἐπιλαβοῦ Πλ. Συμπ. 214 Ε ἐν τῷ μεταξὺ διάκοψον τὸν λόγον μου (κυρ. πιάσε με καὶ εἰπέ μοι «στάσου»). ἐμοῦ λέγοντος, τῷ λόγῳ ἐπιλαβοῦ Γοργ. 469 C κυρ. κράτησέ με διὰ τοῦ λόγου, ἀπόκρουσον τὰ ἐπιχειρήματά μου διὰ

τοῦ λόγου. σοῦ ἐπιλαβομένου, ὅτι πᾶς ἀναγκασθήσεται ὁμολογεῖν οἷς λέγομεν Πολ. 490 C σοῦ διακόψαντος τὸν λόγον καὶ εἰπόντος, ὅτι πᾶς θ' ἀναγκασθῇ νὰ συμφωνῇ πρὸς ὅσα λέγομεν. ἄλλης ἐπιλαμβάνῃ πολιτείας, πρὶν τοῦτο ἱκανῶς διελέσθαι Πολ. 449 D εἰς ἄλλο πολίτευμα μεταβαίνεις, πρὶν ἱκανῶς διαλάβῃς περὶ τούτου.

ἐπίλαμπτος 2 = ἐπίληπτος· ἐπίλαμπτος ἀφίσσουσα ἔσται Ἡρ. 3,69 θὰ συλληφθῇ ψηλαφῶσα.

ἐπιλάμπω: ὥς σφι ἡμέρη ἐπέλαμψε Ἡρ. 8, 14 καθὼς ἤρχισε νὰ φέγγῃ (νὰ ἐξημερώνῃ). ἔαρος ἐπιλάμψαντος 8,130 ἐπιφανέντος τοῦ ἔαρος. Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψεν μυρίοις; Πίνδ. Ἀπ. 172 ἡ νεότης τοῦ ἰσοθέου Πηλέως διεκρίθη (διέπρεψε) διὰ μυρίων μόχθων.

ἐπιλανθάνομαι και ***ἐπιλήθομαι*** *μέσ.* (ἴδ. λανθάνω) λησμονῶ. Τὸ ἐνεργ. ἐπιλήθω κάμνω τινὰ νὰ λησμονῇ τι· ὕπνος ἐπέλησεν ἁπάντων υ 85 «λήθην ἐπήγαγεν» Σχ. οἱ δέ σφι τῇ πρώτῃ καταστάσι ὑπεκρίναντο τὰ μὲν πρῶτα λεχθέντα ἐπιλεληθέναι Ἡρ 3,46 οἱ δὲ Λακεδαιμόνιοι ἀπεκρίθησαν εἰς αὐτοὺς κατὰ τὴν πρώτην παρουσίασίν των, ὅτι τὰ μὲν πρῶτα, τὰ ὁποῖα ἐλέχθησαν, ἐλησμόνησαν. γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπιλέλαθα Πινδ. Ὀ. 10,2 ἔχω λησμονήσῃ ὅτι ὀφείλω εἰς αὐτὸν γλυκὺ μέλος. Μέσ. ἀλλ' εὐθὺς ἐπιλήθῃ σύ γ' ἅττ' ἂν καὶ μάθῃς Ἀρφ. Νεφ. 785 ἀλλ' ὅσα καὶ νὰ μάθῃς, σὺ τὰ λησμονεῖς εὐθύς. γονέων ἐπιλάθεται Σοφ. Ἠλ. 143 κἀλλ. (ἴδ. λανθάνω). ἐπιλελησμένος ἑαυτοῦ ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας Δημ. 18, 182 ἔχων λησμονήσῃ τὰ περὶ ἑαυτοῦ, ὅτι κτλ. μὴ περὶ τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε Ἀνδοκ. 1, 148 μὴ λησμονήσητε τὰ ὑπ' αὐτῶν πεπραγμένα. δοκεῖ δή μοι τηρητέον αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλικίαις, εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος καὶ μήτε γοητευόμενοι μήτε βιαζόμενοι ἐκβάλλουσιν ἐπιλανθανόμενοι δόξαν τὴν τοῦ ποιεῖν δεῖν ἃ τῇ πόλει βέλτιστα Πλ Πολ. 412 E ὁ Cobet ἐξαλείφει τὸ ἐπιλανθανόμενοι, ὁ δὲ Heller ὀρθότερον διορθοῖ: μήτε ἐπιλανθανόμενοι· ἀλλὰ πόθεν ἤθελεν ἐκρυῇ τὸ μήτε; Ὅθεν γρ. μᾶλλον ἢ (H=N) ἐπιλανθανόμενοι, ὅπου τὸ ἢ = μήτε. Κατὰ τὸν Σωκρ. ἡ ἐκβολὴ τῆς δόξης γίνεται τριχῶς, ἢ διὰ κλοπῆς τινος, διενεργουμένης διὰ τοῦ μεταπείθεσθαι καὶ ἐπιλανθάνεσθαι, ἢ διὰ τῆς βίας ἢ διὰ τῆς γοητείας. Ταῦτα δὲ ἐξηγοῦνται καὶ ἀλλαχοῦ, ὡς ἐν 413 B: κλαπέντας μὲν γὰρ τοὺς μεταπεισθέντας λέγω καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μὲν χρόνος, τῶν δὲ λόγος ἐξαιρούμενος λανθάνει: κλαπέντας λέγων ἐννοῶ τοὺς μεταπεισθέντας καὶ τοὺς λησμονοῦντας, διότι ἐκ τούτων μὲν χρόνος, ἐξ ἐκείνων δὲ λόγος ἀφαιρεῖται (συνήθως: ἀφαιρεῖ τι, ὡς μέσου λαμβανομένου τοῦ ἐξαιρ.) ἀνεπαισθήτως. Καὶ κατὰ τμῆσιν. σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε Ἡσ. Ἔργ. 264 τὰς σκολιὰς δὲ δίκας ὅλως λησμονήσατε.

ἐπιλέγω: μηδ' ἐπιλεχθῇς Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον Αἰσχ. Ἀγ. 1500 μηδὲ διανοηθῇς (φαντασθῇς) ὅτι ἐγὼ εἶμαι τοῦ Ἀγαμ. ἡ σύζυγος· πρβ. ἐφράσθην, ἐδέρχθην κττ. || διέρχομαι ἀναγινώσκων· εὑρὼν δ' ἐν αὐτῷ τὸ βιβλίον ἐνεὸν λαβὼν ἐπελέγετο Ἡρ. 1, 124 εὑρὼν δ' ἐν αὐτῷ ἐνὸν τὸ βιβλ. λαβὼν ἀνεγίνωσκεν.

ἐπιλείπω κυρ. λείπω ἐπί τινι, ἐλλείπω, δὲν φθάνω, τελειώνω, παραλείπω, παραμελῶ. Ἡ σύνταξις: ἐπιλείπει τὰ ἐπιτήδεια: ἐπιλείψει με ὁ χρόνος. Καὶ μετὰ μτχ. Ἡ πρὸς δοτ. σύνταξις (ἐπιλείπει τί τινι) εἶνε μτγν. Ἰδίως ἐπὶ ἐπιτηδείων. σίτου ἐπιλελοιπότος Ξεν. Ἀν. 5, 8, 3 ὅτε ὁ σῖτος εἶχεν ἐκλείψῃ. περιγίγνεσθαι δ' αὐτῷ μηδέν, μὴ μέντοι μηδ' ἐπιλείπειν Ἀρφ. Πλοῦτ. 554 ὅπου τὸ ἐπιλείπειν ἀντιτίθεται πρὸς τὸ περιγίγνεσθαι: καὶ νὰ μὴ τοῦ περισσεύῃ τίποτε, ἀλλὰ καὶ νὰ μὴ τοῦ λείπῃ τίποτε. ἵνα μὴ ἐπιλίπῃ κατεσθιόμενα Ἡρ. 3, 108 ἵνα μὴ κατατρωγόμενα ἐξαφανισθῶσι, «ξεπατωθοῦν». τῷ σίτῳ ἐπιλιπόντι ἐπιέζοντο Θουκ. 3, 20 ἐπιέζ. ἐκ τῆς ἐλλείψεως τοῦ σίτου· ἅτε τῆς μὲν αὐτομάτης τροφῆς ἐπιλελοιπυίας Πλ. Πολιτικ. 274 C ἐπειδὴ ἡ μὲν αὐτόματος (ἡ οἴκοθεν ἐκ τῆς γῆς ἀναβλαστάνουσα) τροφὴ εἶχεν ἐκλείψῃ. ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν Πρωτ. 334 E ὥστε ὁ λόγος ποτὲ νὰ μὴ παύσῃ, να μη διακοπῇ, «νὰ μὴ στειρεύσῃ». καὶ γὰρ τὰς κρήνας καὶ τὰ φρέατα ἐπιλείπειν πέφυκεν, ἐάν τις ἀπ' αὐτῶν ἀθρόα καὶ πολλὰ λαμβάνῃ Δημ. 14, 30 διότι καὶ αἱ κρῆναι καὶ τὰ φρέατα ἐκ φύσεως στειρεύουν, ὅταν κανεὶς λαμβάνῃ ἐξ αὐτῶν πολὺ μαζὶ (μαζωμένον, μέγα ποσὸν) ὕδωρ καὶ πολλάκις. κοῖον πινόμενόν μιν (Ξέρξην) ὕδωρ οὐκ ἐπέλιπε; Ἡρ. 7, 21 ποῖον ὕδωρ πινόμενον ἀπὸ τὸν Ξέρξην (δηλ. τὸν στρατόν του) δὲν ἐστείρευσεν (κυρ. δὲν ἐγκατέλειψεν αὐτόν); Ἡ ἀντίληψις εἶνε τοιάδε: ἐν ᾧ ὁ Ξέρξης (δηλ. ὁ στρατός του) ἔπινεν ἀπ' ἐπάνω, τὸ ὕδωρ ὑποκάτω ἐστείρευεν, ἐξηντλεῖτο. Ἀντίθετος εἶνε ἡ ἀντίληψις ἐν τῷ: τῶν ὄμβρων ἐπιλειπόντων τοὺς ποταμοὺς 2, 25 ἐπειδὴ οἱ ὄμβροι ἀπ' ἐπάνω ἐγκαταλείπουσιν αὐτούς. τὸ στράτευμα ὁ σῖτος ἐπέλιπε Ξεν. Ἀν. 1, 5, 6 ἀπὸ τὸ στράτευμα ἔλειψεν ὁ σῖτος. Ἡ ἐπι-λοιπὸν σημ. τὸ ἀπ' ἐπάνω (πρβ. τὰ ἐπιλείποντα φρέατα, τὸν ἐπιλείποντα σῖτον κτλ.). γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι Λαυρεωτικαὶ Ἀρφ. Ὄρν. 1106 ποτὲ δὲν θὰ σᾶς λείψουν γλαῦκες Λαυρ. τ. ἔ. νομίσματα (δραχμαὶ) ἐκ τοῦ Λαυρ. ἀργύρου, φέροντα τύπον γλαυκός· ἴδ. Πλουτ. Λύσ. 16. (τοὺς πρεσβύτας) ἐπιλείψει τὸ πέος Ἐκκλ. 620 «οὐκ ἀρκέσει». Σχ., θὰ ἐξαφανισθῇ (θ' ἀποκρυφθῇ) εἰς τοὺς πρεσβ. τὸ πέος. ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπί-

δες Θουκ. 5, 103 ὁπόταν πιεζ. αὐτοὺς ἐγκαταλίπωσιν αἱ ἐπὶ ἀσφαλοῦς τινος βάσεως στηριζόμεναι ἐλπίδες. κινδυνεύει ἡ τοῦ Εὐθύφρονός με μοῦσα ἐπιλελοιπέναι Πλ. Κρατ. 409 D κοντεύει ἡ Μοῦσα τοῦ Εὐθύφρ. νά με ἐγκαταλείψῃ Καὶ μτφ. ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος Ἰσοκ. 1, 11 ἤθελε μᾶς λείψῃ ὅλος ὁ καιρός. ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα Δημ. 18, 296 ἡ ἡμέρα δὲν θὰ φθάσῃ, ἐὰν θελήσω νὰ λέγω τὰ ὀνόματα τῶν προδ.—(ὁ Σκάμανδρος) ἐπέλιπε τὸ ῥέεθρον Ἡρ. 7, 43 ὅπου ἡ αἰτ. τὸ ῥέεθρον δὲν εἶνε ἀντικείμ. ἀλλ' αἰτ τοῦ κατά τι. τ. ἔ. ἐξηντλήθη, ἐστείρευσε. Συνώνυμος ἔκφρασις εἶνε: οὐκ ἀπέχρησε (ἀντέχρησε 7, 127) τῇ στρατιῇ (τὸ ῥέεθρον) πινόμενος 7, 196. ἄλλα μυρία ἐπιλείπω λέγων Πλ. Φιλ. 26 B παραλείπω νὰ τὰ λέγω. (ἐρωτῶ βουλόμενος) μηδὲν ἐπιλείπειν ἐλέγχων ἡδονῆς τε καὶ ἐπιστήμης Αὐτ. 52 D τ. ἔ. ἐρωτῶ βουλ. παραλείπειν μηδὲν τῆς ἡδ. καὶ ἐπ. ἐν τῷ ἐλέγχειν. Παθ. νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο Θ 475 = πλεῖον ἐπελέλειπτο, ὅπου δὲν ὑπάρχει τμῆσις, ἀλλὰ λαμβάνεται ἐπιρρημ. ἡ ἐπι-. τὸ ἐπιλειπόμενον (τῆς φάλαγγος) ἤρξατο δρόμῳ θεῖν Ξεν. Ἀν. 1. 8, 18 τὸ ἐπίλοιπον μέρος τῆς φάλ. ἤρχισε νὰ τρέχῃ δρομαίως. Ἀλλὰ τὰ ἄριστα ἀντίγραφα ἔχουσιν ὑπολειπόμενον.

ἐπιλέλαθα ἴδ. ἐπιλήθω.

ἐπιλεύσσω βλέπω ἐπί τινα ἔκτασιν, μακράν· τόσσον τις ἐπιλεύσσει Γ 12 ἐπὶ τόσον διάστημα βλέπει τις.

ἐπιλήθω ἴδ. ἐπιλανθάνομαι.

ἐπιληκέω ἐπικροτῶ μὲ τὰς παλάμας (ὡς καὶ σήμερον γίνεται ἡ τοιαύτη ἐπικρότησις ὑπὸ τῶν ἐν χορῷ παριστα μένων).

ἐπίληπτος 2 = ἐπ' αὐτῷ τῷ ἔργῳ (ἐπ' αὐτοφώρῳ) εἰλημμένος, ἑαλωκώς. πῶς ὁρᾶται κἀπίληπτος ᾑρέθη (Schäfer: ηὑρέθη) Σοφ Ἀντ. 406 «ποίῳ τρόπῳ αὐτὴν συνελάβεσθε καὶ κατειλήφατε» Σχ. ὀρθοτέρα φαίνεταί μοι ἡ γραφὴ ηὑρέθη, ἥτις δὲν ἀπᾴδει τῆς τοῦ Σχ. ἑρμ. ἐπίλαμπτος Ἡρ. 3, 69 ὃ ἴδε. || ἐπιληπτικός· τοὺς ἐπιλήπτους φησὶν ἰᾶσθαι αὐτὸς ὢν ἐπίληπτος πάσῃ πονηρίᾳ Δημ. 25, 80 λέγει ὅτι τοὺς κατεχομένους (πάσχοντας) ἐξ ἐπιληψίας θεραπεύει, ἐν ᾧ ὁ ἴδιος κατέχεται ὑπὸ πάσης πονηρίας. Λογοπαίγνιον δυσμετάφραστον.

ἐπιλήσμων 2 «ξεχανιάρις» ἢ «ξεχασιάρις»· ὢν ἔμαθον ἐπιλησμονέστερον (εἶναι) Ξεν. Ἀπολ. 6 ὅσα ἔμαθον νὰ τὰ λησμονῶ περισσότερον.

ἐπιλλίζω (ἴλλοι = ὀφθαλμοί) = διανεύω τοῖς ὀφθαλμοῖς νεύω μὲ τὸν ὀφθαλμόν, «κάμνω τὸ μάτι»· οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες; σ 11 δὲν παρατηρεῖς ὅτι ὅλοι μοῦ κλείουν τὸ μάτι, μοῦ κάμνουν νεῦμα; ὑπναλέοις ἐπιλλίζουσα ὄσσοις Νικ. Θηρ. 162 «συνεχῶς τοῖς ὄμμασιν ἐπινεύουσα» Σχ.

ἐπιλλώπτω «στραβοκυττάζω»· οἱ κόλακες οὐκ ἀληθινὴν οὐδ' ὠφέλιμον ἀλλ' οἷον ἐπιλλώπτουσαν ἐξ ὀφρύος παρρησίαν προσφέρουσιν Πλουτ. 51 C οἱ κόλακες προσφέρουσι παρρησίαν, ἥτις δὲν εἶνε ἀληθινὴ οὐδ' ὠφέλιμος, ἀλλὰ τρόπον τινὰ σκωπτικῶς καὶ ἀλαζονικῶς προσβλέπει ἡμᾶς.

ἐπίλογος ὡς ἐπίθ. = ἐπῳδός, ἐπώνυμος, ἐν τῷ μολπαὶ δ' ηὖξοντ' ἐραταὶ χρυσέας ἀρνὸς ὡς ἐπίλογοι Θυέστου Εὐρ. Ηλ. 718 μολπαί, ἐν αἷς ὁ χρυσὸς ἀμνὸς ἐπελέγετο (ἐπῄδετο, ἐπωνομάζετο) ὡς Θυέστου (ὤν), ἤτοι: μολπαὶ ἐπῳδοὶ ἢ ἐπώνυμοι (ἐπίλογοι) τῆς χρυσῆς ἀρνὸς ὡς Θυέστου (οὔσης) Δ. Βερναρδ. πρβ. ἐπῳδός.

ἐπίλογχον βέλος Εὐρ. Ἱππ. 221 τ. ἔ. ἀκόντιον φέρον ἐπάνω (εἰς τὸ ἄκρον) λόγχην σιδηρᾶν.

ἐπιλύω: ἀλλ' οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ Πλ. Κρίτων 43 οὐδόλως ἀπαλλάττει αὐτοὺς ἡ ἡλικία τῆς ἀγανακτήσεως κατὰ τοῦ θανάτου. τοὺς μὲν ἐπιλύσεσθαι... ἐκείνους δὲ μέγα δυνήσεσθαι Λυσ. 25, 33 ἀντὶ ἐπιλυθήσεσθαι (πρβ. λύω) = οὗτοι θέλουσιν ἐξαδυνατήσῃ. τὰ κεφάλαια τῶν κατηγορηθέντων ἐπιλυσάμενος Λουκ. Δὶς Κατηγ. 30 = ἀνατρέψας, ἀνασκευάσας.

ἐπιμαίνομαι = μαίνομαι ἐπί τινι, τρελλαίνομαι διά τι, ἐπιθυμῶ τι μανιωδῶς, ἰδ. ἐπὶ ἔρωτος. τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο φιλότητι μιγήμεναι Ζ 160 δι' αὐτὸν ἡ γυνὴ τοῦ Πρ. ἐτρελλάθη διὰ νὰ συνευρεθῇ μαζί του. οὐδενὶ γὰρ οὕτως ἀγανῷ ξυνεγενόμην, οὐδὲ τρόποις ἐπεμάνην οὐδ' ἐξεχύθην Ἀρφ. Σφ. 1467 διότι οὐδένα ἄλλον τόσον γλυκὺν ἐγνώρισα οὐδὲ δι' ἄλλου τινὸς τρόπους ἐτρελλάθην τόσον οὐδ' ὑπερευχαριστήθην. τὰ πράγμαθ' οἷς τότ' ἐπεμαίνετο Αὐτ. 743 (ἴδ. νουθετῶ). δοριτίνακτος αἰθὴρ ἐπιμαίνεται Αἰσχ. Ἑπτ. 141 ὁ ὑπὸ τῶν δοράτων τινασσόμενος (ἀνασειόμενος) ἀὴρ συρίζει προσέτι (= πρὸς τῷ τριγμῷ τῶν ἁρμάτων). φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται Ἀγ. 1428 ἴδ. φονολιβής. Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις Παράρτ. Ἀνθ. Πλ. 106 ὁ Καπ. μετὰ μανίας ἐπέβη τῶν πύργων τῶν Θηβῶν.

ἐπιμαίομαι ἐπιθυμῶ, προσπαθῶ μὲ τὰ δυνατά μου ν' ἀπολαύσω τι, νὰ καταλάβω τι· σκοπέλου ἐπιμαίεο μ 220 προσπάθει νὰ φθάσῃς εἰς τὸν σκόπελον. ἐπιμαίεο νόστου γαίης Φαιήκων ε 344 ἐπιζήτει ἄφιξιν εἰς τὴν γῆν τῶν Φ. πρβ. ψ 68. Ἄλλοι λαμβάνοντες τὸ νόστου ἐπὶ τῆς συνήθους σημ. ἐξηγοῦσιν: ἐπιζήτει τὴν ἐπάνοδον, δηλ. τὴν γῆν τῶν Φ. (διότι ἐκ τῆς γῆς τῶν Φ. ἐπέπρωτο νὰ ἐπανέλθῃ εἰς τὴν πατρίδα). μεγάλων δώρων ἐπεμαίετο θυμὸς Κ 401 ἡ ψυχή σου μεγάλα δῶρα ἐπόθει νὰ λάβῃ. ξίφεος ἐπεμαίετο κώπην λ 531 ἐψηλάφα τὴν λαβὴν τοῦ ξίφους. πυρὸς ἐπεμαίετο τέχνην Ὁμ. Ὕμν. Ἑρμ. 108 ἐπροσπάθει νὰ εὕρῃ τὴν τέχνην τοῦ ἀνάπτειν πῦρ. Πρβ. Βίων 7, 2. νόῳ ἐπεμαίεθ' ἕκαστα Ἀπολλ. Ῥ. 3, 816 διὰ τοῦ νοῦ διηρεύνα ἕκαστα.

νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο χηλάς Ἄρατ. 89 «κατωτάτω δέ.. τὰς τοῦ Σκορπίου μεγάλας χηλὰς ἐπιζήτει» Σχ. οἴων ἐπεμαίετο νῶτα ι 441 τῶν προβάτων ἐψηλάφα τὰ νῶτα. μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους Ε 748 ὀξέως ἐπέψαυε τῇ μάστιγι τοὺς ἵππους. ἕλκος ἰητὴρ ἐπιμάσσεται Δ 190 θὰ ἐξετάσῃ τὴν πληγήν. χείρ' (τ. ἔ. χειρί, ὡς τ 480) ἐπιμασσάμενος ι 302 ἀφ' οὗ διὰ τῆς χειρὸς ἀναζητήσω (νὰ εὕρω τὸν καίριον τόπον). ῥαδινῆς ἐπεμάσσατο χειρός Ἀπολλ. Ῥ. 3, 106 ἐδράξατο ἐκ τῆς τρυφερᾶς χειρός. τῶν ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι λ 591 πρὸς ταύτας ὁσάκις ὁ γέρων ἤθελεν ἁπλώσῃ (τὰς χεῖράς του) διὰ νὰ τὰς πιάσῃ μὲ τὰς χεῖράς του.

ἐπιμάρτῠρος ὁ: Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω Η 76 ἂς εἶνε μάρτυς ἄνωθεν («μάρτυς ἐπὶ τοῖς γινομένοις»).

ἐπίμαστος ὁ (ἐπιμαίομαι), ὁ ἐπιζητῶν τροφήν, «ὁ τροφὴν μαστεύων» Εὐστάθιος. υ 377. «ἐπίληπτος» Ἡσ. τ. ἔ. ὃν εὑρών τις περιφερόμενον φέρει μεθ' ἑαυτοῦ εἰς τὴν οἰκίαν. Κατ' ἄλλους: ἐπίτριπτος, μεμολυσμένος.

ἐπίμαχος 2: ἧπερ ἦν ἐπίμαχον Θουκ. 4, 35 ἴδ. τάσσω. ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι Ξεν. Ἀν. 5, 4, 15 τὸ ὁποῖον ἐφαίνετο ὅτι εἶνε πολὺ εὐκολοπολέμητον: ὅτι εὐκόλως ἠδύναντο νὰ τὸ κυριεύσωσιν.

ἐπιμείγνυμι κυρ. μιγνύω τι ἐπί τινι, μιγνύων προσθέτω τι. ἐμφύλιον αἷμα ἐπέμειξε θνατοῖς Πινδ. Π. 2, 32 συγγενικὸν φόνον προσέθεσεν εἰς τὰ ἄλλα κακὰ τῶν ἀνθρώπων. αἰτέω σε... Ζεῦ πάτερ, ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμεῖξαι λαόν Ν. 9, 30 «πολλαῖς εὐφροσύναις ἐπιμῖξαι τοὺς ὄχλους» Σχ. νὰ μεταδώσῃς εἰς τὸν λαὸν εὐφροσύνας εἰς τὴν πόλιν ἀναφερομένας (δόξας καὶ τιμάς). Συνήθ. μέσ. ἐπεμείγνυντο ἀκηρυκτὶ παρ' ἀλλήλους Θουκ. 2, 1 ἄνευ κήρυκος συνεκοινώνουν πρὸς ἀλλήλους. ἐπεμείγνυντο δὲ ὅμως ἐν αὐταῖς («ταῖς αἰτίαις καὶ διαφοραῖς» Σχ.) καὶ παρ' ἀλλήλους ἐφοίτων 1, 146 εἰ καὶ διεφέροντο, συνεκοινώνουν καὶ μετέβαινον πρὸς ἀλλήλους. ἐπιμειγνύντες ἀδεῶς ἀλλήλοις 1, 2 συγκοινωνοῦντες ἀφόβως πρὸς ἀλλήλους. ἐπιμειγνύναι (ἔφασαν) σφῶν τε (δηλ. τινὰς) πρὸς ἐκείνους καὶ ἐκείνους πρὸς αὐτούς Ξεν. Ἀν. 3, 5, 16.

ἐπιμέλεια ἡ: τὴν φυλακὴν ποιεῖσθαι ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας Θουκ. 3, 46 ἴδ. δεινότης. τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει πρωΐ τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα Ξεν. Οἰκ. 5, 4 τοὺς δὲ γεωργοῦντας διὰ τῆς ἐπιθεωρήσεως (κατ' ἀντίθ. πρὸς τοὺς αὐτουργούς) καθιστᾷ ἀνδρικοὺς καὶ πρωῒ ἐγείρουσα αὐτοὺς καὶ νὰ πορεύωνται μετά τινος ζωηρότητος ἀναγκάζουσα. μὴ οὖν οἰώμεθα καὶ κακούργους πολλοὺς ἐν αὐταῖς εἶναι κέντρα ἔχοντας, οὓς ἐπιμελείᾳ βίᾳ κατέχουσιν αἱ ἀρχαί; Πλ. Πολ. 552 Ε νὰ μὴ νομίζωμεν λοιπὸν (δὲν πρέπει λοιπὸν νὰ νομίζωμεν) ὅτι καὶ κακοῦργοι πολλοὶ κέντρα ἔχοντες ὑπάρχουσιν ἐν αὐταῖς, οὓς ἐξ ἀποφάσεως (ἐκ προνοίας, μετὰ προηγουμένην σκέψιν) διὰ τῆς βίας περιορίζουσιν αἱ ἀρχαί; Τὸ ἀντίθετον εἶνε οἰώμεθα, ὃ ἕπεται. Διάφορον τό: ἥλιξι μὲν γὰρ ἥλικας ἀμύνεσθαι καλὸν καὶ δίκαιόν που φήσομεν, ἀνάγκην σωμάτων ἐπιμελείᾳ τιθέντες Πλ. Πολ. 464 Ε τὴν ἄμυναν τῶν ὁμηλίκων ἐναντίον τῶν ὁμηλίκων θὰ χαρακτηρίσωμεν βεβαίως ὡς καλὴν καὶ δικαίαν, ἀναγνωρίζοντες ὡς ἀναγκαίαν τὴν ἐπιμέλειαν τῶν σωμάτων (κυρ. ἀποδίδοντες ἀνάγκην εἰς τὴν ἐπιμέλειαν τῶν σωμάτων). Ἀλλ' ἡ φράσις αὕτη πολλαχῶς διορθοῦται.— τὼ ἄνδρε καὶ κατὰ τύχην καὶ κατ' ἐπιμέλειαν ἐγενέσθην φύλακε Ξεν. Ἑλλ. 4, 4, 8 οἱ δύο ἄνδρες εἴτε ἐκ τύχης εἴτε ἐκ προνοίας ἔγιναν φύλακες Περὶ Θουκ. 6, 40, 4 ἴδ. κατασκοπή.

ἐπιμελέομαι καὶ ***ἐπιμέλομαι*** ἴδ. μέλω.

ἐπιμελής 2: οἷς ἐπιμελὲς εἴη εἰδέναι Θουκ. 1, 5 ἐκεῖνοι οἵτινες ἐνδιαφέρονται νὰ μάθωσι. τὸ ἐπιμελὲς τοῦ δρωμένου πολλοῖς προσήκει 5, 66 ἡ ἐπιμέλεια, ἡ φροντὶς τῆς ἐκτελέσεως, εἶνε ἀνατεθειμένη εἰς πολλούς. οἷς (γῇ τε κοὐρανῷ) οὐδέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων Ἀπ. Θεογνήτ. 1 (Ἀθήν. 104 Β) οἵτινες οὐδόλως φροντίζουσι περὶ τῶν σῶν λόγων. Κύρῳ δὲ ἐπιμελὲς ἐγένετο τὰ Κροῖσος εἶπε Ἡρ. 1, 89 ὅσα εἶπεν ὁ Κροῖσος ἐκίνησαν τὸ ἐνδιαφέρον τοῦ Κύρου: τοῦ ἔκαμαν ἐντύπωσιν. Ἄξιον δὲ σημειώσεως τὸ ἑνικὸν κατηγορούμενον.

ἐπιμέλπω μέλπω (ψάλλω) ἐπί τινι· ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδον θ' ὕμνον Ἐρινύος ἀχεῖν Ἀΐδα τ' ἐχθρὸν παιᾶν' ἐπιμέλπειν Αἰσχ. Ἑπτ. 852 ἡμᾶς δὲ δίκαιον πρὸ τοῦ θρήνου τούτου τὸν δύσηχον ὕμνον Ἐρινύος ἐπηχεῖν καὶ ψάλλειν ἐπ' αὐτῷ Ἐρινύος τὸν μισητὸν παιᾶνα τοῦ Ἅιδου.

ἐπιμέμφομαι ἀποθ. ἔχω παράπονον διά τι, ἐπιπλήττω διά τι. Ἡ σύνταξις: ἐπιμέμ. τινί τι, τινὶ ἀντί τινος ἢ ἕνεκά τινος (πργμ.), τινί τινος, ἐπιμ. τινος ἢ τι. ἦ τι κασιγνήτοις ἐπιμέμφεαι π 97 ἢ ἔχεις κανὲν παράπονον διὰ τοὺς ἀδελφούς σου. τὰ Κροῖσος ἐπιμεμφόμενος τῷ Κύρῳ ἐς τὰ χρηστήρια ἔπεμπε, εἰ στρατεύηται ἐπὶ Πέρσας Ἡρ. 1, 75 διὰ ταῦτα ὁ Κρ. μεμφόμενος τὸν Κῦρον ἔπεμπεν εἰς τὰ χρηστήρια (ἀνθρώπους ἐρωτῶντας), ἂν πρέπει νὰ ἐκστρατεύῃ ἐναντίον τῶν Περσῶν. ὧν ἐπιμεμφομένα σε Σοφ. Τρ. 122 διὰ τὰ ὁποῖα μεμφομένη σε· ἴδ. ἀντίος. εἴτ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται εἴθ' ἑκατόμβης Α 65 εἴτε μέμφεται ἡμᾶς δι' εὐχὴν (διὰ τάξιμον μὴ ἐκπληρωθὲν) εἴτε δι' ἑκατόμβην. Ἀτρεΐδη, τέο δὴ αὖτ' ἐπιμέμφεαι ἠδὲ χατίζεις Β 225 διὰ τί παραπονεῖσαι καὶ (τίνος) ἔχεις ἀνάγκην;

ἐπιμένω: ἐπίμεινον τεύχεα δύω Ζ 340 περίμεινε νὰ βάλω τὰ ὅπλα μου. Ἄλλοι: περίμεινε, θέλω νὰ

βάλω τὰ ὅπλα μου· πρβ. ψ 71. χ. 450. γ 18. δεῖ „σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ σύμμαχον καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα Σοφ. Τρ. 1175 πρέπει νὰ γίνῃς σύμμαχος μὲ ἐμὲ (τ. ἔ. νά μοι ὑπακούσῃς) καὶ νὰ μὴ περιμείνῃς νὰ παροξύνῃς τὸ στόμα μου· τ. ἔ. ἀναβολὴ ἐκ μέρους σου ἤθελέ με ἀναγκάσῃ νά σοι εἴπω τραχεῖς λόγους. τῶν τε λιμένων τὴν χῶσιν... ἐπέμενον τελεσθῆναι καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι Θουκ. 3, 2 περιέμενον νὰ τελειώσῃ ἡ χῶσις τῶν λιμένων καὶ νὰ φθάσουν ὅσα ἐχρειάζοντο ἐκ τοῦ Πόντου καὶ τὸν πηλόν, εἴ που δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν καὶ τὼ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι Θουκ. 4, 4 σκυμμένοι ἐμπρός, διὰ νὰ μένῃ ὅσον τὸ δυνατὸν καλλίτερα ἐπὶ τοῦ νώτου ὁ πηλός, καὶ συμπλέκοντες πρὸς τὰ ὀπίσω τὰς χεῖρας, διὰ νὰ μὴ πίπτῃ ἀπὸ τοῦ νώτου. «Τῶν καθ' ὑπερβολὴν ἐναργῶς εἰρημένων ἐστὶ τοῦτο» Σχ., καὶ δὴ θετικῶς καὶ ἀρνητικῶς· πρβ. 6, 56. Ἡ ἀθέτησις λοιπὸν τῶν φράσεων ὡς... ἐπιμένειν καὶ μὴ ἀποπίπτοι καταστρέφει εἰκῇ τὴν ἐνέργειαν ταύτην. — τὰν δ' ἀνόστιμον τέκνων Χάρωνος ἐπιμένει πλάτα βίου κέλευθον Εὐρ. Ἡρ. Μ. 431 τὴν δ' ἐκ τοῦ βίου εἰς τὸν ᾅδην ὁδὸν τῶν τέκνων του περιμένει νὰ συντελέσῃ τὸ πλοιάριον τοῦ Χάρωνος. τίς ἄρα με πότμος ἐπιμένει (ἐπαμμένει Hermann) σέ τ', ὦ φίλα πατρὸς ὧδ' ἐρήμας; Σοφ. Ο. Κ. 1716 τίς μοῖρα ἀναμένει καὶ ἐμὲ καὶ σέ, ὦ φίλη, οὕτως ἀπωρφανισμένας τοῦ πατρός; ὄντοιν δὲ τοιούτοιν, οὐδὲν ἔτι χαλεπὸν ἐπεξελθεῖν τῷ λόγῳ οἷος ἑκάτερον βίος ἐπιμένει Πλ. Πολ. 361 D ἀφ' οὗ δὲ ἀμφότεροι εἶνε τοιοῦτοι, οὐδόλως πλέον εἶνε δύσκολον νὰ παραστήσῃ τις διὰ λόγου, ὁποῖος βίος περιμένει ἑκάτερον αὐτῶν.

ἐπιμεταπέμπομαι: ἐπιμεταπέμπεσθαι Θουκ. 6, 21 ἐνν. ἱππικόν τ. ἔ. πρὸς τῷ ἐν Σικελίᾳ ἱππικῷ θὰ στέλλωμεν νὰ φέρωμεν καὶ ἄλλο.

ἐπιμετρέω ἐπί τινι μετρῶ, ἐπὶ τῷ μετρηθέντι μετρῶ· ἐγὼ δέ τι οὐκ ἐπιδώσω οὐδ' ἐπιμετρήσω Ἡσ. Ἔργ. 395 ἐγὼ δέ σοι οὐδὲν ἐφ' οἷς ἔδωκα δώσω οὐδ' ἐφ' οἷς ἐμέτρησα μετρήσω· «ὥσπερ ἐφερμηνευτικὸν δοκεῖ τὸ ἐπιμετρήσω τοῦ ἐπιδώσω» Μοσχόπουλος. Ταῦτα λέγει ὁ Ἡσίοδος πρὸς τὸν ἀδελφόν, ὅστις φεύγων τοὺς πόνους, καὶ ὡς ἐκ τούτου χατίζων ἔπτωσσεν ἀλλοτρίους οἴκους.

ἐπιμηχανάομαι: τὸ ἄγος ἐκθύσασθαι οὐκ οἷοί τε ἐγίνοντο ἐπιμηχανεόμενοι Ἡρ. 6, 91 διὰ τῶν θυσιῶν δὲν ἠδύναντο νὰ ἐξιλεώσωσι τὴν θεὰν διὰ τὴν ἀσέβειάν των, ἂν καὶ πολλὰς προσπαθείας κατέβαλλον ὕστερον.

ἐπιμιμνήσκω (ἴδ. μιμνήσκω). Σύνταξις: ἐπιμιμν. τινὸς ἤ τι, περί τινος, ἢ ὅτι κέ. ἐπιμνησαίμεθα χάρμης Ρ 103 ἠθέλαμεν ἐνθυμηθῇ μάχην, ὑπάγῃ εἰς τὴν μάχην. ἐπεὶ δ' ἐπεμνασάμην ἀμειλίχων πόνων Αἰσχ. Χο. 621 ἀφ' οὗ δὲ ἀνέφερα σκληρὰς πράξεις. τῆς μάχης τε τῆς ἐν Μαραθῶνι πολλὰ ἐπιμεμνημένοι καὶ τὴν Λήμνου αἵρεσιν Ἡρ. 6, 136 ἀναφέροντες πολλάκις τὴν ἐν Μ. μάχην καὶ τὴν ἅλωσιν τῆς Λήμνου. Ἀλλ' ἐνταῦθα δύναταί τις καὶ νὰ ἐξηγήσῃ: ἀναφέροντες πολλὰ μέρη (πράγματα, σημεῖα) τῆς ἐν Μαρ. μάχης, ὥστε ἡ σύνταξις νὰ εἶνε ὁμοιόμορφος· πρβ. 8, 66.

ἐπιμίμνω ποι. ἀντὶ ἐπιμένω· ἔργον ἀέξεται, ᾧ ἐπιμίμνω ξ 66 προοδεύει ἡ ἐργασία, εἰς τὴν ὁποίαν καταγίνομαι μὲ ἐπιμέλειαν. Ἐν τμήσει· πολλὰ δ' ἀεργὸς ἀνήρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ Ἡσ. Ἔργ. 497 πολλὰ δὲ κακὰ ἄεργος ἄνθρωπος, περιμένων τὴν ἐκπλήρωσιν ματαίας ἐλπίδος, ἔχων ἀνάγκην τροφῆς, ἐμελέτησε καθ' ἑαυτὸν (ἀναλογίζεται κατὰ νοῦν).

ἐπιμὶξ ἀναμίξ, ἀνακατωτά, ἐπιμὶξ κτείνονται Ξ 60 ἀδιακρίτως φονεύονται.

ἐπιμίσγω: αἰεὶ Τρώεσσ' ἐπιμίσγομαι Κ 548 «πάντοτε ἔχω νὰ κάμω μὲ τοὺς Τρῶας». οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος ζ 205 ἔρχεται εἰς συγκοινωνίαν μὲ ἡμᾶς. οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται οὐδ' ἐπὶ δαῖτας Ἡσ. Θε. 802 οὐδέποτε ἐπικοινωνεῖ τοῖς θεοῖς ἐρχόμενος εἰς τὸ συνέδριον (συμβούλιον) αὐτῶν ἢ εἰς τὸ κοινὸν δεῖπνον. τοὺς δ' ἐν Κυθήροις μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν μήτε ἡμᾶς πρὸς αὐτοὺς μήτε αὐτοὺς πρὸς ἡμᾶς Θουκ. 4, 118 χωρὶς οἱ ἐν Κυθ. νὰ ἔρχωνται εἰς συγκοινωνίαν μὲ τοὺς συμμάχους (κυρ. μὲ τὴν χώραν τῶν Λακεδ. συμμάχων, τῶν ἐπὶ τῆς ἀπέναντι παραλίας), μήτε ἡμεῖς μὲ αὐτοὺς μήτε αὐτοὶ μὲ ἡμᾶς. Διορθοῦσι: μήτε αὐτοὺς πρὸς ἡμᾶς μήτε ἡμ. πρὸς αὐτ. ἢ ἀντὶ τοῦ ἡμᾶς γράφουσι δὶς ὑμᾶς.

ἐπιμολεῖν ἀπαρφ. ἀόρ. τοῦ ἀχρ. ἐπιβλώσκω· οἷον ἐξ ἀναρσίων οὔπω ποτ' ἄνδρ' ἀγακλειτὸν ἐπέμολεν πάθος οἰκτίσαι Σοφ. Τρ. 854 πάθος οἷον δὲν ἐπῆλθέ ποτε εἰς τὸν ἀγ. ἄνδρα (Ἡρακλέα) ἐκ μέρους τῶν ἐχθρῶν, ὥστε νὰ τὸν λυπηθῇ τις.

ἐπίμολος 2 ὁ ἐπελθὼν (μολὼν ἐπί τινα), ὁρμῶν κατά τινος, ἐπιδρομεύς. Αἰσχ. Ἑπτ. 616.

ἐπίμομφος 2 ἐπίμεμπτος, ἀξιοκατάκριτος· περαίνων ἐπίμομφον ἄταν Αἰσχ. Χο. 828 ἴδ. ἐπαύω. εὖ γὰρ πέπρακται· ταῦτα (τἄλλα Auratus) δ' ἐν πολλῷ χρόνῳ τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν, τὰ δ' αὖτε κἀπίμομφα Ἀγ. 556 διότι καλὰ ἐτελείωσαν, τὰ δὲ ἄλλα ἐν πολλῷ χρόνῳ γενόμενα τὰ μὲν δύναταί τις νὰ χαρακτηρίσῃ ὡς καλῶς ἔχοντα, τὰ δὲ ὡς ἐπίμεμπτα.

ἐπίμονος 2: συγκριτικὸν ἀνώμ. εὕρηται ἐν τῇ ὑποθέσει τῆς Ἠλέκτ. τοῦ Σοφ. «ἀπὸ τοῦ πολυπαθεστέρου προσώπου καὶ ἐπιμονεστέρου τὴν ἐπιγραφὴν ἐποίησε» ὁ Dind. διώρθ. ἐπιμονωτέρου ἢ ἐπιμενεστέρου, ἀλλὰ πρβ. τὸ παρ' ἡμῖν συνηθιζόμενον ἐπίμων.

ἐπιμύζω κυρ. μύζω ἐπί τινι, δυσαρεστούμενος ἐκβάλλω ἐκ τῆς ῥινὸς τὴν φωνὴν μῦ (μοῦ), μουγκρίζω (πρβ. μουσουνίζω)· αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη Δ 20 «μεμυκόσι τοῖς χείλεσιν ἐπεστέναξαν· ὃ πάσχουσιν οἱ ὀργιζόμενοι καὶ μηδὲν ποιεῖν δυνάμενοι»· «ἐπεμυκτήρισαν, ἐπεγόγγυσαν» Σχ. «ἐμουρμούριξαν».

ἐπιμύω: ἐπιμύει Ἀρφ. Σφ. 934 = ἐπινεύων καταμύει, κλείει τοὺς ὀφθαλμοὺς εἰς σημεῖον συγκινήσεως. κἠπέμυσ' ἐκείνων εὐγήρως ἐνὶ χερσίν Καλλιμάχ. Ἐπιγρ. 41 καὶ ἔκλεισα τοὺς ὀφθαλμοὺς πλήρης ἡμερῶν ἐν ταῖς χερσὶν ἐκείνων. κἂν ὀλίγον νυκτός τις ἐπιμύσσησι (Ahrens: ἐπιβησέησι) Θεόκρ. 21, 4 καὶ ὀλίγον ἂν κλείσῃ τις τὴν νύκτα τοὺς ὀφθαλμοὺς (διὰ νὰ κοιμηθῇ)· ἴδ. ἐπιψαύω.

ἐπινέμω ἐπιμερίζω, διανέμω· σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ Ι 216 μερίσας ἐπέθηκε «ἐμοίρασεν ἐπάνω εἰς τὸ τραπέζι». σῖτον δέ σφ' ἐπένειμε υ 254 διένειμεν εἰς αὐτούς. Μέσ. πιθανὸς ἄγαν ὁ θῆλυς ἔρος (Blomf.: ὅρος) ἐπινέμεται ταχύπορος Αἰσχ. Ἀγ. 491 ὁ ἔρως τῶν γυναικῶν ἄγαν εὔπιστος ὢν ἐξαπλοῦται ταχέως (δίκην πυρός· κυρ. ταχέως περῶν: «μπαίνει ἀπὸ τὴ μιὰ καὶ βγαίνει εἰς τὴν ἄλλη»). τὸ πῦρ ἐπενέμετο τὸ ἄστυ πᾶν Ἡρ. 5,101 ἐξαπλωνόμενον προεχώρει καθ' ὅλην τὴν πόλιν. Ἡ ἐπι- σημ. τὴν ἐξάπλωσιν. — νόσος ἐπενείματο Ἀθήνας μάλιστα Θουκ. 2,54 ἡ νόσος ἐξηπλώθη καὶ «ἔκαμε θραῦσιν» εἰς τὰς Ἀθήνας μάλιστα. κόρσῃ φωτὸς ἐνιδρυθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ Καλλίμ. Ὕμν. Ἄρτ. 79 ἴδ. ἀλώπηξ. ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι ἀκρωτήριον Ἄλιδος τοιοῖσδε βέλεσσιν Πίνδ. Ὀ. 9, 5 μὲ τὰ βέλη τὰ ἐκ τῶν μακρὰν τοξευόντων τόξων τῶν Μουσῶν (τ. ἔ. μὲ τοὺς ὕμνους) φθάσε (κυρ. ἐξπλώσου, «ἔπελθε» Σχ. ἔφαψαι) μέχρι τοῦ φοιν. Διὸς καὶ τοῦ σ. ἀκρωτηρίου τῆς Ἤλιδος.

ἐπινεύω κυρ. νεύω ἐπί τινι, κάμνω νεῦμα ὡς σημεῖον ἐπιβεβαιώσεως· ἐμῷ δ' ἐπένευσα κάρητι Ο 75 μὲ τὴν κεφαλήν μου ἔκαμα νεῦμα εἰς βεβαίωσιν τῆς ὑποσχέσεώς μου. Καὶ ἐν τμήσει· ἐπ' ὀφρύσι νεῦσε Κρονίων Α 528 ταῖς ὀφρύσιν ἐπένευσεν ὁ Κρονίων. τοὶ δ' ἐπὶ βλεφάροις νεῦσαν ἀθανάτοισιν Πινδ. Ι. 7, 45 ἐπένευσαν τοῖς ἀθαν. βλεφάροις. Ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες ουτοιί Ἀρφ. Ἀχ. 115 ἔκαμαν νεῦμα (ἐπιβεβαιώσεως) Ἑλληνικὸν (μὲ Ἑλλην. τρόπον) οὗτοι ἐδῶ οἱ ἄνδρες· «τοῦτο εἶπεν ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ Ἑλληνικοῦ· ἐπένευσε δὲ μετὰ τὸ περιάγειν (-αγαγεῖν;) τὴν κεφαλήν». Ὁ Leeuwen: «ἐπένευσεν, ἄνδρες, οὑτοσὶ» καὶ εἶτα «οὐκ ἔστιν». σὺ μὲν γὰρ ἐπένευσας τάδ' Εὐρ. Ὀρ. 284 ἐπεδοκίμασας τὴν πρᾶξιν ταύτην, «συνήνεσας» Σχ. Διορθοῦσιν ᾔνεσας. Ἀντίθ. ἀνανεύω· οὐκ ἐπινεύεις μόνον καὶ ἀνανεύεις, ἀλλὰ καὶ ἀποκρίνῃ πάνυ καλῶς Πλ. Πολ. 351 C ἅπερ εἶνε σαφῆ. μόγις πως ἐπενευσάτην Λῦσ. 222 Β μετά τινος δυσκολίας συγκατένευσαν. κόρυθι ἐπένευε φαεινῇ Χ 314 ἔνευε πρὸς τὰ κάτω μὲ τὴν λαμπρὰν περικεφαλαίαν. ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι Θεόκρ. 22, 186 καὶ εἰς τοὺς δύο δὲ ἐκινοῦντο αἱ τρίχες τῶν λόφων (τῶν περικεφαλαιῶν των).

ἐπινέφελος συννεφιασμένος· οὔτ' ἐπινεφέλων ἐόντων Ἡρ. 7,37 ἐν ᾧ οὔτε σύννεφα ἦσαν ἐπάνω (εἰς τὸν οὐρανόν). Ὁμοίως καὶ Ἀριστοτ. ἐπινεφέλων ὄντων, ὅταν ἐπινέφελα ᾖ, γίνεται ἐπινέφελα 939 b 15. 947 a 17. 941 a 13.

ἐπινέω (ἴδ. νέω, νήθω) = ἐπινήθω, ἐπικλώθω, ἐπὶ τῶν Μοιρῶν· ἅσσα οἱ (μοῖρα) γενομένῳ ἐπένησε λίνῳ Τ 128 ὅσα τοῦ ἔκλωσε τὸ νῆμά του (ἢ ἡ ἐπάνωθεν αὐτοῦ οὖσα Μοῖρα εἰς τὸ νῆμα τῆς ζωῆς του) κατὰ τὴν γέννησίν του: ὅσα τοῦ ἔγραψεν ἡ Μοῖρα.

ἐπινίκιος 2 ἐπὶ τῇ νίκῃ, εἰς τὴν νίκην ἀνήκων. ἐπινίκια κλάζων Αἰσχ. Ἀγ. 184 ἴδ. κλάζω. τούτων ἐνεγκὼν πάντα τἀπινίκια Σοφ. Ἠλ. 692 τούτων πάντων (τῶν διαύλων δρόμων) ἀφ' οὗ ἐπῆρεν ὅλα τὰ βραβεῖα. σοὶ δὲ ῥέξαντι καλῶν ἐπινίκιον ἔργων Πλ. Ἐλεγ. 7 ἴδ. ἐκχέω.

ἐπινίσσομαι ἐπέρχομαι, ἐπιβαίνω· αἰὲν ἐπ' ἤματι ὠκυτόκος πεδίων ἐπινίσσεται στερνούχου χθονὸς Σοφ. Ο. Κ 688 ἀενάως καθ' ἡμέραν ταχέως γονιμοποιῶν ἐπιβαίνει (ἀρδεύων) τῶν πεδίων τῆς πλατέα στέρνα ἐχούσης (τῆς εὐρέως ἐκτεινομένης) γῆς.

ἐπινοέω ἔχω τι ἐν νῷ, συλλογίζομαι, ἐφευρίσκω· ὀλίγον ἐπενόουν οὐδὲν ἀμφότεροι Θουκ. 2, 8 οὐδὲν μικρὸν εἶχον κατὰ νοῦν. καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν 7, 59 οὐδὲν μικρὸν εἶχον κατὰ νοῦν ὑπ' οὐδεμίαν ἔποψιν. ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσι 1,70 ἡ ἐπι- ἐν τούτοις σημ. προσθήκην κυρίως· ὅθ. νέον τι νοῆσαι, ἐφευρεῖν. οὐκ ἐπινοοῦσιν ἅμα τοῖς θείοις καὶ τὰ τεχνητὰ τῶν συμβόλων ἀθετοῦντες Πλουτ. Περ. 6 δὲν ἐννοοῦσιν ὅτι ὁμοῦ μὲ τὰ θεῖα ἀθετοῦσι καὶ τὰ τεχνητὰ τῶν συμβόλων. ἡμεῖς γε οὐδ' ἐπινοοῦμεν τοιοῦτον οὐδὲν Ξεν. Ἀν. 2, 5, 4 οὐδ' ἔχομεν κατὰ νοῦν κανὲν τοιοῦτον πρᾶγμα. αἰτίη δ' ἔσχε (= κατέσχε) ἐν Ἀθηναίοισι ἐξ Ἀλκμεωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινοηθῆναι Ἡρ. 6, 115 μεταξὺ τῶν Ἀθηναίων ἐπεκράτησεν ἡ αἰτίασις (διεδόθη ἡ κατηγορία), ὅτι αὐτοὶ (οἱ Πέρσαι) διενοήθησαν ταῦτα ἕνεκα ῥᾳδιουργίας τῶν Ἀλκμ.

ἐπίνοια ἡ, ἐφεύρεσις, ἐφευρετικὴ δύναμις· οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν; Ἀρφ. Ἱππ. 90 σὺ τολμᾷς νὰ ψέγῃς τὸν οἶνον ὡς πρὸς τὴν ἐφευρετικὴν δύναμιν, τ. ἔ. ψέγων τολμᾷς νὰ ἰσχυρίζησαι, ὅτι ὁ οἶνος οὐδόλως ποιεῖ τὸν νοῦν ἐφευρετικὸν (οὐδόλως ὀξύνει αὐτόν); || κυρ. ἡ ἐπιοῦσα γνώμη, ὡς ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην Σοφ. Ἀντ. 389 ἡ ἐπερχομένη σκέψις διαψεύδει τὴν προηγουμένην· πρβ. Ἐπιμηθεύς. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ («ἐπεὶ παραπόμ-

πιμος ὁ θεὸς Ἑρμῆς καὶ εἰρηνικός» Σχ.) πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν σπεύδεις κατέχων πράξειας Εὐρ. Μήδ. 760 εἴθε ὁ Ἑρμῆς νά σε ἐπαναφέρῃ εἰς τὸν οἶκόν σου καὶ εἴθε νὰ πράξῃς ἐκεῖνα, τὰ ὁποῖα ἔχων κατὰ νοῦν (μελετῶν) ἐπισπεύδεις αὐτά. (ὁ ποιητὴς) τὴν ἐπίνοιαν ξυνέτριψεν Ἀρφ. Σφ. 1050 κατέστρεψε τὸ σχέδιόν του (νὰ καθαρίσῃ τὴν Ἀττικήν). θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον, ἥτις ἐστὶν ἡ ἐπίνοια τῆς ἐγκεντρίδος 1073 ὅταν βλέπει τις ὅτι εἶμαι σφιγμένος εἰς τὴν μέσην, ἀπορεῖ ποῖον εἶνε τὸ νόημα τοῦ κέντρου τούτου.

ἐπινωμάω διανέμω· ξένος δὲ κλήρους ἐπινωμᾷ χάλυβος Σκυθῶν ἄποικος Αἰσχ. Ἑπτ. 714 τὴν δὲ κληρονομίαν τούτου διανέμει ὁ ξένος ἐκ τῶν Σκυθῶν ἄποικος χάλυψ. λέξαι λάχη τὰ κατ' ἀνθρώπους ὡς ἐπινωμᾷ στάσις ἁμά Εὐμ. 310 ἴδ. λάχος. ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώμα μέγας Ἄρης Σοφ. Ἀντ. 139 ἄλλα εἰς ἄλλους ἀπένεμεν. εἰ τὰ τέθριππ' γ' ἔθ' ἅρματα λεύσσων ἀελίου τάδε σώματα νεκρῶν ὄμματος αὐγαῖς σαῖς ἐπενώμας (=«ἐπεσκόπεις» Σχ.) Εὐρ. Φοίν. 1564 (θὰ ἐλυπεῖσο πολύ), ἂν βλέπων ἔτι τὸ τέθριππον ἅρμα τοῦ ἡλίου, ἐπεσκόπεις διὰ τῶν ἀκτίνων τῶν ὀφθαλμῶν σου τὰ σώματα ταῦτα τῶν νεκρῶν: «μειζόνως ἂν ὠδυνήθης, εἰ τοὺς ὀφθαλμοὺς ἔχων ὁρῶντας καθεώρας τούτους κειμένους νεκρούς» Σχ. οὐδέ τιν' αὐτῷ (αὐτῷ) παιῶνα κακῶν ἐπινωμᾶν Σοφ. Φιλ. 168 ὁ μὲν Σχ. μτβ. οὐδὲ ἐξευρίσκει δι' ἑαυτὸν ἰατρόν τινα τῶν κακῶν. Συνήθ. ἀμτβ. οὐδὲ προσέρχεταί τις εἰς αὐτὸν ἰατρὸς τῶν κακῶν.

ἐπινωτίζω τὰ νῶτα σκεπάζω (ἐνν. τῇ δορᾷ τοῦ λέοντος) ἐν ξανθὸν κρᾶτ' ἐπινωτίσας Εὐρ. Ἡρ. Μ. 361 ἴδ. ἀμφικαλύπτω.

ἐχθρός 3, παραθετ. ἐχθίων ἔχθιστος καὶ ἐχθρότερος ἐχθρότατος (καὶ ἐχθροτέρως) Δημ. 5,18 ἀλλὰ καὶ ἐχθιόνως Ξεν. Συμπ. 4, 3. τέκνων ἤνεγκ' ὑπὸ ζώνην βάρος, φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν Αἰσχ. Χο. 990 ἔφερε τὸ ἐν τῇ γαστρὶ βάρος τῶν τέκνων, φίλων πρότερον, νῦν δ' ἐχθρῶν, ὡς δεικνύουσιν αἱ πληγαί· πρβ. Ἀμμών. «ἐχθρός: ὁ πρότερον φίλος». ἀμφισβητοῦσι μὲν γὰρ καὶ δι' εὔνοιαν (τ. ἔ. οὐ μόνον δι' ἔχθραν) οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροι καὶ ἐχθροὶ ἀλλήλοις Πλ. Πρωτ. 337 Β ὅπου πρόκειται περὶ τῆς διαφορᾶς τοῦ ἀμφισβητῶ καὶ τοῦ ἐρίζω καὶ τῶν συνωνύμων. ὁ δ' ἀνὴρ πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ, χαλεπώτατος δ' ἐχθρός, ᾧ ἂν πολέμιος ᾖ Ξεν. Ἀν. 1, 3, 12 ὁ δὲ ἀνὴρ (Κῦρος) εἶνε πολύτιμος (ἔχει μεγάλην ἀξίαν) μὲν φίλος δι' ἐκεῖνον, τοῦ ὁποίου εἶνε φίλος, βαρύτατος δ' ἐχθρὸς δι' ἐκεῖνον, ἐναντίον τοῦ ὁποίου ἤθελε περιέλθῃ εἰς πόλεμον. Ἐχθρός εἶνε κυρίως ὁ μισῶν (ἔχθων) τινά, πολέμιος δὲ εἶνε ὁ ἐχθρὸς τῆς χώρας (ἀντίθ. φίλιος)· ὁ ἐχθρός δύναται νὰ εἶνε καὶ νὰ μὴ εἶνε πολέμιος, ὡς καὶ ὁ πολέμιος δύναται νὰ εἶνε ἐχθρός καὶ νὰ μὴ εἶνε. φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος Εὐρ. Φοίν. 1446 διότι ἔγινεν ἐχθρὸς (οὐσ.) συγγενὴς (ἐπίθ.), χωρὶς ὅμως νὰ παύσῃ νὰ εἶνε ἀγαπητός. ΚΡ. τί δ'; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται; ΑΝ. οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν. ΚΡ. εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν; 1655 οὐ δικαίως· ἡ δίκη γάρ, ἣν πράσσεσθε αὐτόν, οὐκ ἔννομός ἐστι. (Ἔννομός γε) εἴπερ ἦν ἐχθρὸς τῆς πόλεως, οὐκ ἐχθρὸς ὢν (ἂν καὶ δὲν ἦτο προσωπικῶς ἐχθρὸς πρὸς ἐμέ. Κατ' ἄλλους τὸ οὐκ ἐχθρός=φίλος, Θηβαῖος). θεοῖς ἐχθρότατον βροτῶν Σοφ. Ο. Τ. 1346· πρβ. Ἀρφ. Νεφ. 581. Λυσ. 397. Κατὰ τὸ θεοῖς ἐχθρός, ὅπερ συχνάκις εὕρηται καὶ παρὰ Δημ., ἐλέχθη καὶ θεοῖς ἐχθρία ἢ ὀρθότερον θεοισεχθρία Δημ. 22, 59. Ἀρφ. Σφ. 418· πρβ. καλὸς κἀγαθός: καλοκαγαθία, Ἄρειος Πάγος: Ἀρεοπαγίτης. Εὕρηται δὲ καὶ θεοσεχθρία ἐν Ἀπ. Ἀρχίππ. 35. καὶ θεοεχθρία Λουκ. Λεξιφ. 11. Ἄξιον δὲ μνείας εἶνε τὸ ἐκ τοῦ Δημ. 22, 59: διὰ μέντοι τὴν αὑτοῦ βδελυρίαν καὶ θεοισεχθρίαν ὅπου τὴν ὀρθὴν ταύτην γρ. διέσωσαν δύο ἄριστοι κώδικες (ὧδε: θεοῖς ἐχθρίαν), ἡ δὲ κοινὴ γρ. εἶνε καὶ θεοῖς ἐχθρὰν αἰσχροκέρδειαν, ἐπεισαχθεῖσαν ἐκ τοῦ 24, 195, ἀφ' οὗ τὸ θεοῖς ἐχθρίαν μεταγραφὲν εἰς θεοῖς ἐχθράν ἀπῄτει καὶ ἀνάλογον οὐσιαστικόν.

ἔχθω μισῶ, Τραγ. καὶ Καλλίμ. Δῆλ. 8. Ἀπ. 118. ἔχθομαι εἶμαι μισητός, ἐπ. ποιητ. Αἰσχ. Ἀγ. 426. -όμενος δ 502. -εσθαι 756. ἀπέχθομαι, -εται Θεόκρ. 7,45. -όμενος σ 165. Πίνδ. Ν. 10, 83. Πρτ. ἤχθετο ξ 366. ἠχθημένος Λυκόφρ. 827. ἀπεχθάνομαι ποιῶ ἐμαυτὸν μισητόν, γίνομαι μισητός. Ἀπὸ τοῦ Ὁμ. καὶ ἐφεξῆς ἐν παγκοίνῳ χρήσει. ἀπηχθανόμην, ἀπεχθήσομαι (-ανεῖται Θεμίστ. 26, 322). ἀόρ. ἀπηχθόμην, ἀπρφ. ἀπεχθέσθαι (συχνάκις ἀπέχθεσθαι χ/φα), πρκ. ἀπήχθημαι. Τὸ ἀπέχθεσθαι Φ 83 εἶνε μᾶλλον ἐνεστώς. Ἐπίσης ἐνεστὼς εἶνε καὶ ἐν τοῖς ἑξῆς χωρίοις: Εὐρ. Μήδ. 290. Θουκ. 1, 136. Πλ. Πολ. 343 Ε. Λυσ. 6, 53. Ἰσαῖ. 2, 30. Ἀπ. 4, 1. Ξεν. Ἀπ 2, 9, 3 καὶ κατωτ. Σώφρ. Ἀπ. 54 (περὶ ὧν ἴδ. κατωτ.) κἀλλ. Ἐξ ὧν καταφαίνεται, ὅτι πρὸς τῷ ἀπεχθάνομαι, ἀπηχθανόμην ὑπῆρχεν ἐν χρήσει καὶ ὁ παλαιότερος ἐνεστώς καὶ πρτ. ἀπέχθομαι, ἀπηχθόμην. Εὕρηται δὲ πολλαχοῦ παρὰ τοῖς μτγν ὁ ἐνεστὼς οὗτος, ἐξ ὧν μνημονεύω τὸ παρὰ Πλουτ. ἐν βίῳ Μαρκέλλ 22: μάλιστα θεῶν (Ἀφροδίτη) ἀπέχθεται βίᾳ καὶ πολέμοις. Ἐξετάσωμέν τινα τούτων τῶν χωρίων· κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπέχθεσθαι, γύναι, ἢ μαλθακισθένθ' ὕστερον μέγα στένειν Εὐρ. Μήδ. 290 ὅπου τὸ ἀπέχθεσθαι παρέχουσι πάντα τὰ χ/φα. Ὡς ἐνεστῶτα δὲ ἐξέλαβον αὐτὸ καὶ οἱ Σχολ. («ἀπέχθεσθαι ἐχθρωδῶς διακεῖσθαι») καὶ οἱ μνημονεύσαντες τὸν στ. συγγραφεῖς, ὡς ὁ Πλούτ. 124 Β καὶ 530 C. Οὐ μόνον δὲ ἡ παράδοσις ἀλλὰ καὶ τὸ νόημα ἀπαιτεῖ ἐνεστῶτα. Παρὰ Θουκ. δεδιέναι δὲ φασκόντων Κερκυραίων ἔχειν αὐτόν, ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται κτλ. 1, 136 ἔχουσιν ἐπίσης πάντα τὰ χ/φα ἀπέχθεσθαι, τ. ἔ. ἐνεστῶτα, ὃν ἀπαιτεῖ καὶ τὸ νόημα, διότι οἱ Κερκυραῖοι μᾶλλον ὤφειλον νὰ εἴπωσιν: δὲν θέλομεν νὰ γινώμεθα ἐχθροὶ μὲ τοὺς Λακεδ. Ἀλλὰ καὶ οἱ νεώτεροι ἐκδόται, ὡς ὁ Steup καὶ ἄλλοι, διατηροῦσι τὴν παραδεδομένην γραφήν. Ἐπίσης παρὰ Πλάτωνι Πολ. 343 Ε τῷ μὲν δικαίῳ ὑπάρχει... τά γε οἰκεῖα δι' ἀμέλειαν μοχθηροτέρως ἔχειν, ἐκ δὲ τοῦ δημοσίου μηδὲν ὠφελεῖσθαι διὰ τὸ δίκαιον εἶναι, πρὸς δὲ τούτοις ἀπέχθεσθαι τοῖς τε οἰκείοις καὶ τοῖς γνωρίμοις κτλ. ὅπου δὲν εἶνε πολὺ λογικὸν νὰ ὑποθέσωμεν, ὅτι ἐπὶ τῆς αὐτῆς ἐννοίας, προηγουμένων καὶ ἑπομένων τόσων ἐνεστώτων, μόνον τὸ ἀπέχθεσθαι εἶνε ἀόριστος. Εἶνε δυνατὸν νὰ ὑποθέσωμεν ὅτι ὁ Πλάτων, ἀφ' οὗ εἶπεν, ὅτι ὁ δίκαιος παραμελεῖ τὰ οἰκεῖά του πράγματα, ὅτι ἐκ τοῦ δημοσίου οὐδὲν ὠφελεῖται, διότι εἶνε δίκαιος, ἔπειτα ἐξακολουθῶν λέγει «ὅτι ἔγινε μισητὸς» καὶ ὄχι «ὅτι γίνεται μισητὸς» εἰς τοὺς οἰκείους καὶ τοὺς γνωρίμους; Τὰ συμφραζόμενα ἀπαιτοῦσιν ἐνεστῶτα. Τέλος παραθέτω, χάριν συντομίας, ἐν ἔτι πρδγ. τὸ ἐκ τῶν Ξεν. Ἀπ. 2, 9, 3 οὐχ ὁρᾷς, ὅτι πολλῷ ἥδιόν ἐστι χαριζόμενον οἵῳ σοὶ ἀνδρὶ ἢ ἀπεχθόμενον ὠφελεῖσθαι; «δὲν βλέπεις ὅτι εἶνε πολὺ μᾶλλον εὐχάριστον νὰ ὠφελῆταί τις, ἐν ᾧ παρέχει χάριν εἰς ἄνθρωπον,

ὁποῖος εἶσαι σύ, παρὰ ἐν ᾧ γίνεται μισητός;» (Μετάφρασις Γε. Χατζιδάκι). Καὶ ἐν τῷ πρβγ. τούτῳ εἶνε δυνατὸν τὸ ἀπεχθόμενον νὰ εἶνε ἀόριστος; οὐ γὰρ ὀΐω πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεισιάδαο ἔχθεσθαι δ 756 οὐ γὰρ οἴομαι τὸν γόνον τοῦ Λαέρτου πάνυ ἀπεχθάνεσθαι (μισητὸν εἶναι) τοῖς μακαρίοις θεοῖς. — ταῦτά τοί σ' ἔχθει πόσις Εὐρ. Ἀνδ. 212 διὰ ταῦτα βέβαια σὲ μισεῖ ὁ πόσις (κυρ. σύστοιχος αἰτ.). εὐμόρφων δὲ κολοσσῶν ἔχθεται χάρις ἀνδρί Αἰσχ. Ἀγ. 406 ἴδ. εὔμορφος· πρβ. μισῶ.

ἐχινῆ ἡ (δορὰ) συνῃρ. ἐκ τοῦ ***ἐχινέα***, τὸ δέρμα τοῦ ἐχίνου (ἀκανθοχοίρου) Ἀρκάδ. σ. 112.

ἔχμα τὸ (ἔχω) κράτημα, συνοχή, στήριγμα, κώλυμα κτλ. ἁμάρης ἐξ ἔχματα βάλλων Φ 259 ἐκβάλλων ἐκ τῆς αὔλακος τὰ ἐμπόδια. ἢ γὰρ ἐπιλυσίης πολυπήμονος ἔσσεαι ἔχμα (Ruhnken: αἰχμὰ) ζώουσ' Ὕμν. Ἑρμ. 37 ζῶσα γὰρ ἔσῃ κώλυμα τῆς πολὺ βλαβερᾶς ἐπῳδῆς. Ἡ χελώνη πολλαχῶς ἐχρησίμευεν ὡς ἀντιφάρμακον κατὰ τῶν ἐπῳδῶν καὶ τῶν γοητειῶν· πρβ. Plin. N. H. 32, 4. (ποταμὸς) ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης Ν 139 τὰ στηρίγματα τῆς πέτρας, δεσίματα δι' ὧν εἶνε συνδεδεμένος ὁ βράχος ὁ ἀποτελῶν τὸ πρόχωμα, τὴν δέσιν ποταμοῦ τινος. πεδόθεν δὲ βαθύρριζόν περ ἐοῦσαν προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης Ἀπολ. Ῥ. 1, 1199 ἐκ τοῦ ἐδάφους, καίπερ βαθείας ἔχουσαν ῥίζας, προσπεσὼν (κυρ. προσκολληθεὶς) ἐξέσπασε σὺν αὐτοῖς τοῖς (στερεοῖς) βώλοις (κυρ. τοῖς κωλύμασι) τῆς γῆς. ἰσχία δ' αὔτως μάλκη ἐνισκίμπτουσα κατήριπεν ἔχματα γούνων Νικ. Θηρ. 724 «καὶ εἰς τὰ ἰσχία δὲ μάλκη, ὅ ἐ. ῥῖγος, ἐμπίπτουσα κατέβαλε τοὺς δεσμοὺς τῶν μελῶν, γονάτων νεῦρα καὶ μύας» Σχ. ἔχματα νηῶν Ξ 410 «ἐρείσματα πρὸς τὸ μὴ ἔνθα καὶ ἔνθα κλίνεσθαι» Σχ.

ἔχοισα Δωρ. ἀντὶ τοῦ ἔχουσα.

ἔχομες Δωρ. ἀντὶ τοῦ ἔχομεν.

ἔχοντι Δωρ. ἀντὶ τοῦ ἔχουσι.

ἐχόντως ἐπίρρ. ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν ὑπέρ θ' ἑαυτοῦ καὶ μνήμης καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα; Πλ. Φιληβ. 64 Α ἆρά γε οὐ φήσομεν, ὅτι ὁ νοῦς ἀπεκρίνατο ταῦτα τὰ νῦν ῥηθέντα ἐμφρόνως καὶ ἐχόντως ἑαυτὸν (τ. ἔ. ἐγκρατῶς ἑαυτοῦ, νουνεχῶς) ὑπέρ θ' ἑαυτοῦ καὶ μν. καὶ δόξης ὀρθῆς; Τὸ ἐχόντως ἑαυτόν (τ. ἔ. νοῦν, ὅθεν = νοῦν ἐχόντως) ἐλέχθη κατὰ τὸ νοῦν ἐχόντως, ἐξ ἀνάγκης, διότι ἡ φράσις ἔχει κυρίως ὧδε: ὁ νοῦς ἀπεκρίνατο ἐχόντως ἑαυτὸν (τ. ἔ. νοῦν) = ὁ νοῦς ἀπεκρίνατο νοῦν ἐχόντως (νουνεχῶς).

ἐχρόωντο ἴδ. χράομαι.

ἐχυρός 3 (ἔχω): ἐχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα Αἰσχ. Πέρ. 89 ἴδ. δόκιμος. Κερκυραῖοι μετὰ τῆς ξυμμαχίας τῆς αἰτήσεως καὶ ταῦτα πιστεύοντες ἐχυρὰ ὑμῖν παρέξεσθαι Θουκ. 1, 32 (ἀπέστειλαν ἡμᾶς) ἐπὶ τῇ πεποιθήσει ὅτι μαζὶ μὲ τὴν αἴτησιν τῆς συμμ. θὰ σᾶς ἐξασφαλίσωσι καὶ ταῦτα. ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε Θουκ. 3, 12 ἴδ. βεβαιόω.

ἔχω (ἀρχῆθεν σέχω, ἔχω)· β' πρόσ. ἔχεισθα (ἔχεσθα) ἀντὶ τοῦ ἔχεις Ἀπ. Σαπφ 21. Θέογν. 1316. Ὑπ. ἔχῃσθα Τ 180. ἔχῃσι α 95. ἐχέμεν δ 302. εἶχον (Δωρ. κυρ. ἦχον). ἔχον Ι 1 κἀλλ. ἔχεσκον Ν 257. δ 627. Ἡρ. 6, 12. ἐνείχεε 1, 118 (ἐνεῖχε Στέφανος ὀρθῶς). γ' πλ. Ἀλεξανδρ. εἴχοσαν Ἀνθ. 5, 209. — γ' πλ. εὐκτ. ἔχοιν ἀντὶ τοῦ ἔχοιεν. ἕξω (= θὰ ἔχω). ἔσχον (γ' πλ. ἔσχοσαν Σκύμν. 695), σχῶ, παράσχω, σχοίην (πρβ. ἐπισχοίης Ξ 241). γ' πλ. σχοῖεν Θεόκρ. 6, 33 (σχοίησαν Ὑπερείδ. Εὔξεν στ. 42, 19 Blass). σύνθ. παρά-, μετά-, ἀνά-, κατά-, ἐπί-σχοιμι Ἀττ. Προστ. σχές, ὑπόσχες, παράσχες (πάρασχε Εὐρ. Ἑκ. 842 ὃ μεταγραπτέον μετὰ τοῦ Nauck εἰς παράσχες. κάτασχε Ἡρ. Μ. 1211 ὃ μεταγρ. μετὰ τοῦ Elmsley εἰς κατάσχεθε), σχών, σχεῖν (σχέμεν Θ 254. Τ 147). ἐπ. ποιητ. ἔσχεθον Μ 184. Πίνδ. Ὀ. 9, 94. Εὐρ. Φοίν. 408. Θεόκρ. 22, 96 (σχέθον Η 277. κ 95). ὑπέσχεθε Η 188. ἀν- Κ 461. σχέθω Ἀρφ. Λυσ. 455. Εὐρ. Ἀπ. 87. σχέθοιμι Αἰσχ. Εὐμ. 859. Εὐρ. Ῥῆσ. 602. Πίνδ. Π. 10, 62. ἐπί- Αἰσχ. Ἑπτ. 440. σχεθέτω θ 537. σχεθεῖν Αἰσχ. Πρ. 16. Ἑπτ. 75, 416. παρα- Ἀρφ. Ἱππ. 320 (σχεθέειν Ψ 466. ἀν- ε 320. σχεθέμεν Πίνδ. Ὀ. 1, 71. Π. 4, 75), σχεθών Πίνδ. Π. 6, 19. Αἰσχ. Χο. 830. Καὶ μέσ. προεσχεθόμην Θεόκρ. 25, 254. — σχήσω συντελικὸς μέλλων (= θὰ λάβω). σχήσεισθα Ὕμν. Δήμ. 366. (μτγν. ἀόρ. ἔσχησα). Πρκ. ἔσχηκα (ὄκωχα, ὄχωκα, ἐν τῷ συνοχωκότε, συνοκωχότε Ἡσύχ.) Β 218 (πρβ. ἀνοκωχή = ἀνοχὴ Θουκ. 1, 66. συνοκωχή Ἱπποκρ. Ἡσύχ. κατοκωχή Πλουτ.). Μέσ. καὶ παθ. ἔχομαι, εἰχόμην, ἕξομαι (Παθ. Εὐρ. Ὀρ. 516. ἐν- Δημ. 51, 11). ἐσχόμην, σχῶμαι, σχοίμην, σχέο (Φ 379. ἀνσχέο Ψ 587), σχέσθαι, σχόμενος ἐπ. ποιητ. νέον Ἰων. (Ἡρ. 6, 85) Ἀττ. πεζ. Ἰσοκρ. 19, 11 παθ. Σύνθ. συνέσχετο παθ. Εὐρ. Ἱππ. 27. Πεζ. ἠν-, ὑπ-, ἀπ-, παρ-, ἐπ-εσχόμην, ἀπόσχωμαι, ἀπόσχῃ κτλ. παράσχωμαι, ἀνασχοίμην, ἀνάσχου, ἀποσχέσθαι, παρα-, παρασχόμενος, ἐπι-. — σχήσομαι Τ 235. Ἀρφ. Ὄρν. 1335. Πολλάκις σύνθ. ἀνα- Αἰσχ. Ἑπτ. 238, παρ' Ἀττ. πεζ. παρα-, ἐπι-, ἔσχημαι ἁπλοῦν μτγν., σύνθετον παρὰ τοῖς δοκίμοις, ὡς ἀπ-, κατ-. — ἐπώχατο κατ' Ἀρίσταρχον Μ 340 (ἀλλὰ Ζηνόδοτος: πάσας γὰρ ἐπῴχετο). ἐσχέθην μτγν. Ἀρρ. Ἀν. 5, 7, 4 κἀλλ. κατ- Αὐτ. 5, 2, 7. ἐπ- Καλλισθ. παρὰ Στοβ. 7, 65. Ἀντὶ τούτου τὸ ἐσχόμην μετὰ τῶν συνθέτων. Τὸ σχεθήσεται μτγν. Ἐκτός Διογ. Λ. 3, 105. ἑκτέος Ἀρφ. Ἀχ. 259. ἀνασχετός, ἐπισχετέος, ἀφεκτέον συχν. — Παρασχηματ. ἐνεργ. ἐνεστ. ἴσχω (ἐκ τοῦ σισέχω, σίσχω). Ἡ δια-

φορὰ τοῦ ἔχω πρὸς τὸ ἴσχω φαίνεται ἐκ τοῦ Ἀριστοτέλ. 540a 5 (περὶ οὗ ἴδε ἴσχω). Ἀπὸ τοῦ Ὁμ. καὶ ἐφεξῆς πάγκοινον εἶνε τὸ ἴσχω.—ἰσχέμεναι υ 330. ἰσχέμεν. Ο 456. Ρ 501. ἔπισχε Ησ. Ἀσπ. 446. Πρτ. ἀνακύξητος ἴσχον Ο 618. Ἡρ. 1,42. ἴσχομαι, ἰσχόμην Φ 366. Ξεν. Ἀν. 6,3, 9. Ἐπεκτεταμένοι τύποι ἐν. καὶ πρτ. ἰσχάνω, ἰσχανάω ἐπ.— Ἀμπέχω (ἀμφέχω μτγν.). ἄμπεχεν ζ 225. ἀμφέξω Εὐρ. Κύκλ. 344. ἠμπέσχον Ἀρφ. Λυσ. 1156 (οὕτως ὁ Blass ἀντὶ τοῦ ἤμπισχον). ἀμπισχὼν Βάτρ. 1061. Εὐρ. Τρ. 12.—Μέσ. ἀμπέχομαι, ἠμπειχόμην Πλ. Φαίδων 87 Β. ἀμφέξομαι Ἀπ. Κωμ. Φιλετ. 19. ἠμπεσχόμην Εὐρ. Μήδ. 1159. Ἀρφ. Θεσμ. 165 (ὃν τύπον διορθοῖ ὁ Blass ὡς κατωτ.). Ἐκκλ. 540 (ἠμπισχ. χ/φα). Παρασχημ. ἀμπίσχω (πρβ. ἴσχω) [ἤμπισχον Ἀρφ. Λυσ. 1156]. Πλ. Πρωταγ. 320 Ε. ἀμπίσχομαι Εὐρ. Ἑλ. 422 καὶ μτγν. ἠμπίσχετο Ἀρφ. Θεσμ. 165 (ἠμπέσχ. χ/φα). Παρασχημ. ἀμπισχνοῦνται Ἀρφ. Ὀρν. 1090 (ἀμπισχοῦνται χ/φα). ἀνέχω ποιητ. καὶ νέον Ἰων., ἀνεῖχον, ἀνέξω Ἀρχιλ. Ἀπ. 82 καὶ μτγν. πεζ. ἀνέσχον (-έσχεθον Η 412. Κ 461. ι 294. ἀνσχεθέειν ε 320). ἀνασχήσω Εὐρ. Ἰ. Α. 732. Ἡρ. 5, 106. 7, 14 καὶ μτγν. ἀνέσχηκα μτγν. Μέσ. ἀνέχομαι ποιητ. καὶ πεζ. ἠνειχόμην Θουκ. 5, 45. Λυσ. 3, 9. Αἰσχ. Ἀγ. 896. Σοφ. Φιλ. 411. ἀνέξομαι (θ' ἀνέχωμαι). ἠνεσχόμην Θουκ. 3. 28. Αἰσχ. Ἀγ. 1273. Σοφ. Τρ. 276. Εὐρ. Μήδ. 1156 (ἀνεσχ- Σ 430. Αἰσχ. Χο. 743 καὶ Εὐρ. Ἱππ. 687 τρίμ. Ἀρφ. Εἰρ. 347 χορ. ἀνέσχοντο Ἡρ. 5, 89. 6, 112. 7, 139· ἀλλ' ἠνέσχετο 5, 48. 7, 159. 8, 26. ἄνσχεο Ω 518. ἀνὰ δὲ σχέο Η 110. ἀνασχήσομαι μέλλ. συντελικὸς Ε 104. Αἰσχ. Ἐπτ. 238. Ἀρφ. Ἀχ. 299. ἀνασχετὸς Ἱππ. 1305. ἀνεκτὸς Κ 118. Ἀττ. πεζ., -τέος Σοφ. Ο. Κ. 883.— Ὑπισχνέομαι ἐπ. ποιητ. καὶ νέον Ἰων. Παρασχημ. ἐπ. ποιητ. καὶ νέος Ἰων. ὑπίσχομαι (συχνότερον τοῦ ὑπισχνέομαι παρ' Ἡρ.). ὑπισχνούμην (ὑπίσχοντο Ἡρ. 7, 168). ὑπεσχόμην πάγκοινον ἀπὸ τοῦ Ὁμ. ὑποσχήσομαι Ἀττ., ὑπέσχημαι καὶ ὑπεσχήμην ὁμοίως.— ἔχω σημ. κυρ. κρατῶ (μὲ τὰς χεῖρας), ὅπερ οἱ ἀρχαῖοι διὰ τοῦ βαστάζω ἐξηγοῦσιν. οὐ γὰρ ἔχω χεροῖν τὰν πρόσθεν βελέων ἀλκὰν Σοφ. Φιλ. 1150 διότι δὲν ἔχω εἰς τὰς χεῖρας μου τὴν προτέραν ἐκ τῶν βελῶν δύναμιν (κυρ. ἀποκρουστικήν). οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες γ 486 οἱ δὲ καθ' ὅλην τὴν ἡμέραν ἔσειον τὸν (ἐπικείμενον ἐπὶ τοῦ τραχήλου ἀμφοτέρων) ζυγόν, ἔχοντες αὐτὸν πέριξ (ὅστις περιέβαλλεν αὐτούς). ἔχει δέ τε κίονας αὐτὸς μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν α 53 κρατεῖ δὲ μόνος του τοὺς μακροὺς κίονας, οἵτινες κρατοῦσι χωριστὰ τὴν γῆν καὶ τὸν οὐρανόν. ὑψοῦ δὲ κάρη ἔχει Ζ 509 κρατεῖ δὲ ὑψηλὰ τὴν κεφαλήν του. πασάων δ' ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα ζ 107 ὑψηλότερον (κυρ. ὑπεράνω) δὲ πασῶν κρατεῖ τὴν κεφαλὴν καὶ τὸ μέτωπόν της. τὸν δὲ θυμωθέντα ἐμπηδῆσαι αὐτῇ ἐχούσῃ ἐν γαστρί, καί μιν ἐκτρώσασαν ἀποθανεῖν Ἡρ. 3, 32 ἐκεῖνος δὲ ὀργισθεὶς ἐλάκτισεν αὐτήν, ἔγκυον οὖσαν, εἰς τὴν κοιλίαν, καὶ οὕτως ἀποβαλοῦσα (ἔκαμεν ἔκτρωσιν καὶ) ἀπέθανεν. ἔχουσαν δὲ αὐτὴν (ἐνν. ἐν γαστρὶ) ἀληθεῖ λόγῳ οἱ τῆς ἐπελθούσης γυναικὸς οἰκεῖοι πυθόμενοι ὤχλεον Ἡρ. 5,41 ἐν ᾧ δὲ ἦτο ἀληθῶς ἔγκυος, οἱ οἰκεῖοι τῆς δευτέρας γυναικὸς πληροφορηθέντες τοῦτο τὴν ἠνώχλουν. ὅν (Βρόμιον) ποτ' ἔχουσ' ἐν ὠδίνων λοχίαις ἀνάγκαισι πταμένας Διὸς βροντᾶς νηδύος ἔκβολον μάτηρ ἔτεκεν Εὐρ. Βάκχ. 87 ὃν ἔχουσά ποτε ἐν γαστρὶ ἡ μήτηρ ἀπέτεκε προώρως (ἐξέβαλε) τῆς γαστρός, καταληφθεῖσα λοχίαις ἀνάγκαις ὠδίνων (ἐκ τούτου), ὅτι ἐπέσκηψε Διὸς βροντή (σὺν κεραυνῷ). σὺ δ' ἐν σαυτῷ (Δ. Γ. σαυτὸν) φρόνιμόν τι δοκεῖς ἔχειν; Ξεν. Ἀπομν. 1, 4, 8 νομίζεις ὅτι ἔχεις ἐν σεαυτῷ φρόνιμόν τι (νοητικόν τι); οὐ φιλάνθρωπος τύ γ' ἐσσ'· ἔχεις νόσον, χαίρεις διδοὺς Ἀπ. Ἐπιχάρ. 274 (Πλουτ. 510 C) τὸ νόημα εἶνε: εἶσαι δωρητικός, ἀλλὰ τοῦτο δὲν προέρχεται ἐκ φιλανθρωπίας ἀλλ' ἐκ νόσου: «αὐτὸ εἶνε ἀρρώστια: ἀρρώστια ἔχεις, γι' αὐτὸ δίδεις». χειρὸς ἔχων Μενέλαον Δ 154 κρατῶν αὐτὸν ἐκ τῆς χειρός. Πάτροκλος ἑτέρωθεν ἔχεν ποδὸς Π 763 ὁ Π. δὲ ἀφ' ἑτέρου τὸν ἐκράτει ἐκ τοῦ ποδός. ἐπίσχες· εὐθὺς γάρ σε μέσον ἔχω λαβὼν ἄφυκτον Ἀρφ. Νεφ. 1047 στάσου· διότι εὐθὺς («μιὰ φορὰ») ποῦ σε ἔπιασα ἀπὸ τὴν μέσην σὲ κρατῶ καὶ δὲν με φεύγεις· «ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων «Σχ. Καὶ παθ. ἔχομαι μέσος Ἀχ. 571 κυρ. κρατοῦμαι ἀπὸ τὴν μέσην, «ἀντὶ τοῦ ἥττημαι» Σχ. Ὁμοίως Ἱππ. 388. αὐτὸς ἔχε Εὐρ. Κύκλ. 270 ἔχε τα (τ. ἐ. τὴν κατάραν) ἐπάνω σου: ἐπάνω σου νὰ πέσῃ ἡ κατάρα. ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων, τῶν δὲ ζώντων ἐχομένων Θουκ. 2, 5 ἐν ᾧ ἤδη τῶν ἀνδρῶν οἱ μὲν ἦσαν διεφθαρμένοι, οἱ δὲ ζῶντες εἴχοντο. νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν Η 102 ἴδ. πεῖραρ. οἳ (Σκύθαι) γᾶς ἔσχατον τόπον ἀμφὶ Μαιῶτιν ἔχουσι λίμναν Αἰσχ. Πρ. 434 οἱ ὁποῖοι κατέχουσι, περὶ τὴν Μ. λίμνην, τὸν ἔσχατον τόπον τῆς γῆς. ὁ τὰν Κρῖσαν βούνομον ἔχων ἀκτὰν παῖς Ἀγαμεμνονίδας Σοφ. Ἠλ. 180 ὁ κατέχων τὴν Κρ. τὴν ὑπὸ βοῶν βοσκομένην ἀκτὴν υἱὸς τοῦ Ἀγαμέμνονος. ἔχεις χῶρον οὐχ ἁγνὸν πατεῖν Ο. Κ. 38 ἴδ. ἁγνός. καί μοι κῆπον ἔχει δ 737 καὶ μοῦ περιποιεῖται (φροντίζει διὰ) τὸν κῆπον. δύο δ' αἰὲν ἔχον πατρώϊα ἔργα β 22 διηνεκῶς εἶχον τὴν φροντίδα (τὴν ἐπιστασίαν) τῶν πατρικῶν ἀγρῶν, ἐνησχολοῦντο εἰς τοὺς πατρ. ἀγρούς. (ἵππους) αὐτὸς ἔχων ἀτίταλλε Ω 280 κρατῶν διὰ τὸν ἑαυτόν του (πρὸς ἰδίαν του χρῆσιν, κατ' ἀντίθ. πρὸς τὸ διδόναι ἐν Ε 271) περιεποιεῖτο. οὐχ ἅπαντες οἱ ἔχοντες τὰ αὐτῶν ἔχουσιν,

ἀλλὰ πολλοὶ καὶ τἀλλότρια κέκτηνται Δημ. 7, 26 ὄχι ἅπαντες ὅσοι ἔχουσιν ἔχουσι τὰ ἰδικά των, ἀλλὰ πολλοὶ ἔχουσιν εἰς τὴν κατοχήν των καὶ τὰ ξένα. πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει Σοφ. Αἴ. 157 κατὰ λέξ. ὁ φθόνος πηγαίνει πρὸς ἐκεῖνον «ποῦ ἔχει», δηλ. πρὸς τὸν εὔπορον, τὸν πλούσιον. Ὁμοίως λέγομεν καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ: «αὐτὸς ἔχει» ἐνν. χρήματα. Πρβ. οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου, δεινοὶ νέμοντες τῷ φθόνῳ πλεῖον μέρος, εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακά Εὐρ. Ἱκ. 240 οἱ δὲ πένητες (κυρ. ὅσοι δὲν ἔχουσι) καὶ στερούμενοι τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, παρασυρόμενοι πλέον τοῦ δέοντος ἐκ τοῦ φθόνου ῥίπτουσι τὰ ὀλέθρια αὐτῶν βέλη ἐναντίον τῶν πλουσίων (κυρ. ἐκείνων ποῦ ἔχουν)· τὸ δεινοὶ δὲν μετέφρασα, διότι εἶνε ἀσαφὴς ἡ ἔννοια αὐτοῦ, διορθουμένου ἄλλως ὑπ' ἄλλων (ἀεί: δύσνοι). Ἴσως ὧδε: οἱ δὲ δεινολογούμενοι ὅτι οὐκ ἔχουσι καὶ σπανίζουσι βίου, νέμοντες κτλ. ἐλπὶς δ' ἔκ γε πλουσίων δόμων λαβεῖν τι ναύταις, ἐκ δὲ μὴ ἐχόντων βίον, οὐδ' εἰ θέλοιεν ὠφελεῖν, ἔχοιμεν (Schmidt: ἔχοιεν) ἂν Ἑλ. 432 ἐλπίς ἐστι τοῖς ναύταις λαβεῖν τι ἔκ γε πλουσίων δόμων, ἐκ δὲ τῶν μὴ ἐχόντων βίον, οὐδ' εἰ θέλοιεν ἡμᾶς ὠφελεῖν, οὐκ ἂν ἔχοιμεν ὠφελεῖσθαι. Ὅθεν παρὰ Δημ. 45, 73 συνάπτεται τὸ ἔχων πρὸς τὸ πλουτῶν ὡς συνώνυμον: οὔκουν (οὕτως ἐγώ: οὐκοῦν) δεινόν... τούς... τοσούτων ἀγαθῶν ἡγεμόνας, τούτους περιορᾶν ἐν ταῖς ἐσχάταις ἀπορίαις ὄντας ἔχοντα καὶ πλουτοῦντα —; δὲν εἶνε λοιπὸν φοβερὸν πρᾶγμα νὰ ἐγκαταλείπῃ εἰς τὴν ἐσχάτην ἔνδειαν (αὐτὸς) εὔπορος ὢν καὶ πλούσιος ἐκείνους, οἵτινες ὡδήγησαν αὐτὸν εἰς τόσα ἀγαθά; ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν Θουκ. 3, 62 ἐλπίσαντες ὅτι θὰ λάβωσιν ἔτι μεγαλιτέρας (κυρ. ἀκόμη καλλίτερον, εἰς ἀνώτερον βαθμὸν) ἰδίας δυνάμεις. κοὐκ ἄλλον ἕξεις εἰς τάδε Σοφ. Ο. Κ. 1028 δὲν θὰ ἔχῃς ἄλλον βοηθὸν (ἵνα σε βοηθήσῃ) εἰς ταῦτα. τοῦπερ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι Ζ 398 τούτου λοιπὸν ἡ θυγάτηρ εἴχετο ὑπὸ τοῦ Ἕκτορος ὡς σύζυγος τ. ἔ. τούτου τὴν θυγατέρα εἶχεν ὁ Ἕκτωρ σύζυγον. ἔχω καὶ οὐκ ἔχομαι Ἀθην. 544 D τὴν ἔχω, δὲν με ἔχει. οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην υ 377 «ποῦ τὸν διάλεξες καὶ ἔφερες («ἐσυμμάζεψες») ἐδῶ αὐτὸν τὸν ἀλήτην» ἤ: «λαμπρὸν ζήτουλαν πῆγες καὶ μᾶς ἔφερες ἐδῶ» κττ. ἴδ. ἐπίμαστος. προθύμως εὖ οἶδ' ὅτι ἔχει ὑπακουούσας Ξεν. Κ. Π. 1, 6, 19 ἔχει (τὰς κύνας) προθύμως πειθομένας. οὐ δυνήσομαι πειθομένους αὐτοὺς πολὺν χρόνον ἔχειν 7, 2, 11 δὲν θὰ ἐμπορῶ νὰ τοὺς ἔχω πολὺν χρόνον εὐπειθεῖς, «'ς τὴν ὑπακοήν μου». Ζῆν' ἔχων ἐπώμοτον Σοφ. Τρ. 1188 ἴδ. ἐπώμοτος. ἀναπτερώσας αὐτὴν οἴχεαι ἔχων ἐκκλέψας Ἡρ. 2, 115 ἀφ' οὗ «τὴν ἐφτέρωσες» (δηλ. τῆς ἐσήκωσες, τῆς ἐφούσκωσες τὰ μυαλά), τὴν ἔκλεψες καὶ ἔφυγες. Ὡς λέγεται ἐν τῇ ὁριστ. ἔχω ἐκκλέψας σχεδὸν = ἐκκέκλοφα, οὕτω καὶ κατὰ μτχ. ἔχων ἐκκλέψας.—ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται Σ 130 τὰ λαμπρὰ ὅπλα κατέχονται μεταξὺ τῶν Τρώων, εὑρίσκονται εἰς τὴν ἐξουσίαν τῶν Τρ. οὐδέποτ' αἴθρη κείνου ἔχει κορυφὴν μ 75 οὐδέποτε αἰθρία κατέχει τὴν κορυφὴν ἐκείνου. αἰεὶ δ' ὄμβρος ἔχει τεθαλυῖά τ' ἐέρση ν 245 πάντοτε κατέχει (τὴν γῆν ταύτην) βροχὴ καὶ ἄφθονος δρόσος· πρβ. «ἔχει βροχή». ὅστε μιν αὐτὴν ῥύσκευ, ἔχες δ' ἀλόχους Ω 729 ἴδ. ἐπίσκοπος. Μηριόνης ἐξείρυσε χειρὸς τόξον· ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν Ψ 871 ἐπῆρεν ἀπὸ τὴν χεῖρα τοῦ (Τεύκρου) τὸ τόξον· εἶχε δὲ ἐκ πολλοῦ χρόνου (ἕτοιμον) τὸ βέλος, ἐν ᾧ (ἀκόμη) ἐσημάδευεν (ὁ Τεῦκρος). παρὲξ ἔχε δίφρον Ἡσ. Ἀσπ. 352 ἔξω τῆς ὁδοῦ, «παράμερα», διεύθυνε τὸν δίφρον. ἰθὺς ἔχειν θοὸν ἅρμα Αὐτ. 97 νὰ διευθύνῃς κατ' εὐθεῖαν τὸ ταχὺ ἅρμα. παρὰ τὴν ἤπειρον ἔχον τὰς νέας Ἡρ. 6, 95 διηύθυνον τὰ πλοῖα πλησίον τῆς ξηρᾶς. Ἀλλ' ἐν 6, 92 (6, 101 καὶ 5, 33) νέες ἔσχον ἐς τὴν Ἀργολίδα χώραν σημ. προσήγγισαν, ἤραξαν εἰς τὴν Ἀργ. Πύλονδ' ἔχον γ 182 ἐτράβηξα, ἔπλευσα πρὸς τὴν Πύλον. Πάτροκλος δ' ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαόν, τῇ ῥ' ἔχ' ὁμοκλήσας Π 378 ὁ δὲ Π. ὅπου εἶδε πλεῖστον λαὸν ταραττόμενον, ἐκεῖσε διηύθυνε τοὺς ἵππους του φωνάξας δυνατὰ (ἀπειλητικῶς). κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων ἔχριμπτ' ἀεὶ σύριγγα Σοφ. Ἠλ. 720 ἐκεῖνος δέ, ὁσάκις διηύθυνε τοὺς ἵππους ἀκριβῶς ὑπὸ τὸ ἐξώτατον μέρος τῆς στήλης (ἐνν. τὴν ἐξωτερικὴν ἐπιφάνειαν τῆς στήλης), πολὺ προσήγγιζε πάντοτε τὴν σύριγγα εἰς τὴν στήλην. κἂν τὰ λοίφ' οὕτω φρονῇς, ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα Σοφ. Φιλ. 1259 καὶ ἂν τοῦ λοιποῦ οὕτω σκέπτησαι, ἴσως (τ. ἔ. ἐμπορεῖ νὰ πιστεύσῃ τις ὅτι) θὰ διέλθῃς τὸν βίον ἀτιμώρητος. ἀλλ' ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων Αἰσχ. Πρ. 360 κυρ. κρατῶν σεαυτὸν μακράν, ἱστάμενος ἐκτὸς παντὸς κινδύνου, οὐδόλως ἀναμειγνυόμενος εἰς ξένας ὑποθέσεις. στυγερὰν ἔχε δύσποτμον ἀρὰν ἐπ' ἄλλοις Σοφ. Φιλ. 1119 κυρ. διεύθυνε τὴν στυγερὰν δύσπ. κατάραν σου ἐναντίον ἄλλων (ὄχι ἐναντίον τοῦ Ὀδυσσέως καὶ ἡμῶν). Ὁμοίως Ἀντ. 986 περὶ οὗ ἴδ. κατωτ. ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων Αἴ. 191 οὕτως ἔχων τὸ ὄμμα σου προσηλωμένον εἰς τὰς παρὰ τὴν θάλασσαν σκηνάς· ἴδ. αἴρω. ‖ τὴν διάνοιαν, τὸ φρόνημα, τὴν γνώμην πρός τι διευθύνω· δεῦρο νοῦν ἔχε Εὐρ. Ὀρ. 1181 ἔχε ἐδῶ τὸν νοῦν σου. ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν Θουκ. 3, 22 διὰ νὰ μὴ ἔχουν εἰς αὐτοὺς τὸν νοῦν των: διὰ νὰ μὴ προσέχουν εἰς αὐτούς. ἔχ' αὐτοῦ πόδα σόν Εὐρ. Ἰ. Τ. 1159 αὐτοῦ στάσου: μὴ προχωρῇς περαιτέρω. πύργων γῆς ἔσχομεν κατασκαφὰς εἰς τὴν παροῦσαν ἡμέραν Φοίν. 1203 ἐμποδίσαμεν τὴν κατασκαφὴν τῶν πύργων τῆς χώρας μέχρι τῆς παρούσης ἡμέ-

ρας. ἤ τινα καὶ Δαναῶν, ἀλκῆς μάλα περ μεμαῶτα, σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος Ρ 182 ἤ τινα καὶ τῶν Δ., καίπερ προθυμότατα μαχόμενον, ἐπισχήσω ἀμύνεσθαι ὑπὲρ Πατρόκλου ἀποθανόντος· ἡ περὶ δὲν ἀποκλείει τὴν ἔννοιαν τοῦ πέριξ. οὐκ ἄν ποτ' ἔσχον μὴ τάδ' ἐξειπεῖν πατρί Εὐρ. Ἱππ. 658 ποτὲ δὲν θὰ ἐβασταῦσα νὰ μὴ ἀνακοινώσω ταῦτα εἰς τὸν πατέρα μου. Ἀριστόδικος ἔσχε μὴ ποιῆσαι ταῦτα Κυμαίους Ἡρ. 1, 158 ἐπέσχε τοὺς Κυμ. μὴ ποιῆσαι ταῦτα, ἐμπόδισε τοὺς Κ. νὰ κάμωσι ταῦτα. τὸ δὲ μὴ λεηλατῆσαι ἔσχε τόδε 5, 101 ἴδ. κατωτ. ἐν δὲ τῷ σέβας ἀστῶν φόβος τε συγγενὴς τὸ μὴ ἀδικεῖν σχήσει Αἰσχ. Εὐμ. 693 ὁ δ' ἐν αὐτῷ (τῷ Ἀρείῳ Πάγῳ) ἑδράζων σεβασμὸς τῶν πολιτῶν καὶ ὁ πρὸς αὐτὸν συγγενεύων φόβος θὰ περιορίζῃ πᾶσαν ἀδικίαν. ὃς τὸν λωβητῆρα ἔσχ' ἀγοράων Β 275 ὃς τὸν ὑβριστὴν ἐπέσχε τῶν δημηγοριῶν. ὃ ταύτην τῶν μακρῶν σχήσει γόων Σοφ. Ἠλ. 375 τὸ ὁποῖον (κακὸν) θὰ τὴν ἐμποδίσῃ ἀπὸ τοὺς αἰωνίους θρήνους της. κἄρριψε πέτρον στέρνον εἰς Ἡρακλέους, ὅς νιν φόνου μαργῶντος ἔσχε Εὐρ. Ἡρ. Μ. 1005 καὶ ἔρριψεν ἐπάνω εἰς τὰ στήθη τοῦ Ἡρ. πέτραν, ἡ ὁποία τὸν ἀνεχαίτισεν ἐκ τοῦ ὁρμητικοῦ φόνου. Ὁ Nauck διόρθ. μαργῶντ' ἐπέσχε τ. ἔ. ἐπέσχεν αὐτὸν τοῦ φόνου, ἐφ' ὃν ὥρμα: εἰς τὸν ὁποῖον ὁρμητικῶς ἐφέρετο. πᾶς ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι Ξεν. Ἀν. 3, 5, 11 ἤ: ἐφέξει (ἀποκωλύσει) τοῦ μὴ καταδῦναι (κυρ. ἀπὸ τοῦ νὰ μὴ καταβυθισθοῦν), ἤ: θὰ βαστάζῃ δύο ἄνδρας ὥστε νὰ μὴ βυθισθῶσι. «Τὸ δὲ μὴ λογικῶς μὲν φαίνεται παρέλκον, ἀλλὰ σύνηθες εἶνε μετὰ τὰ κωλύσεως σημαντικά· διότι τὸ «ἕξει τοῦ μὴ καταδῦναι» ἰσοδυναμεῖ συντακτικῶς τῷ ἑπομ. «ὥστε δὲ μὴ ὀλισθάνειν ἡ ὕλη καὶ ἡ γῆ σχήσει» (Παντάζίδης) διὰ νὰ μὴ γλιστροῦν δέ, θὰ ἐμποδίζῃ τὸ χῶμα καὶ τὰ κλαδιά. Ἐν τῇ τοιαύτῃ γεν. τοῦ ἀπρφ. τὸ μὴ ἐλλείπει ὡς Ξεν. Ἀν. 1, 6, 2. Ἑλλ. 4, 8, 5: τούτους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ ἐκπεπλῆχθαι τοὺς ἀπήλλαξε τῆς ἐκπλήξεως. Μετὰ δὲ τῆς ἐν. αἰτ. τοῦ συνάρθρου ἀπρφ. τίθεται ἐνίοτε τὸ μή, ὡς τὸ μὴ λεηλατῆσαι ἑλόντας σφέας τὴν πόλιν ἔσχε τόδε Ἡρ. 5, 101 τ. ἔ. τόδε ἔσχεν (=ἐκώλυσεν) ἑλόντας σφέας τὴν πόλιν τὸ μὴ λεηλατῆσαι (αὐτήν). Ὁμοίως Θουκ. 3, 1. Ἴδε καὶ ἀνωτ. Αἰσχ. Εὐμ. 693. Ἄλλως τὸ τὸ μή (ὃ ἴδε) εὕρηται συχν. παρ' Αἰσχύλῳ.— Ἄλλως· ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν ὀστέον Π 740 ἀμφ. δὲ τὰς ὀφρῦς συνέθλασεν ὁ λίθος καὶ δὲν τοῦ (δηλ. τοῦ Κεβριόνου) τὸν ἐμπόδισε (ἐκράτησε) τὸ ὀστοῦν.— ἔσχον (=ὑπέμειναν) πολέμιοιο νεῖκος Πίνδ. Ἰ. 7, 36 ἴδ. νεῖκος. Ἐνίοτε τὸ ἔχειν μετὰ τοῦ ἀντικειμένου συναποτελεῖ μίαν ἔννοιαν, καὶ συντάσσεται ἀναλόγως· ἔν σοι μομφὴν ἔχω Εὐρ. Ὀρ. 1069 = ἔν σοι μέμφομαι. λέγ', ὡς τὸ μέλλον καρδία πήδημ' ἔχει Βάκχ. 1288 ὡς τὸ μέλλον δέδοικε (παλλομένη ἡ) καρδία· τὸ πήδημ' ἔχει = δέδοικε, κυρ. παλλομένη δέδοικε ἐκ τούτου δὲ ἐξαρτ. ὡς ἀντικείμ. ἡ αἰτ. τὸ μέλλον. — ἄλλως πως ἔχει τὴν ὀργὴν ἐπὶ Μειδίαν ἢ ὡς δέον αὐτὸν τεθνάναι Δημ. 21, 70 κυρ. κατ' ἄλλον τινὰ τρόπον ἔχει τὴν ὀργήν του (δηλ. δὲν εἶνε τόσον ἐξωργισμένος) ἐναντίον τοῦ Μειδίου, ἢ ὥστε νὰ νομίζῃ ὅτι πρέπει νὰ φονευθῇ. ἐχθροῦ ἐπήρειαν ἔχει (=περιέχει) καὶ ὕβριν καὶ λοιδορίαν 18, 12. ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει (= προκαλεῖ) 10, 45. ἀγανάκτησιν ἔχει Θουκ. 2, 41 = παρέχει. τῶν κατηγοριῶν.. (ὁ ἀγὼν) οὐκ ἔχει (=παρέχει) δίκην τῇ πόλει ἀξίαν λαβεῖν Δημ. 18, 12 ἡ δίκη αὕτη δὲν παρέχει εἰς τὴν πόλιν τὸ δικαίωμα νὰ τιμωρήσῃ ἐπαξίως τοιαύτας κατηγορίας. συγγνώμην ἔχω = παρέχω συγ., συγγιγνώσκω: συγγνωστὰ μὲν γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει, προδότην γενέσθαι πατρίδος Εὐρ. Φοίν. 1000 «τὸ νὰ προδώσω τὴν πατρίδα ποῦ μ' ἐγέννησε, εἶνε γιὰ τὸν γέρο συγχωρεμένα πράματα, μὰ γιὰ μένα εἶνε πρᾶγμα ἀσυγχώρητον» Δ. Βερναρδ. ἔχει δὲ τοὐμὸν οὐκ ἀναίδειαν, γέρον, ἀλλ' εὐλάβειαν Ἡρ. Μ. 164 πράττω δ' οὕτως ἐγὼ οὐκ ἐξ ἀνεπιεικείας ἀλλ' ἐξ εὐλαβείας: ἐμοῦ δὲ ἡ διαγωγὴ δὲν δεικνύει σκληρότητα ἀλλὰ προφύλαξιν. ἀπόδειξιν ἔχει Θουκ. 1, 97 = παρέχει ἀπ. (πρβ. 1, 140. 2, 61. 3, 53. 4, 95 κτλ.). ἐμπέφυκε γὰρ γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν ἀνὰ στόμα αἰεὶ καὶ διὰ γλώττης ἔχειν Εὐρ. Ἀνδρ. 93 κυρ. αἱ γυναῖκες φυσικὰ εὐχαριστοῦνται εἰς τὰ παρόντα κακά, δηλ. νὰ τὰ ἔχουν πάντοτε εἰς τὸ στόμα των καὶ νὰ τὰ γυρίζουν μὲ τὴν γλῶσσάν των. Τὸ παρεστώτων κακῶν ἑλκυσθὲν ὑπὸ τοῦ τέρψις συνεφώνησε πρὸς αὐτό, ἐπηνέχθη δὲ τὸ ἀπρφ. ἐπεξηγήσεως χάριν. Ὁμαλώτερον θὰ ἦτο ὧδε: τέρψις τὰ παρεστῶτα κακὰ — ἔχειν. διὰ στέρνων ἔχειν Σοφ. Ἀντ. 639 ἴδ. διά. οὔτ' εὔλογον οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτο Δημ. 2, 26 οὔτ' εὔλ. οὔτε φυσικὸν εἶνε (διότι τὸ φυσικὸν παρ' ἀρχ. ἄλλο σημ.)· πρβ. δόξαν γὰρ τόδ' ὑγιείας ἔχει (=παρέχει) Εὐρ. Ὀρ. 235 τὸ ἀναστῆναι (=τόδε) παρέχει αὐτῷ τὴν δόξαν τῆς ὑγ.: ὅταν σταθῇ κανεὶς εἰς τὰ πόδια του, νομίζει ὅτι εἶνε ὑγιής.— τὴν ἁμαρτίαν ἔχει... τοῖς τρόποισιν ἔμφυτον Ἀπ. Εὐρ. 1027 ἴδ. ἁμαρτία. Ζηνὸς ἔχεις κυλίκων πλήρωμα Τρ. 823 ἔχεις ὡς ἔργον τὸ πλήρωμα τῶν κυλίκων τοῦ Διός. οὗτος ὑμῖν τοῖς προδιδοῦσι τὸ ἔχειν ἐφ' ὅτῳ δωροδοκήσετε περιποιεῖ Δημ. 18, 49 παρέχει τὴν εὐκαιρίαν εἰς ὑμᾶς τοὺς πρ. νὰ ἔχητέ τι, διὰ τὸ ὁποῖον νὰ δωροδοκηθῆτε. Καὶ ἀντιστρόφως λέγεται· πότμος σε δαιμόνων τάδ', οὐδέ σέ γε δόλος ἔσχ' ὑπὸ χειρὸς ἐμᾶς Σοφ. Φιλ. 1117 θεία (ἐκ θεοῦ, θεόπεμπτος) μοῖρα εἶνε αὐτὰ (ποῦ σε εὑρῆκαν), καὶ δὲν σε κατέλαβε δόλος (προερχόμενος) ἐκ τῆς ἐμῆς χειρός. Τὸ πρῶτον σε δυσκόλως δικαιολογεῖται· ὅθεν

οἱ μεν ὑπονοοῦσιν τὸ ἐποίησε (ἀλλὰ δύναται νὰ ὑπονοηθῇ; πρβ. τὸ Τραχ. 1278), οἱ δὲ ἀντὶ τοῦ ἔσχ' γράφουσιν ἔρξ'. Τὸ δ' ἕτερον σέ γ' Ὁμηρικῷ τῷ τρόπῳ ἐπανελήφθη ἐν τῇ δευτέρᾳ προτάσει πρὸς ἀνάδειξιν τοῦ σέ. Τὴν δὲ ὑπὸ δικαιολογεῖ ὁ Wunder, διότι ὁ δόλος ἔσχεν = ἐσχέθης (ὀρθότερον: ἔσχου) δόλῳ.—ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν Αὐτ. 331 ἡ μοῖρα κατέλαβε τὸν Ἀχ. ὥστε ν' ἀποθάνῃ: κατέλαβεν αὐτὸν τὸ μοιραῖον τέλος. ἃ μὲν γὰρ ἐξείρηκας ἀγνοία μ' ἔχει Σοφ. Τρ. 350 διότι ὅσα ἔχεις φανερώσῃ ἀγνοῶ. Τὸ ἃ= τούτων ἅ, ἀλλὰ δυνατὸν νὰ εἶνε = ταῦτα ἅ, διότι τὸ ἀγνοία μ' ἔχει = ἀγνοῶ. καὶ γάρ τινες αὐτοὺς εὐεργεσίαι εἶχον Ἡρ. 1, 69 διότι κατεῖχον (ὑπεχρέωνον) αὐτοὺς εὐεργεσίαι τινές. δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο κ 160 διότι ἤδη (ἀπὸ τώρα) κατεῖχεν (ἐβασάνιζεν) αὐτὸν ἡ δύναμις (ὁ καύσων) τοῦ ἡλίου. ἔνδοθεν λαβὼν ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει Σοφ. Φιλ. 645 ἀφ' οὗ λάβῃς ἀπὸ μέσα (ἀπὸ τὸ σπήλαιον) ὅ τι σε χρειάζεται καὶ μάλιστα ποθεῖς. Ὅμοιόν τι ὑπάρχει καὶ ἐν τῷ χωρίῳ Ἠλ. 495: πρὸ τῶνδε (κυρ. ἐνν. ἁμιλλημάτων, συνδ. τῷ πελᾶν) τοί μ' ἔχει μήποτε μήποθ' ἡμῖν ἀψεγὲς πελᾶν τέρας τοῖς δρῶσι καὶ συνδρῶσιν. Τὸ νόημα εἶνε: διὰ ταῦτα πολὺ φοβοῦμαι, μήπως τὸ σημεῖον τὸ ὑφ' ἡμῶν ἄψεκτον πλησιάζει τοὺς ἐργάτας καὶ συνεργάτας τοῦ φόνου. Ὡς ὑποκ. ἐνν. συνήθως τὸ τόδε ἢ τὸ πελᾶν, παραβάλλουσι δὲ τὸ εἰσῄει μοι, ὑπῆλθέ μοι κττ. Ἄλλοι διορθ. πελᾷ, ἄλλοι πρὸς ὧν δέος μ' ἔχει: πρὸ τῶνδέ τοι μένει: πρὸ τῶνδε πείθομαι κττ. Ἴσως γρ. πρὸ τῶνδε δεῖμ' ἔχει.—ὥς σφεας ἡσυχίη τῆς πολιορκίης ἔσχε Ἡρ. 6, 135 ὅτε ἡσύχασαν. ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς Σοφ. Αἴ. 272 = ἥδετο τοῖς κακοῖς, ἐν οἷς εἴχετο: εὐχαριστεῖτο μὲ τὰ κακά, ὑπὸ τῶν ὁποίων κατείχετο. ἐν ἀπόρῳ εἴχοντο θέσθαι τὸ παρόν Θουκ. 1, 25 εὑρίσκοντο εἰς ἀπορίαν (ἠπόρουν) νὰ ἐξοικονομήσωσι (διευθετήσωσι) τὴν παροῦσαν κατάστασιν. τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει, ὑφ' οἵων κακοπαθεῖ 2, 41 τῷ πολεμίῳ παρέχει ἀγανάκτησιν (δίδει εἰς αὐτὸν ἀφορμὴν ν' ἀγανακτῇ), ὅτι ὑπὸ τοιούτων (τ. ἔ. ἀναξίων) κακοπαθεῖ. Τὸ ἐπελθόντι οἱ μὲν ὀβελίζουσιν, οἱ δὲ ἄλλως διορθοῦσιν· ἀλλ' ὁ ῥήτωρ ἐνν. ἐνταῦθα πολέμιον ὄχι μακρὰν ὄντα, ἀλλ' ἐπελθόντα· διότι ὁ ἐπελθὼν πολέμιος βλέπων ἐκ τοῦ σύνεγγυς τὸ μεγαλεῖον τῶν Ἀθηνῶν καὶ τὸ φρόνημα τῶν Ἀθηναίων δὲν ἀγανακτεῖ, ὅτι ἐνικήθη ὑπὸ τοιούτων ἀνδρῶν. αἰσχύνην οὔπω ἔχοντος τοῦ ἔργου 1, 5 = φέροντος, συνεπαγομένου. πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν 6, 46 πολὺ κατηγοροῦντο ὑπὸ τῶν στρατιωτῶν: δεινῶς ᾐτιῶντο αὐτοὺς οἱ στρατιῶται. τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ 2, 61 ἡ μὲν βλάβη νῦν δὴ παρέχει ἑκάστῳ τὴν αἴσθησιν: γίνεται ἐπαισθητὴ εἰς ἕκαστον. Τὴν συνέχειαν ἴδε ἐν τῷ ἄπειμι.

τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν Σοφ. Ἠλ. 466 τὸ δίκαιον δὲν παρέχει καμμίαν ἀφορμὴν εἰς δύο πρὸς λογομαχίαν (τὸ ἐρίζειν εἶνε κυρ. ἐπεξήγησις τοῦ λόγον, δηλ. διὰ νὰ ἐρίζωσι), ἀλλὰ πρέπει νὰ ἐπιταχύνῃ τὸ ἔργον. οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν Πλ. Πολ. 435 Ε ἴδ. αἰτία. Ἀλλὰ λέγεται καὶ ἀμτβ. αἰτίη ἔσχε Ἡρ. 6, 115 περὶ οὗ ἴδ. ἐπινοέω.—ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει Δημ. 10, 44 παρέχει (περιέχουσιν ἐν ἑαυτοῖς). οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν (ἔχει) ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται Θουκ. 2, 41 οὔτε εἰς τοὺς ὑπηκόους δίδει ἀφορμὴν νὰ παραπονεθοῦν, ὅτι ὑπὸ ἀναξίων ἐξουσιάζονται. Διάφορον τὸ παρὰ Πλάτ. Γοργ. 503 Ε ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται, περὶ οὗ ἴδ. ἔργον ἐν τέλει. ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον σ 364 διὰ νὰ ἐμπορῇς νὰ τρέφῃς τὴν ἀκόρεστόν σου κοιλίαν. οὐδὲ πόδεσσιν εἶχε στηρίξασθαι Φ 242 καὶ δὲν ἠδύνατο νὰ στηριχθῇ μὲ τοὺς πόδας του. ἔγνωκα τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω Αἰσχ. Πρ. 51 ἀπὸ αὐτὰ (ποῦ γίνονται) τὸ ἐκατάλαβα καὶ δὲν ἔχω νὰ ἀντείπω τίποτε. ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν Εὐρ. Ἑκ. 761 «τὸν βλέπω· μὰ τί θὰ βγῇ ἀπ' αὐτό, δὲν μπορῶ νὰ καταλάβω» Δ. Βερν. ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν; Πλ. Γοργ. 453 Α ἢ ἔχεις λέγειν τὴν ῥητορικὴν δύνασθαί τι ἐπὶ πλέον (ὅτι ἡ ῥητορικὴ δύναταί τι ἐπὶ πλέον) ἢ ποιεῖν πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ; τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύναι Θουκ. 4, 85 ἴδ. δοκέω.—μόνας δὲ σῴζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν Σοφ. Ο. Κ. 262 ἴδ. οἷος. ἀλλ' οὔπως ἔτι εἶχε Ρ 354 ἀλλὰ κατ' οὐδένα τρόπον ἠδύνατο πλέον (ἐνν. πρόφρων Δαναοῖς μάχεσθαι). Καὶ συνδ. μετὰ τοῦ δύναμαι, ὡς ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν ἔχοι τε καὶ δύναιτο Σοφ. Ο Τ. 314 (ἴδ. δύναμαι). ἥ σε πολλὰ δὴ ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προύστην χερί Ἠλ. 1377. ἴδ. προΐστημι. ἐξ οἵων ἔχω αἰτῶ Αὐτ. 1379 διδοῦσά σοι οἷα ἔχω, αἰτῶ. ἐπεκούρησας ὅσον εἶχες φίλοις Εὐρ. Ἰ. Τ. 1453 ὅσον ἠδύνασο. οὐδ' ἔχω τίς ἂν γενοίμαν Πρ. 936 οὐδὲ ἔχω (ἠξεύρω) τί νὰ γίνω. ὅπως μολούμεθ' ἐς δόμους οὐκ ἔχω Σοφ. Ο. Κ. 1740 πῶς θὰ ἔλθωμεν εἰς τὴν πατρίδα, δὲν ἠξεύρω. ὑμῖν οὐκ ἔχω τί χρήσομαι Εὐρ. Ἡρακλ. 439 δὲν ἠξεύρω τί θὰ σᾶς κάμω. τὰ τῆς Πύλου .... οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς αὐτῶν Θουκ. 4, 8 = οὐχ ἕξειν χωρία, ὅθεν κτλ. ἔχει δέ μοι πρὸς δίκας τι Σοφ. Ο. Κ 545 ἴδ. δίκη ‖ οἱ τὰς τέχνας ἔχοντες Ξεν. Ἀπομν. 3, 10, 1 οἱ εἰδήμονες τῶν τεχνῶν, οἱ τεχνῖται. ἔχεις τι κεἰσήκουσας; Σοφ. Ἀντ. 9 γνωρίζεις τι καὶ ἤκουσας; (κατὰ προθύστερον σχῆμα). ὡς μάθω τί μοι νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις Φιλ. 560 διὰ νὰ μάθω τίνα νεωτέραν ἀπόφασιν δι' ἐμὲ ἐκ μέρους τῶν Ἀργείων γνωρί-

ζεις. Ὅπου τὸ ἔχεις=ἔγνωκας.— καὶ μάθ' οὕνεκ' ἔστι σοι βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης. Σοφ. Ο. Τ. 708 ὅπου συνήθως τὸ ἔχον ἐκλαμβάνουσιν ἀντὶ τοῦ μετέχον· ὁ δὲ Σχολ. ἑρμηνεύει διὰ τοῦ «ἐχόμενον, ἤγουν ἁπτόμενον». Ἀλλ' αἱ ἑρμηνεῖαι αὗται εἶνε ἀναιτιολόγητοι. Ἴσως ὧδε μᾶλλον: «ἔστι σοι (=εἰ βούλει εἰδέναι) οὐδεὶς βροτὸς εἰδὼς μαντικῆς τέχνης», κατὰ τὸ εὖ εἰδὼς τόξων, τεράων κτλ. «ποῦ γνωρίζει ἀπὸ μαντικὴν τέχνην»· πρβ. εἴδω καὶ ἐπίσταμαι.— περίοδον καὶ κύκλωσιν χωρίου ἰσχύι οὐκ εἶχον Θουκ. 4, 35 δὲν ἠδύναντο διὰ τὸ ὀχυρὸν τῆς θέσεως νὰ περικυκλώσωσιν αὐτούς. ἄλλον δ' αἶνον ἔχω ματροπόλει Σοφ. Ο. Κ. 707 κυρ. ἔχω διὰ τὴν μητρόπολιν. εἰ δὲ λέκτρα διέφυγες τάδ', οὐκ ἔχω (=ἀγνοῶ, δὲν ἠξεύρω) Εὐρ. Ἑλ. 794. εὖ τοι κομιδὴ ἔχει ω 245 κυρ. καλῶς ἔχει σοι ἡ τοῦ κήπου καλλιεργία. εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας Ἀπ. Ἀδ. Τρ. 10 (ἴδ. καὶ III Kock σ. 609) «γιὰ πανδρειὰ εἶσαι καϋμένε»!: «μόνον ἡ πανδρειὰ σὲ λείπει» κτλ. κακῶς ἄρ' ὄντως εἶχες (δηλ. ὅτε ἐδάνειζες τὰ χρήματα) Ἀρφ. Νεφ. 1271 δὲν ἤσουν 'ς τὰ καλά σου μὰ τὴν ἀλήθεια. ἠὺ (Hermann: εὖ, ὁ Schröder: ἐσλὰ) δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν Πίνδ. Ὀ. 5, 17 οἱ ἔχοντες τύχην («ἐπιτυχόντες: εὐδαιμονήσαντες» Σχ.) θεωροῦνται καὶ ὑπὸ τῶν πολιτῶν ὡς σοφοί.— Πολλάκις τὸ ἔχει μετά τινος ἐπιρρήματος κεῖται ἀπροσώπως, ὅτε ὡς ὑποκ. ἐνν. τὸ πρᾶγμα, ἀλλὰ κυρ. ὑποκ. εἶνε ἡ ἐν τῷ ῥήμ. περιεχομένη ἔννοια, ὡς καλῶς ἔχει ἐνν. τὸ πρᾶγμα. Ὁμοίως ὄντως ἔχει μοι Σοφ. Ο. Κ. 599 ἐνν. τὸ πρᾶγμα=οὕτως ἔχει τἀμά. οὐ κατὰ δίκην τι μᾶλλον οὐδὲ κατὰ ξυγγένειαν μετ' ἀλλήλων στάντες, ἀλλ' ὡς ἑκάστοις τῆς ξυντυχίας ἢ κατὰ τὸ συμφέρον ἢ ἀνάγκη ἔσχεν Θουκ. 7, 57 ὄχι τόσον κατὰ τὸ δίκαιον οὐδ' ἕνεκα φυλετικῆς συγγενείας συνδεθέντες πρὸς ἀλλήλους, ἀλλ' ἀναλόγως τῆς συντυχίας (τῆς συνδρομῆς τῶν τυχαίων περιστάσεων), ἥτις ὑπῆρξεν εἰς ἑκάστους ἢ ἕνεκα τοῦ συμφέροντος ἢ ἕνεκα ἀνάγκης (κυρ. ἀναλόγως τῆς συντυχίας, ἣν ἔσχε τὸ πρᾶγμα (ὡς ὑποκ.) πρὸς ἑκάστους ἢ ἕνεκα τοῦ συμφέρ. κτλ.). Πρβ. δεινῶς ἔχει με ταῦτα τολμῆσαι, δεινῶς δὲ καὶ μή· τοῦτο γὰρ πρᾶξαί με δεῖ Εὐρ. Ἰ. Α 1257 «δεινόν με ταῦτα τολμῆσαι, γύναι, δεινὸν δὲ καὶ μὴ τολμῆσαι ταῦτα· τοῦτο γὰρ (τολμῆσαι ταῦτα) πρᾶξαί με δεῖ» Δ. Βερν. καθ' ὃν τὸ δεινόν με (=δεινῶς ἔχει με) ταῦτα τολμῆσαι (=δεινὸν πρᾶγμα εἶνε νὰ τολμήσω ταῦτα) εἶνε διάφορον τοῦ «δεινόν μοι (τ. ἔ. δεινῶς ἔχει μοι κατὰ τὴν διόρθ. τὸν Ῥεϊσκίου) τολμ. ταῦτα»=δεινὸν πρᾶγμα μοῦ εἶνε νὰ τολμήσω ταῦτα. δόμοις δὲ τοῖσδε παγκάκως ἔχει φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι Αἰσχ. Χο. 736 ὁ οἶκος οὗτος ἔχει κάκιστα ὑπὸ (ὡς ἐκ) τῆς φήμης, ἣν ἤγγειλαν οἱ ξένοι. ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει Σοφ. Αἴ. 684 περὶ μὲν τούτων (τῶν σκοπῶν μου) καλῶς θὰ ἔχῃ τὸ πρᾶγμα. Πρβ. οἱ Ἀργεῖοι ἄριστα ἔσχον Θουκ. 5, 28 περὶ οὗ ἴδ. ἐκκαρποῦμαι. τοῖσι οὕτω εἶχε ὅρμου Ἡρ. 7, 188 ἴδ. κατωτ. οὕτω δὴ καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκονομίας Ξεν. Οἰκ. 2, 12 ἐνν. τὸ πρᾶγμα. ἐπειδὴ δὲ καλῶς αὐτῷ εἶχεν Λυσ. 1, 23 τ. ἔ. ἀφ' οὗ ἐχόρτασεν· ἴδ. καλός. Ὁμοίως ἀπροσώπως καὶ ἐν Πλ. Γοργ. 495 Ε: εἴπερ ἐναντία ἐστὶ ταῦτα ἀλλήλοις, ἀνάγκη περὶ αὐτῶν ἔχειν ὥσπερ περὶ ὑγιείας ἔχει καὶ νόσου ὅπου χάριν εὐκολίας δυνάμεθα νὰ ἐννοήσωμεν ὡς ὑποκ. τοῦ ἔχει(ν) τὸ τὸ πρᾶγμα, ἀλλὰ κυρ. ὑποκ. εἶνε τὸ ἀφῃρημένον τοῦ ἔχειν. Ὁμοίως Φαῖδρ. 23 D. πρβ. Γοργ. 467 D. Ὑπάρχουσι δ' ὅμως χωρία, ἐν οἷς προστίθεται τὸ πρᾶγμα ἢ τὰ πράγματα, ἅπερ ἔχουσιν ἐνιαχοῦ ἰδίαν σημ. ὡς ἐν Δημ. 3, 27: τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματ' ἐκείνοις, χρωμένοις οἷς εἶπον προστάταις· νυνὶ δὲ πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματ' ἔχει; κατὰ τοῦτον τὸν τρόπον ἐπράττετο τὰ τῆς πόλεως ὑπ' ἐκείνων (τῶν προγόνων), χρωμένων τοῖς προστάταις οὓς εἶπον· νυνὶ δὲ πῶς ἡμῖν τὰ πράγματα τῆς πόλεως διοικεῖται ὑπὸ τῶν χρηστῶν τούτων (ῥητόρων); Τὸ ἐκείνοις ἔχει κυρίως περιποιητικὴν ἔννοιαν (δι' ἐκείνους, παρ' ἐκείνοις). Περὶ δὲ τῆς παθητ. ἐννοίας τοῦ ἔχειν ἴδ. διάκειμαι καὶ κατωτ.— Εἰς δὲ τὸ ψ 42 σανίδες δ' ἔχον εὖ ἀραρυῖαι ἐνν. τὴν ὁδόν τ. ἔ. σανίδες καλῶς συνηρμοσμέναι (θυρόφυλλα) ἐκράτουν κεκλεισμένην τὴν διέξοδον. || Τὸ δὲ ὥσπερ εἶχεν ἔχει ἰδίαν ἔννοιαν ἀπὸ τοῦ Ἡροδ. καὶ ἑξῆς: ὅπως ἦτο, ὅπως εὑρίσκετο. ὀργῇ ὡς εἶχε ἐλθὼν παρὰ τὸν Ἀστυάγεα Ἡρ. 1, 114 θυμωμένος ὡς ἦτο ἐλθὼν πρὸς τὸν Ἀστυάγην. Ὁμοίως κεφ. 24 καὶ 61. ἐμοὶ δοκεῖ πλεῖν ἐπὶ Μυτιλήνην ὥσπερ ἔχομεν Θουκ. 3, 30 ἐγὼ εἶμαι τῆς γνώμης νὰ πλεύσωμεν ἐναντίον τῆς Μυτ. ὅπως εἴμεθα: ἄνευ ἀναβολῆς. Συχν. προστίθεται γεν. πρὸς εἰδικωτέραν ἐξήγησιν τοῦ τροπικοῦ ἐπιρρήματος· ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι Θουκ. 1, 22 ἀναλόγως τῆς πρὸς ἑκατέρους εὐνοίας ἢ μνήμης, τὴν ὁποίαν ἤθελεν ἔχῃ τις. Περὶ τοῦ ὡς ἑκάστοις τῆς ξυντυχίας. . . ἔσχεν 7, 57 ἴδ. ἀνωτ. καλὸν ἐπιτήδευμα θεῶν ὀνόματα μὴ χραίνειν ῥᾳδίως ἔχοντα ὡς ἔχουσιν ἡμῶν ἑκάστοτε τὰ πολλὰ οἱ πλεῖστοι καθαρότητός τε καὶ ἁγνείας τὰ περὶ τοὺς θεούς Πλ. Νόμ. 917 Β νὰ μὴ μολύνῃ τις προχείρως (εἰκῇ) τὰ ὀνόμ. τῶν θεῶν, ἐν ᾧ ὡς πρὸς τὴν καθ. καὶ ἁγνείαν πρὸς τοὺς θεοὺς εὑρίσκονται εἰς ἣν κατάστασιν οἱ πλεῖστοι ἐξ ἡμῶν ὡς τὸ πολύ. κάρτ' ἔχοντας εὖ φρενῶν Εὐρ. Ἱππ. 462 ἴδ. δοκέω. αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω Ἀρφ. Λυσ. 1125 αὐτὴ δ' ἐκ φύσεως δὲν στεροῦμαι ὀρθοφροσύνης. πορεύεται ὥσπερ εἶχε Ξεν. Κ. Π. 3, 1, 7 ὅπως ἦτο, ἄνευ ἀναβολῆς. οἱ εὔποροι ἀσφαλῶς ἔχουσιν εἰς τὸν βίον τὸν ἑαυτῶν Δημ. 10, 45 οἱ εὔπ. εἶνε ἀσφαλεῖς ὡς πρὸς τὴν

ἰδίαν αὐτῶν περιουσίαν. οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης Πλ. Γοργ. 470 Ε πῶς ἔχει κατὰ (ὡς πρὸς) τὴν παιδείαν καὶ τὴν δικαιοσύνην. πῶς πρὸς ἄλληλα τάχους ἔχει (τὰ ἄστρα) Πλ. Γοργ. 451 C εἰς ποίαν σχέσιν εἶνε πρὸς ἄλληλα ὡς πρὸς τὴν ταχύτητα. ὅσοι αὐτῶν αὐξόμενον ἔμαθον τὸν ἄνεμον, καὶ τοῖσι οὕτω εἶχε ὅρμου, οἱ δὲ ἔφθησαν τὸν χειμῶνα ἀνασπάσαντες τὰς νέας Ἡρ. 7, 188 ὅσοι ἐξ αὐτῶν παρετήρησαν τὴν αὔξησιν τοῦ ἀνέμου, καὶ ἡ προσόρμισις αὐτῶν τὸ ἐπέτρεπε (ἦσαν οὕτως ἀραγμένοι, ὥστε ἠδύναντο ν' ἀναχωρήσωσιν), οὗτοι ἐπρόφθασαν τὴν τρικυμίαν καὶ ἀνέσυραν τα πλοῖά των εἰς τὴν ξηράν. (ἦλθον λόγον φέρων) εἰ ζῇς, ὅπου τε ζῶσα συμφορᾶς ἔχεις Εὐρ. Ἠλ. 238 «μὲ εἶπε νὰ ἐρωτήσω καὶ νὰ μάθω ἂν ζῇς, καὶ ἂν ζῇς, σὲ τί τύχη (σὲ τί χάλια) εὑρίσκεσαι, τ. ἔ. τί λογῆς εἶνε ἡ τύχη σου» Δ. Βερναρδ. Ἡ διόρθ. τοῦ Elmsley ὅπως—συμφορᾶς φθείρει τὸν νοῦν τοῦ χωρίου. πῶς ἔχουσι Φιλίππῳ Δημ. 2, 17 πῶς εἶνε διατεθειμένοι πρὸς τὸν Φίλιππον. Καὶ ἐπὶ παθ. ἐννοίας: πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις; Εὐρ. Ἑλ. 313 περὶ οὗ ἴδ. εὐμένεια. ἐθεᾶτο... τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θρᾴκῃ ὡς ἔχοι Θουκ. 5, 7 πῶς εἶνε ἡ θέσις τῆς πόλεως ὡς πρὸς τὴν Θρᾴκην. ἔχε αὐτοῦ Δημ. 45, 26 στάσου ἐδῶ. Προηγουμένως εἶπεν ἐπίσχες. σχὲς οὗπερ εἶ Σοφ. Ο. Κ. 1169 στάσου (κόψε τὸν λόγον σου) ἐκεῖ ποῦ εἶσαι. ἔχ' («νά», «πᾶρε») ἀποκάθαιρε τὰς τραπέζας ταυτηῒ Ἀρφ. Εἰρ. 1294 «περικεφαλαίαν δίδωσιν, ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν» Σχ. ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτῳΐ, ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς Ἱππ. 490: «στέαρ διδοῦσιν αὐτῷ ἀλείφεσθαι, ἵν' εὐχερῶς ὀλισθαίνειν δύνηται καὶ δυσληπτος ᾖ τῷ ἀνταγωνιστῇ· οὐκ ἀργῶς δὲ τὸ λίπος, διὰ τὸ ἀλλαντοποιὸν αὐτὸν εἶναι. Δέον εἰπεῖν τὰς λαβὰς ὡς ἐπὶ πάλης, τὰς διαβολάς εἶπεν, αἷς ἔμελλε διαβάλλειν ὁ Κλέων» Σχ. αὐτὸς ἔχε Εὐρ. Κύκλ. 27 ἔχε τα μόνος σου (σὺ ὁ ἴδιος): νὰ ἔχῃς ἐπάνω σου τὰς κατάρας. καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι Ἰσοκ. 4, 11 τοῖς οὖσιν ὑπὲρ τοὺς ἰδιώτας, τοῖς ὑπερβάλλουσι τὸ μέτρον τῶν ἰδιωτῶν (κατ' ἀντίθ. πρὸς τοὺς ἐμπείρους καὶ εἰδήμονας ῥήτορας). ὄφρα κατ' οἶκον ὁ Φοίνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ Πίνδ. Π. 1, 73 ὅπως ἡσυχάζῃ κατ' οἶκον ὁ Φ. καὶ τῶν Τυρ. ὁ ἀλαλητός· πρβ. Ἡρόδ. 6, 39. κἀπ' ἐκείνᾳ μοῖραι μακραίωνες ἔσχον Σοφ. Ἀντ. 986=καὶ ἐπ' ἐκείνῃ ἐνέσκηψαν αἱ μ. Ἐν δὲ στ. 138 ἡ ὀρθὴ γρ. εἶνε: εἶχε δ' ἄλλᾳ τὰ μέν, ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώμα (ὅ ἴδε) κέ. ἀλλὰ ταῦτα μὲν (ὁ σκοπὸς τοῦ Καπανέως) ἄλλως ἀπέβαινε, ἄλλα δὲ κτλ. τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις Ἀρφ. Βάτ. 704 καὶ ταῦτα (καὶ μάλιστα) ἔχοντες τὴν πόλιν ἐν ἀγκάλαις κυμάτων (ἐν μεγίστῳ κινδύνῳ) ἐκ τοῦ Ἀπ. Ἀρχιλόχ. ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. Περὶ τῆς μεταθέσεως τοῦ καὶ ταῦτα πρβ. Ἀρφ. Πλοῦτ. 546 καὶ Πλ. Πολ. 341 C.—Χαλκίδος πέραν ἔχων Αἰσχ. Ἀγ. 200 κατέχων τὴν πέραν χώραν (τὴν περαίαν) τῆς Χαλκίδος. Τὸ πέραν ἐνταῦθα εἶνε ὡς αἰτ. τοῦ πέρα (ὅ ἴδε) ἐξαρτωμένη ἐκ τοῦ ἔχων. οὐδ' ἔχων μύσος πρὸς χειρὶ τῇμῇ τὸ σὸν ἐφεζόμην βρέτας Εὐμ. 448 οὐδ' ἐκάθισα πλησίον τοῦ ἀγάλματός σου ἔχων μίασμα ἐπὶ τῆς χειρός μου. ἐν μὲν αἰσχύναις ἔχω πίτνων πρὸς οὖδας γόνυ σὸν ἀμπίσχειν χερί Εὐρ. Ἱκ. 164 ἐντρέπομαι («τὸ ἔχω σὲ ντροπή») νὰ πίπτω κατὰ γῆς καὶ νὰ περιβάλλω διὰ τῶν χειρῶν μου τὰ γόνατά σου. Ὁ Kirchhoff ἄγω ἀντὶ τοῦ ἔχω, ἀλλ' ἡ διόρθωσις ἐξελέγχεται ἐκ τῆς ἔτι παρ' ἡμῖν σῳζομένης φράσεως· πρβ. καὶ Ξεν. Κ. Π. 6, 1, 36: ὁρῶ σε, ὦ Ἀράσπα, φοβούμενόν τε ἐμὲ καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα = δεινῶς αἰσχυνόμενον. Καὶ ἐν τῇ συνηθείᾳ λέγομεν παρομοίαν φράσιν, ἀλλὰ μόνον ἐπὶ πράγματος, καθ' ὅσον γνωρίζω: «τὸ ἔχω πολὺ σὲ ντροπή».—ἕξω δ' ὥς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος Τ 494 «θὰ εἶμαι σὰν μιὰ πέτρα» τ. ἔ. σιωπήσω· τὸ δ' ὡς ὅτε καταντᾷ νὰ σημαίνῃ ὥς ποτε.—ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος Ω 27 ἀλλ' ἐνέμενον (εἰς τὰ αὐτὰ φρονήματα, ἃ εἶχον), ὡς ὅτε πρῶτον ἔγινε μισητὴ εἰς αὐτοὺς ἡ Ἴλιος. κίονες ὑψόσ' ἔχοντες τ 38 εἰς ὕψος ἀνερχόμενοι (ἀνατείνοντες). ἔκτοσθε ὀδόντες ἔχον ἔνθα καὶ ἔνθα Κ 263 συνήθως: ἐξεῖχον· ὀρθότερον ἐνν. ἔχον τὴν κυνέην κατεῖχον αὐτὴν ἑκατέρωθεν. δι' ὤμου ὄβριμον ἔγχος ἔσχε Ν 519 διεπέρασε. ὁδοὶ ἐπὶ τὸν ποταμὸν ἔχουσαι Ἡρ. 1, 180 = φέρουσαι. Μιλτιάδης ἀπικόμενος ἐς τὴν Χερσόνησον εἶχε κατ' οἴκους Ἡρ. 6, 39 διέμενεν οἴκοι, οἰκούρει. Τινὲς νομίζουσιν ὅτι ἐξερρύη τὸ ἑωυτόν. ἔχ' ἥσυχος (Δ. Γ. ἡσύχως) Εὐρ. Μήδ. 550 μένε ἥσυχος. ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ Παρθένιον πόλισμα ἐχούσας Ξεν. Ἀν. 7, 8, 21 συνήθως: φθανούσας ἕως ὑποκάτω τοῦ Παρθενίου πολίσματος. Κατὰ δὲ τὸν Ἰ. Πανταζίδην: ἐξαυλ. εἰς κώμας (κειμένας) ὑπὸ τὸ Παρθένιον (ὄρος), ἐχούσας πόλισμα. τὰ δὲ ὕστερα τὰ ἐς Ἡσίοδόν τε καὶ Ὅμηρον ἔχοντα ἐγὼ λέγω Ἡρ. 2, 53 τὰ ἀναφερόμενα εἰς τὸν Ἡσ. καὶ Ὅμηρον. ἐπ' ὅσον ἔποψις τοῦ ἱροῦ εἶχε Ἡρ. 1, 64 ἐφ' ὅσον ἐξετείνετο ἡ ἔποψις ἐκ τοῦ ἱεροῦ = ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο (ὅ ἴδε) τῆς νήσου Θουκ. 3, 104. ἐς Ἀθηναίους εἶχε τὸ ἔπος εἰρημένον Ἡρ. 7, 143 τὸ ἔπος (ὦ θείη Σαλαμίς κέ.) εἴρητο ἐς Ἀθ. εἶχε λεχθῇ ἀναφορικῶς πρὸς τοὺς Ἀθ. Διὰ τοῦ ἔχω καὶ ἀορ. μτχ. (ἐνίοτε καὶ πρκ.) περιφράζεται συχνάκις μὲν παρὰ τραγικοῖς, ἐνίοτε δὲ καὶ παρὰ τοῖς πεζοῖς, ὁ παρακείμενος· ἀλλ' ἡ περίφρασις αὕτη διαφέρει τοῦ πρκ. κατὰ τοῦτο, ὅτι παριστᾷ τὸ ἀποτέλεσμα τῆς γεγενημένης πράξεως ὡς διαρκές τι· παρ' ἡμῖν δὲ σήμερον, ἄνευ διαφορᾶς, περιφράζεται κατὰ τοιοῦτόν τινα τρό-

που ὁ ἀρχαῖος πρκ. ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις Σοφ. Ο. Τ. 577 ἔχεις νυμφευθῇ αὐτὴν καὶ τὴν ἔχεις γυναῖκα. Κορινθίους δήσαντες εἶχον Θουκ. 1, 30 τοὺς εἶχαν δέσῃ, καὶ τοὺς ἐκράτουν δεδεμένους. οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν Πινδ. Ν. 1, 31 νὰ ἔχω αὐτὸν κατακεκρυμμένον. κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι Ἡσ. Ἔρ. 42 οἱ θεοὶ ἔχουσι κεκρυμμένον ἀπὸ τῶν ἀνθρώπων τὸν βίον (τ. ἔ. τὴν τροφήν, ἐξ ἧς δύναται νὰ ζήσῃ ὁ ἄνθρωπος). καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε (δηλ. τὸ ξυνεῖναι Ἀτρείδαις) Σοφ. Φιλ. 1362 ἐγὼ δὲ τοὐλάχιστον εὑρίσκομαι εἰς ἀπορίαν (παραξενεύομαι, ἐκπλήττομαι) καὶ διὰ τὴν μὲ τοὺς Ἀτρείδας συναναστροφήν σου: πῶς ἐμπορεῖς καὶ τοὺς συναναστρέφεσαι. ἐρῶ· σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω· Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει Σοφ. Ο. Τ. 700 ἡ γεν. Κρέοντος ἐξαρτ. ἐκ τοῦ μῆνιν, τὸ δὲ οἷα=ὅτι τοῖα, ὅτι τοιαῦτα. Ἂν δέ, ἐπὶ τὸ συντομώτερον, ἀντικαταστήσωμεν τὸ Κρέοντος . . ἔχει διὰ τοῦ σχεδὸν ἰσοδυνάμου Κρέοντος βουλευμάτων, τότε ἔχομεν: ἐρῶ (σοι)· σὲ γὰρ τούτων πλέον τιμῶ· (στήσας ἔχω μῆνιν) τῶν Κρ. βουλευμάτων: ὅτι τοιαῦτα ἔχει διαβουλευθῇ ἐναντίον μου. ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες Φιλ. 600 ὃν τοὐλάχιστον εἶχον ἤδη ἀπὸ πολλοῦ χρόνου ἐκβεβλημένον. τί δῆτα ἔχων στρέφῃ; Ἀρφ. Νεφ. 509 τί ἔχεις καὶ στρέφεσαι; τί κοικύλλεις ἔχων; Θεσμ. 852 τί κάθησαι καὶ χαζεύεις; οὐκ ἀποκρινῇ ὅ τι ἔχων φλυαρεῖς; Πλ. Εὐθυδ. 295 τί ἔχεις καὶ φλυαρεῖς; ὅτι ἔχων ληρεῖς, ἵν' εἰδῇς Πλ. Γοργ. 497 Α (οἶδα) ὅτι κάθησαι καὶ φλυαρεῖς, γιὰ νὰ τὸ ξεύρῃς (νά σου τὸ εἰπῶ, νὰ τὸ ξεύρῃς). Οὕτως ἀπαντᾷ ὁ Καλλικλῆς πρὸς τὸν Σωκράτην (κατὰ τὸν Σ. Μωραΐτην). Ἡ μόνη δυσκολία εἶνε τὸ ὑπονοούμενον οἶδα, ὃ δὲν δύναται νὰ ὑπονοῆται. Ἀλλὰ καὶ αἱ τῶν ἄλλων κατατομαὶ τοῦ κειμένου δὲν εἶνε προσηκόντως ᾐτιολογημέναι. Διὰ τοῦ ὅτι ἔχων ληρεῖς παρεμβαίνει ὁ Καλλικλῆς εἰς τὸν λόγον τοῦ Σωκράτους, ἐκείνου ἐξακολουθοῦντος, ἀλλὰ τὸ ὅτι εἶνε καὶ θὰ εἶνε ἀνεξήγητον, διότι εἶνε παρεφθαρμένον ἐκ τοῦ ἔτι. Γρ. λοιπόν: καὶ προϊθί γε ἔτι εἰς τοὔμπροσθεν. — ΚΑΛΛ. ἔτι ἔχων ληρεῖς (ἀκόμη κάθησαι καὶ φλυαρεῖς). ΣΩΚΡ. ἵν' εἰδῇς, ὡς σοφὸς ὢν με νουθετεῖς. Οὕτω κατατεμνόμενα ἔχουσιν ἀνεγκλήτως. — παίσδεις ὠγάθ' ἔχων Θεοκρ. 14, 8 κάθησαι καὶ παίζεις, καϋμένε! δεῖ ὑμᾶς γιγνώσκειν, ὡς, ὅταν — ἐν ἑαυτοῖς ἕκαστοι ἔχωσιν, ὡς — οὐδὲν ἐσόμενον τῶν δεόντων, ταχὺ πολλὰ καὶ καλὰ διαπράττονται Ξεν. Κ. Π. 2, 3, 3 πρέπει νὰ ἔχητε τὴν γνώμην, ὅτι, ὅταν ἕκαστοι ἔχωσιν ἐν ἑαυτοῖς ὡς βέβαιον τοῦτο, ὅτι οὐδὲν θὰ γίνῃ τῶν δεόντων, πολλὰ καὶ καλὰ κατορθώνουσι. Μέσ. ἀσπίδα πρόσθ' ἔσχετο Μ 294 ἔμπροσθέν του ἐκράτησε τὴν ἀσπίδα: προεβάλετο αὐτήν. χερσὶν ἀώτου θεσπεσίοιο νωλεμέως στρεφθεὶς ἐχόμην ι 434 μὲ τὰς χεῖράς μου στερεὰ (σφικτὰ) ἐκρατούμην ἀπὸ τὸ θ. μαλλίον του, ἀφ' οὗ ἐτυλίχθην μέσα εἰς αὐτό. ὡς ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν αἰεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται Θουκ. 1, 22 ὅπως δέ μοι ἐφαίνετο ὅτι ἕκαστοι (π. χ. Πελοποννήσιοι ἢ Ἀθηναῖοι) ἤθελον εἴπῃ (ἑκάστοτε) ἀναλογώτατα τὰ δέοντα περὶ τῶν ἑκάστοτε παρόντων ζητημάτων, προσκολλώμενος ὡς ἐγγύτατα εἰς τὴν συμπεριληπτικὴν ἔννοιαν τῶν πραγματικῶς λεχθέντων, οὕτως ἀνεπαρέστησα τὸν λόγον αὐτῶν ἐν τῇ συγγραφῇ μου (ὃ προσέθηκα, διότι ὁ πρκ. εἴρηται προϋποθέτει τὸ ὅλον ἢ τὸ πλεῖστον τῆς συγγραφῆς τοῦ Θουκ). Ὁ δὲ ἂν ἀνήκων εἰς τὸ εἰπεῖν, ὑποδηλοῖ ὅτι ὁ Θουκυδ. συνεπλήρου ἐνίοτε αὐτὸς τὰ κενὰ τῶν δημηγοριῶν κατὰ τὸ εἰκός. — ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι Θουκ. 4, 66 ἀπήτουν, ἔκρινον σκόπιμον νὰ διενεργήσωσι δραστηρίως τὸ περὶ οὗ ὁ λόγος πρᾶγμα. ἑξόμεθα αὐτοῦ Ξεν. Ἀν. 7, 6, 41 κυρ. θὰ πιασθῶμεν ἀπὸ αὐτόν, αὐτὸν θὰ πιάσωμεν (ἵνα εἰσπράξωμεν τὰ ὀφειλόμενα). τὸν νομοθέτην ἀληθείας ἐχόμενον τῇ τοιαύτῃ παραπεσεῖν ἑκάστοτε πόλει δεῖν Πλ. Νόμ. 709 C ὁ νομοθέτης ὁ εἰς τὴν ἀλήθειαν ἀφοσιούμενος πρέπει νὰ συμπέσῃ νὰ ὑπάρχῃ ἑκάστοτε εἰς τὴν τοιαύτην πόλιν. Πρβ. Εὐρ. Ἴων. 490: μετὰ δὲ κτεάνων μετρίων βιοτᾶς εὐπαίδος ἐχοίμαν εἴθε μετὰ μετρίων κτημάτων ἀπολαύοιμι βίου κεκοσμημένου καλοῖς παισίν. ἃ διδασκάλων ἔχεται Πλ. Πρωτ. 324 D ὅσα ἐξαρτῶνται ἐκ διδασκάλων, ὅσα ὑπόκεινται εἰς διδασκαλίαν. σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ Ι 102 ἴδ. ἄρχω. τοῦ δ' (Ἀλκινόοιο) ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε ζ 197 ἐκ δὲ τούτου ἐξαρτᾶται ἡ ἐξουσία καὶ ἡ δύναμις τῶν Φαιάκων: «τὰ τῶν Φαιάκων πράγματα» Σχ. || εἶμαι ἑξῆς, ἐφεξῆς (πλησίον) τινός, συνέχομαι πρός τι· οἱ ἐχόμενοι Ἡρ. 1, 134=οἱ ἄγχιστα οἰκέοντες, οἱ ὅμουροι. δύ' εἶναι χάσματε ἐχομένω ἀλλήλοιν Πλ. Πολ. 614 C συνεχόμενα πρὸς ἄλληλα. τὰ τούτων ἐχόμενα Ἰσοκ. 4, 23 τὰ συνεχόμενα πρὸς ταῦτα, τὰ ἐφεξῆς τούτοις. ἐάν τίς σε τὰ ἐχόμενα τούτοις ἐφεξῆς ἅπαντα ἐρωτᾷ Πολ. Γοργ. 494 Ε ἐάν τίς σε ἐρωτᾷ πάντα τὰ πρὸς ταῦτα συνεχόμενα κατὰ σειράν· τὸ τούτοις ἐξαρτ. ἐκ τοῦ ἐφεξῆς, εἰς δὲ τὸ ἐχόμενα θὰ τὸ ἐννοήσωμεν κατὰ γενικήν. τοῦ ἐχομένου ἔτους Θουκ. 6, 3 κατὰ τὸ ἑπόμενον (προσεχὲς) ἔτος. ἐκ τῶν ἐχομένων γνώσεσθε Ἰσοκ. 6, 29 ἐκ τῶν ἐφεξῆς. — Ἐνίοτε σχηματίζεται περίφρασις ἐντονωτέρα τοῦ ἁπλοῦ οὐσ. τὰ τῶν ὀνειράτων, καρπῶν, σιτίων, οἰκετῶν ἐχόμενα Ἡρ. 1, 120. 193 ἀντί: τὰ ὀνείρατα, οἱ καρποὶ κτλ. — ἐχώμεθα δηϊοτῆτος ἐκ βελέων Ξ 129 ἀπεχώμεθα τῆς μάχης ἐκτὸς τῶν βελῶν. τῶν ἀθίκτων ἕξεται ματάζων Σοφ. Ο. Τ. 891 ἴδ. ἄθικτος

|| ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ σχέτο Η 248 ἐν δὲ τῷ ἑβδόμῳ δέρματι ἐστάθη, ἐσταμάτησεν. εἰ τὸν ἐξ ἐμῆς μητρός, θανόντ', ἄθαπτον ἐσχόμην νέκυν Σοφ. 'Αντ. 467 ἡ ὀρθὴ γρ. φαίνεται ὅτι εἶνε ἠνσχόμην: ἐὰν τὸν ἐκ τῆς ἐμῆς μητρὸς γεννηθέντα, ἀφ' οὗ ἀπέθανεν, ἤθελον ἀνεχθῇ ἄθαπτον ὡς νεκρὸν (νὰ μένῃ ἄθαπτος). Διορθώσεις πλεῖσται. μύσαντες εἴχομεν θείαν νόσον Αὐτ. 421 κλείσαντες τοὺς ὀφθαλμοὺς ὑπεμένομεν τὴν θείαν ὀργήν.

ἐψάλαται ἀντὶ τοῦ ἐψαλμένοι εἰσί.

ἐψέω ἴδ. ἕψω.

ἑψητός 3 παρ' 'Αρφ. Σφ. 679 οἱ ἑψητοί=ἰχθύδια βραστά.

ἔψιλον=ἒ ψιλὸν ἴδ. ψιλός.

ἐψιμυθισμένως ἐπίρρ. μτχ. π. πρκ. τοῦ ψιμυθίζω. ἐψιμυθισμένως καὶ κομματικῶς ἔχει καὶ οὐ τὴν κατὰ φύσιν χροιὰν ἀλλὰ νόθον καὶ ξένην Σχ. 'Αρφ. Πλ. 1064 πρὸς ἐξήγησιν τοῦ καπηλικῶς ἔχει τ. ἔ. εἶνε φκιασιδωμένη (συγυρισμένη), διότι θέλει νὰ πωλήσῃ (ὡς κάπηλος) τὸ ἐμπόρευμά της (δηλ. θέλει νὰ εὕρῃ κανένα νεον).

ἕψω βράζω. (ῥ. πεπ-. Σπάν. παρασχημ. ἑψέω, προστ. ἕψεε, Δ. Γ. ἕψε, 'Ιπποκρ. 2, 518 L. Πρτ. ἥψεε ἕψεε ἐν πᾶσι τοῖς χ/φοις 'Ηρ. 1, 48, ἄλλως μόνον τύποι τοῦ ἕψω· ὅθεν διορθοῦσιν ἕψε ἢ ἧψε. Παρ' 'Αττικοῖς οὐδόλως εὕρηται. καθεψεῖσθαι Λουκ. Λούκ. ἢ ὄν. 25. ἑψῶντες Διόδ. Σ. 1, 84 ὡς ἐκ τοῦ ἑψάω, ἀλλ' ἕψοντες Bekk. ἐκ τοῦ Εὐσεβίου. ἑψῆν (Δ. Γ. ἑψεῖν τ. ἔ. ἕψειν) 'Ιπποκρ. 8, 366. ἑψῶντα 6, 566 (ἕψοντα). 8, 138. Σύνθ. ἀφέψω, ἀπέψω οὐ μόνον 'Ηρ. ἀλλὰ καὶ 'Ιπποκρ. 7, 402 κατὰ τὸν κώδ. C. ἀπεψήσαντες 'Επιγρ. 'Ορωποῦ). Πρτ. ἧψον 'Αρφ. Βάτρ. 505. 'Απ. 591. 681. 'Απ. 'Αλκαί. 24.— ἑψήσω 'Απ. Νικοχ. 15. Μενάνδ. 260. 'Ιπποκρ. 2, 246 L. ἥψησα 'Απ. Στράττ. 33. 'Αρφ. 408. 'Ιπποκρ. 1, 578 L. (ἕψησα 'Ηρ. 1. 119). ἑψήσῃ Πλ. Εὐθύδ. 301 D. ἑψῆσαι [Πλ.] 'Ερυξ. 405 B.— ἕψηκα Φίλων. 2 σ 245. ἑψήσομαι Πλ. Πολ. 372 C.— ἕψου (ἴδ. κατ.). ἑψηθῇ 'Ηρ. 4, 62. ἑψηθεὶς μτγν.—ἡψῆσθαι 'Ιπποκρ. 2, 254 L. ἡψημένος μτγν. (ἑψημένος 'Ιπποκρ. 8, 190). ἀπεψ- 'Ηρ. 1, 188. ἀφ- Πλουτ. 692 D. ἑφθός (ἐν συνθ. ἄπεφθος) καὶ ἑψητός. ἑφθέος Νικ. 'Αλ. 392. ἑψητέον 'Αρεταῖος. τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ καθήμενος ἕψοι; Πίνδ. Ο. 1, 83 διὰ τί καθήμενός τις ἐν ἀφανείᾳ (ἄπρακτος) νὰ παρασκευάζῃ (κυρ. νὰ μαγειρεύῃ) γῆρας ἄδοξον; ἥψομεν τοῦ κορκόρου 'Αρφ. Σφ. 239 ἐβράζομεν ἀγριολάχανα. ἕψου μηδὲ λυπηθῇς πυρί 'Απ. Αἰσχ. 310 ἴσως· βράζε ἥσυχα μέσα εἰς τὸ νερό, καὶ νὰ μή σε πειράζῃ ἡ φωτιὰ (ὡς ὅτε γίνεσαι ὀπτός) τ. ἔ. κάλλιον διὰ σὲ ποῦ γίνεσαι βραστὸς παρὰ ψητός.

ἔω 'Ιων. ἀντὶ τοῦ ὦ.

ἕω ὑπ. ἀόρ. β' τοῦ ἵημι=ὧ.

ἐῶ συνηρ. ἐκ τοῦ ἐάω. ἐῷ συνηρ. ἐκ τοῦ ἐάοι, εὐκτ. τοῦ ἐῶ.

ἕω γεν. τοῦ ἕως (ἠώς).

ἔωγα πρκ. β', ἔῳγμαι παθ. πρκ., ἔῳξα ἐνερ. ἀόρ. α' τοῦ οἴγνυμι, ἀλλὰ καὶ οἱ τρεῖς τύποι μόνον ἐν συνθ. (ἀνοίγω).

ἔωθα 'Ιων. καὶ ἐπ. ἀντὶ τοῦ εἴωθα.

ἑωθινός (ἕως) 3 πρωϊνός· τὸ ἑωθινόν=τὸ πρωΐ. προσειπεῖν τὸ ἑωθινόν Λουκ. ὑπ. Προσαγ. πτ. 1 τὴν πρωϊνὴν πρόσρησιν, προσαγόρευσιν (καλημέρα). ἑωθιναὶ δίκαι 'Α. Β. 258 ἐπὶ μικρῶν ὑποθέσεων ταχέως ἐκδικαζομένων: «ἐπεὶ ὄρθρου ταῦτα (τὰς δίκας ταύτας) ἐξεδίκαζον».

ἐώθουν πρτ. τοῦ ὠθέω.

ἐῴκει ὑπερσ. γ' ἑν., πρκ. ἔοικα.

ἑωλοκρασία ἡ, ἕωλον κρᾶμα, μεῖγμα ἐκ ζωμοῦ (περισσεύματος ἐμβαμμάτων), ἑώλων δείπνων καὶ ἐκ τῶν καταχαθισμάτων τῶν οἴνων (τῆς τρυγός), ἅτινα ἐπέχεον ἐπὶ τοὺς κοιμωμένους ἢ νυστάζοντας τῶν συμποτῶν. Μτφ. αἴτιος δ' οὗτος, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἣν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπολύσασθαι Δημ. 18, 50 «οὗτος χθὲς καὶ πρῴην ἃ ἐκέρασε πράγματα τήμερόν μου καταχεῖ καὶ ἐμὲ πρᾶξαί φησι» Δίδυμος π. 'Αρποκρ. Τὸ χωρίον λοιπὸν ἐξηγητέον ὧδε: αἴτιος εἶνε οὗτος, ὅστις ἀναμείξας τὴν ἰδίαν ἑαυτοῦ πονηρίαν καὶ τὰ ἀδικήματα (διότι τὰς ἰδίας του προδοσίας ἀπέδιδεν εἰς τὸν Δημοσθ.) ἔχυσεν ἐπάνω μου τὸ μεῖγμα τοῦτο ὡσὰν ἑωλοκρασίαν τινά, διὰ τὴν ὁποίαν ἦτο ἀνάγκη ν' ἀπολογηθῶ πρὸς τοὺς νεωτέρους ἀπὸ τὰ γενόμενα, τ. ἔ. πρὸς ἐκείνους οἵτινες ἦσαν πολὺ νέοι, ὅτε συνέβησαν ταῦτα. 'Ο Σουΐδας παρατηρεῖ: «ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα, ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ Αἰσχίνης». ἐνίοις εἰς ἅπαντα τὸν βίον ἐμμένει τὸ πρὸς ἀλλήλους δυσάρεστον, ὥσπερ ἑωλοκρασία τις ὕβρεως ἢ ὀργῆς ἐν οἴνῳ γενομένης Πλουτ. 148 A ὡσὰν ἀηδής τις ὀσμὴ (κραιπάλης προηγουμένης, κυρ. «σὰν κάποια κρασίλα») ὕβρεως ἢ ὀργῆς, γενομένης ἐν οἰνοποσίᾳ.

ἐώλπει γ'. ἑν. ὑπερσ. τοῦ ἔλπω.

ἕωμεν μόν. ἐν Τ 402 ἐπεί χ' ἕωμεν (=κορεσθῶμεν) πολέμοιο.

ἐῷμι ἑν. εὐκτ. τοῦ ἐάω.

ἐών 'Ιων. καὶ ἐπ. = ὤν.

κύκλος ὁ: ἐν αἰθέρι μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος Σοφ. Ἀντ. 416, ἴδ. καθίστημι. ἐξίσταται νυκτὸς αἰανὴς κύκλος Σοφ. Αἴ. 672, ἴδ. ἐξίστημι. ὁ γὰρ εἰς αἰὲν ὁρῶν κύκλος λεύσσει νιν μορίου Διός Ο. Κ. 704 διότι ὁ πάντοτε βλέπων ὀφθαλμὸς τοῦ μορίου Δ. ἐπιβλέπει αὐτήν. ἄρας ἔπαισεν ἄρθρα τῶν αὑτοῦ κύκλων 1270, ἴδ. ἄρθρον. ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου Κάλχας μεταστὰς οἷος Ἀτρειδῶν δίχα Αἴ. 749 ἐκ τοῦ συνεδρίου καὶ τοῦ κύκλου (ἐκ τοῦ συνέδρου κύκλου) τῶν τυράννων παραμερίσας μόνος ὁ Κάλχας μακρὰν τῶν Ἀτρ. εἰς δὲ συστάσεις κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ Εὐρ. Ἀνδρ. 1090 συνηθροίζετο καὶ ἀπετέλει ὁμίλους ὁ λαὸς ὁ κατοικῶν τὸν ἱερὸν χῶρον τοῦ θεοῦ. διήρχετο κύκλον ὅσσᾳ βοᾶ Πινδ. Ὀ. 9,93 μετὰ πόσης βοῆς διήρχετο τὸν κύκλον τῶν θεατῶν!

κυκλοτερής 2: κυκλοτερὲς μέγα τόξον ἔτεινε Δ 124 ἐτάνυσε τὸ τόξον, ὥστε νὰ γίνῃ κυκλοτερές.

κυκλόω περικυκλώνω, περιστρέφω, ποιῶ τι κυκλοειδές. τάφρος περὶ τὸ πεδίον κυκλωθεῖσα Πλ. Κριτί. 118 D περὶ τὸ πεδίον κύκλῳ ὀρυχθεῖσα. Πέργαμον δὲ Φρυγῶν πόλιν λαΐνους περὶ πύργους κυκλώσας Ἄρει φονίῳ Εὐρ. Ἰ. Α. 775 «Πέργαμον δέ, τὴν Φρυγῶν πόλιν, περὶ τοὺς λαΐνους πύργους (ἀπὸ κοινοῦ: ὁ χάλκασπις Ἄρης) κυκλώσας Ἄρει φονίῳ, ἤτοι: κυκλώσας μαχηταῖς φονίοις ὁ Ἄρης» Δ. Βερναρδ. πρβ. Ἀλκ. 50. Ἡρ. Μ. 866. στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων Αἰσχ. Ἑπτ. 233 στενάζει ἡ πόλις ἐκ θεμελίων, ὥστε πρέπει νὰ συμπεράνῃ τις, ὅτι περικυκλώνεται ὑπὸ τῶν ἐχθρῶν. ἐβούλετο... ὑπερφαλαγγῆσαι τοῦ σοῦ στρατεύματος ..., ὡς τῷ περιττῷ κυκλωσόμενος Ξεν. Κ. Π. 6, 3, 20 ἐπεθύμει νὰ ἐπεκτείνῃ ἑκατέρωθεν τὴν φάλαγγα ἐκτὸς τῶν δύο κεράτων τῆς πολεμίας φάλαγγος, ἵνα σε περικυκλώσῃ μὲ τὰ περισσεύοντα μέρη τῆς φάλαγγός του. «Ὑπερφαλάγγησίς ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων» Σουΐδας. κυκλώσω δαλὸν ἐν φαεσφόρῳ Κύκλωπος ὄψει Εὐρ. Κύκλ. 462 θὰ περιστρέψω δαυλὸν κἑ. Ὁ Musgrave ἔγρ. κυκλήσω (θὰ περιστρέψω κύκλῳ) ἀντὶ τοῦ κυκλώσω κυρ. θὰ κάμω κύκλον. Πρβ. ι 387: ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἑλόντες δινέομεν. κυκλοῦτο δ' ὥστε τόξον ἢ κυρτὸς τροχός Βκχ. 1066 ἴδ. ἕλκω. Τὸ δίναις κυκλούμενον κέαρ Αἰσχ. Ἀγ. 984 ἀνήκει εἰς τὸ κυκλέω, ὃ ἴδε.

κύκλωσις ἡ: πρὶν καὶ τὴν πλείονα κύκλωσιν σφῶν αὐτόσε προσμεῖξαι Θουκ. 4,128 «πρὶν τοὺς πολλοὺς τῶν κυκλοῦν τοὺς Λακεδαιμονίους μελλόντων» Σχ.

κυλίνδω, ἴδ. καλινδέομαι· γνώμαν κενεὰν σκότῳ κυλίνδει Πινδ. Ν. 4, 40 τὴν ματαίαν προσδοκίαν του κρύπτει ἐν τῷ σκότει. αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν Ἰ. 3, 18 ὁ δὲ βίος ἐν τῇ ἀνακυκλήσει («μὲ τὸ κατρακύλισμα») τῶν ἡμερῶν φέρει ἐπαλλάσσων ἄλλοτε ἄλλα. νῶϊν τόδε πῆμα κυλίνδεται, ὄβριμος Ἕκτωρ Λ 347 καθ' ἡμῶν τῶν δύο προφανῶς κυλιόμενον ἐπέρχεται τοῦτο ἐδῶ τὸ κακόν, δηλ. ὁ ὄβρ. Ἕκτωρ. αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω, ψεύδη μεταμώνια τάμνοισαι, κυλίνδοντ' ἐλπίδες Πινδ. Ὀ. 12,6 αἱ ἐλπίδες γε μὴν τῶν ἀνθρώπων πολλάκις ἄνω, ἄλλοτε δὲ πάλιν κάτω κυλίνδονται, διατέμνουσαι (ἐπιδιώκουσαι) μάταια ψεύδη· ἡ μεταφορὰ (τάμνοισαι) ἐκ τοῦ πλοίου τοῦ διαπλέοντος κυμαινόμενον πέλαγος. Ἄλλοι ἄλλως. ἐκ τροχηλάτων δίφρων κυλισθείς Σοφ. Ἠλ. 49 ἀφ' οὗ ἐκυλίσθη κάτω πεσὼν ἐκ τοῦ τροχηλάτου ἅρματος. νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα (ἡ τυραννίς), ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται Ἀρφ. Σφ. 492 τώρα ὅμως εἶνε πολὺ πλέον εὐθηνὴ ἀπὸ τὴν σαρδέλλα, ὥστε πλέον καὶ τὸ ὄνομά της κυλίεται μέσα εἰς τὴν ἀγοράν.

κῦμα τό: ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ Εὐρ. Ὀρ. 279 ὕστερα ἀπὸ τὰ κύματα (ἀπὸ τὴν τρικυμίαν) βλέπω πάλιν γαλήνην. Τὸν στίχον τοῦτον ἀπαγγέλλων ὁ ὑποκριτὴς Ἡγέλοχος ἀπήγγειλε τὸ γαλήν' ὁρῶ ἄνευ συναλοιφῆς, ὡς γαλῆν ὁρῶ, ὥστε «τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῷον, ἀλλ' οὐχὶ τὰ γαληνά. Πολλοὶ μὲν οὖν αὐτὸ διέπαιξαν τῶν κωμικῶν, Ἀριστοφάνης (ἐν Βατράχοις 303, ἴδ. καὶ Σχόλ.) καὶ Στράττις (ἐν Ἀπ. 1. καὶ 60) καὶ Σαννυρίων (ἐν Ἀπ. 8)» Σχολ. Εὐρ. Ὀρ. 279. κύματα... βάντ' ἐπιόντα τε Σοφ. Τρ. 113, ἴδ. βαίνω. βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ Αἰσχ. Ἑπτ. 64 διότι βοὔζει τὸ χερσαῖον κῦμα τοῦ στρατοῦ· πρβ. 1077 καὶ 80 καὶ ῥεῦμα στρατοῦ Εὐρ. Ἰ. Τ. 1437 καὶ κῦμα μάχης Τυρταῖος. — μηδὲ προσίστη πρῷραν βιότου πρὸς κῦμα Εὐρ. Τρ. 104 ἴδ. προσίστημι. ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται Σοφ. Αἴ. 351 ἴδ. κυκλέω. ποῖ τόδε κῦμ' ἀπάξει (ἐνν. ἡμᾶς) Αἰσχ. Ἱκ. 133 εἰς ποῖον σημεῖον θὰ ἀπαγάγῃ ἡμᾶς ἡ συμφορὰ αὕτη: ἀγνοῶ δηλ. πῶς θὰ ἀποβῶσι τὰ ἐμὰ πάθη. κοίμα κελαινοῦ κύματος πικρὸν μένος Αἰσχ. Εὐμ. 835 κοίμιζε (πράϋνε) τῆς μαύρης (ἀναβραζούσης) χολῆς σου (ἀποκυήματος τῆς καρδίας σου) τὴν πικρὰν δύναμιν (ὁρμήν). αὖθις τῶνδε κῦμα λαμβάνει Χο. 128 πάλιν

ἐκ τούτων (δηλ. ἐκ τοῦ σπόρου τούτων) ζωογονεῖται (κυρ. γίνεται ἔγκυος). ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν Πρ. 1033 μάτην ἐνοχλεῖς (ἀπολύτως) «λαλῶν ὡς πρὸς κῦμα ἀναίσθητον» Σχ. ὥσπερ κῦμα ἐκγελῶν Πλ. Πολ. 473 C, ἴδ. ἐκγελάω.

κυμαίνω ἀμτβ. κάμνω (σηκώνω, ἔχω) κύματα, φουσκώνω, ταράττομαι. Παρὰ μτγν. καὶ μτβ. ταράττω. ὃς μὴ πόθῳ κυμαίνεται Πινδ. 'Απ. 123 ὅστις δὲν ἀναβράζει, δὲν ταράσσεται, ἐκ τοῦ πόθου. ἰδών σε καθόδῳ τῆς Μίσης ἐκύμηνε τὰ σπλάγχν' ἔρωτι Ἡρώνδ. 1, 56 ὅταν σε εἶδε κατὰ τὴν κάθοδον τῆς Μίσης (Κόρης), «ἐφούσκωσαν» τὰ σπλάγχνα του ἀπὸ ἔρωτα· πρβ. ἐκκυμαίνω. σὸν ἄνθος ἥβας ἄρτι κυμαίνει Πίνδ. Π. 4, 158 τὸ ἄνθος τῆς νεότητός σου (μόλις) πρὸ ὀλίγου ἤρχισε νὰ ἀνοίγῃ (νὰ φουσκώνῃ). πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη Αἰσχ. Ἑπτ. 430 πομφολυγώδη ῥήματα «φουσκωμένα».

κυματοαγής 2 ὁ δίκην κύματος ἀγνύμενος, ξεσπάνων· ὣς καὶ τόνδε κατ' ἄκρας δειναὶ κυματοαγεῖς ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι Σοφ. Ο. Κ. 1242 οὕτω καὶ τοῦτον ἐδῶ αἱ φοβεραὶ δίκην κυμάτων ἐκσπῶσαι συμφοραὶ αἱ ἀδιακόπως συνοδεύουσαι αὐτὸν ἀπ' ἐπάνω ἕως κάτω διαταράττουσι.

κυματοπλήξ: βόρειος ὥς τις ἀκτὰ κυματοπλὴξ χειμερία κλονεῖται Σοφ. Ο. Κ. 1241 ὥς τις ἀκτὴ βορεινὴ ὑπὸ τῶν κυμάτων πληττομένη ἐν καιρῷ χειμῶνος διαταράσσεται.

κύνειος 3: οὐ μέντοι προτοῦ γ', ἀλλ' ἦσθ' ἱμὰς κύνειος («εὔτονός τις καὶ ἰσχυρὸς» Σχ.) 'Αρφ. Σφ. 231 ἀλλ' ὅμως προτοῦ τοὐλάχιστον δὲν ἐβράδυνες, ἀλλ' ἦσο ἀκαταπόνητος («σκυλοπέτσι»).

κυνέω φιλῶ, ἐπ. ποιητ. καὶ ἐνίοτε μτγν. πεζ. κύσσων Βαβρ. 54, 17. ἔκῦσα ἐπ. ποιητ. καὶ μτγν. πεζ. 'Αριστ. Ζ. Ἱ. 6, 2 (560 b 28). ἔκυσσε Θ 371. φ 225. κῦσα Ω 478. ξ 279. κύσσε π 15. ω 320. (κυνήσασαι 'Αθήν. 394 D). Προσκυνέω ποιητ. καὶ πεζ. ὁμαλόν. -ήσω, -εκύνησα (-έκυσα ποιητ. Σοφ. Φιλ. 657. Ἠλ. 1374. 'Αρφ. Ἱππ. 640). -κεκύνηκα Παλ. Γρ. Παθ. -κυνεῖσθαι Εὐρ. Τρ. 1021.

κύντερος: οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο η 216 ἐκτὸς τῆς στυγ. γαστέρος δὲν ὑπάρχει ἄλλο ἀναιδέστερον. αὐτὰρ ὃ μερμήριζε μένων ὅ τι κύντατον ἔρδοι Κ 503 «δεινότατον, χαλεπώτατον» Σχ.

κυπτάζω κύπτω συχνά, διατελῶ κύπτων, διατρίβω περί τι, ἐξετάζω, «κυτάζω»· ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν 'Αρφ. Λυσ. 17 ἡ μὲν (κύπτουσα) διατρίβει περὶ τὸν ἄνδρα· «κυπτάζειν ἐστὶ τὸ περί τι πονεῖν καὶ διατρίβειν· κομψῶς δὲ τῇ ἀμφιβολίᾳ καὶ χαριέντως ἐχρήσατο, καθ' ἃ καὶ Σώφρων ('Απ. 41): ἐνθάδε κυπτάζοντι (Kaibel: κυπτάζουσι) πλεῖσται γυναῖκες» Σχ. εἰς τοῦτο κύπτουσαι ἀποβλέπουσι πλ. γυναῖκες. ἃ δ' ἀμφ' ἄλητα κυπτάζει 'Απ. 39 οὕτω διόρθ. ὁ Nauck (πρβ. ὁ δ' αὖ φάλης κατακυπτάζει Σχολ. 'Αρφ. 'Αχ. 263. ἀλλ' ἀμφάλιτα κυπτάζει Κραμ. 'Αν. Παρ. 4, 179, 16). Τὴν δὲ γρ. ἀμφ' ἄλητα ὡς ἐκ τοῦ Σώφρονος παρέχουσιν ὁ Ἡσύχ. καὶ ἐν Ἐτυμολ. Κατὰ τὴν διόρθ. τοῦ Nauck τὸ νόημα εἶνε: ἡ δὲ κυπτάζει ἀμφ' ἄλητα (περὶ τὰ ἄλευρα), ἀλλ' ἅμα καί: ἡ δὲ κυπτάζει ἀμ φάλητα· πρβ. «φάλης, δερμάτινον [καὶ] ἀνδρεῖον» (αἰδοῖον) Ἡσ.

κύπτω (ῥ. κυφ-, υ μακρόν; πρβ. κῦφός) ὁμαλόν· κύψω Παλ. Γρ. ἀνα-, ὑπο-, ὑπερ- μτγν., ἀλλ' 'Αττ. ἀνακύψομαι 'Αρφ. Ὄρν. 146. -ψοιτο (Δ.Γ. ἀνακύψοι τὸ) Πλ. Εὐθύδ. 302 A. ἔκυψα, κύψαι (ὅπου τὸ υ θεωρεῖ βραχὺ ὁ Lobeck στηριζόμενος εἰς τὸ κύβδα) 'Αρφ. Θεσ. 644. 'Απ. Ἀμφιδ. 30. Πλουτ. Μαρ. 44. ἀν- 'Αρφ. Βάτ. 1068. Ἡρ. 5, 91. Ξεν. Οἰκ. 11, 5. Πλ. Θεαίτ. 171 D. Φαίδων 109 D.E. Φαῖδρ. 249 C. κέκῦφα Ἡρ. 4, 183. Πλ. Πολ. 586 A. ἀνακεκύφαμεν Εὐρ. Κύκλ. 212. Ξεν. 7, 10. συγκεκῦφὸς 'Αρφ. Ἱππ. 854. ἐγκεκῦφὼς Βάτρ. 425. κύψαντες ὕβριν ἀθρόην ἀπέφλυσαν (Lobeck. ἀπέφλοσαν) 'Απ. 'Αρχιλ. 35 ἀπαγξάμενοι («κύψαι ἀντὶ τοῦ ἀπάγξασθαι» Φώτιος) ἐξήμεσαν (ἐξεφύσησαν) ἀθρόαν τὴν ὕβριν: ἐξέπνευσαν· πρβ. 'Απολλ. Ῥ. 3, 583 ὄφρ' ἀλεγεινὴν ὕβριν ἀποφλύξωσι «ἐκφυσήσωσιν, καταστρέφει δὲ εἰς τὸ ἐκπνεύσωσιν» Σχ. Δὲν μοι ἀρέσκει τὸ τοῦ Bergk ἀπέβλυσαν.

κῦρέω ποιητ., ἰδίως τραγ. Ἡρ. καὶ μτγν. πεζ. τυγχάνω, ἐντυγχάνω, ἐπιτυγχάνω. -ήσω τραγ. καὶ Ἡρ. 1, 112. 9, 88. ἐκύρησα σπαν. ἐπ., ὡς Ἡσ. Ἔργ. 755., συχνάκις τραγ., καὶ Πίνδ. Ι. 5, 34. Μόσχ. 4, 68. Ἡρ. 7, 158. 208, συν- Ἡρ. 1, 119. 8, 87. 9, 90. ἐν- Πολύβ. 33, 12. κεκυρηκὼς [Πλάτ.] 'Αλκ. 2, 141 B. συγκεκυρηκέναι Διόδ. 17, 106. τὸ ἔχθος τὸ ἐς Λακεδαιμονίους συγκεκυρημένον (Δ. Γ. συγκεχωρησμένον, ὁ Reiske: συγκεκρημένον) Ἡρ. 9, 37. — κύρω, ὁ ἐνεστ. τὸ πλεῖστον ποιητ., ἀλλὰ καὶ οἱ ἄλλοι χρόνοι. Παρμενίδ. 'Απ. 8, 49. 'Απολλ. Ῥ. 2, 363. 'Ανθ. 9, 710. ἀλλὰ παρὰ Τραγ. σπανίως. ἔκῦρον Σοφ. Ο. Κ. 1159, κῦρε Ψ 821. — κύρσω Σοφ. Ο. Κ. 225 χορ. Δημοκρ. ἐν Στοβ. 'Ανθ. 29, 88. ἔκυρσα ἐπ. Ἰων. καὶ τραγ. κύρσῃ Ἡρώνδ. 2, 45. κύρσαις 3, 57. ἐπέκυρσα Πίνδ. Ὀ. 6, 7. Π. 10, 21. ἐνέκυρσα Ἡρ. 3, 77, 4, 125 καὶ μτγν. πεζ. Μέσ. κύρομαι = κύρω Ω 530. Μετὰ δοτ. = ἐντυγχάνω τινί. Ἄλλως: γνώμῃ κυρήσας οὐδ' ἀπ' οἰωνῶν μαθὼν Σοφ. Ὀ. Τ. 398 διὰ τοῦ νοῦ μου ἐπιτυχὼν καὶ χωρὶς νὰ μάθω ἀπὸ τῶν οἰωνῶν. Μετὰ γεν. = τυγχάνω· ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος Αἰσχ. Ἑπτ. 594 τῇ αὐτῇ τοῖς ἀσεβέσι σαγήνῃ ἀδίκως (ἀναξίως) ἐμπεσών. κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις 'Αρφ. Βάτ. 1291 ('Απ. Αἰσχ. 282) παρασχὼν ἑαυτὸν ταῖς ἀεροφ. ἰταμαῖς (τολμηραῖς) κυ-

σὶν («ἁρπακτικοῖς ἀετοῖς» Σχ.) κυρεῖν («ἐπιτυχεῖν» Σχ., ὥστε κυρεῖν αὐτοῦ). Ἀλλ' εἶνε ὀρθή, φαίνεται, ἡ διόρθ. τοῦ Blaydes κείρειν, τ. ἔ. παρασχὼν ἑαυτὸν τοῖς ἀετοῖς (καὶ τοῖς ἄλλοις ἁρπακτικοῖς ὀρνέοις) διασπαράττειν. τοῦ βίου δὲ λῷονος ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός Σοφ. Ο. Τ. 1514 νὰ ἐπιτύχητε δὲ τὸν βίον καλλίτερον παρὰ τὸν γεννήσαντα ὑμᾶς πατέρα σας. Ἀλλὰ βίον εὖ κυρήσας Αἰσχ. Ἑπτ. 686 ἂν καλῶς κανονίσῃς τὸν βίον σου. κἀγὼ πάλου τ' ἔκυρσα, τοὔπερ ἤθελον Πέρσ. 781 ἔτυχον τοῦ κλήρου ἀκριβῶς, ὃν ἤθελον. κυρούντων σώμασιν τὰ πρόσφορα Χο. 710 ἂς λαμβάνωσι τὰ προσήκοντα (ἐπιτήδεια) εἰς τὰ σώματά των: ὅ τι τοὺς χρειάζεται. καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ Ἑπτ. 23 καλῶς κατα τὸ πλεῖστον προβαίνει ὁ πόλεμος ἐκ μέρους τῶν θεῶν. πολλὰ πολλῶν κυρεῖ Εὐρ. Ἰ. Τ. 759 «πολλὰ (κακὰ) ἐκ πολλῶν (κακῶν) συμβαίνουσι» Δ. Βερναρδ. οὔτοι κυρήσεις μεῖον ἀξίως σέθεν Χο. 703 δὲν θὰ τύχῃς μικροτέρας τιμῆς ἀναλόγως τῆς ἀξίας σου. εἰ δὲ κυρήσαι δαίμων οὗτος, φροῦδος ἐς Ἅιδην θάνατος προφέρων σώματα τέκνων Εὐρ. Μήδ. 1110 ἐὰν δὲ ἤθελε συμβῇ ἡ ἀγαθὴ αὕτη τύχη, ταχέως ὁ θάνατος θὰ πάρῃ καὶ θὰ φέρῃ εἰς τὸν Ἅιδην τὰ σώματα τῶν τέκνων. οὑμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Ἀπ. Αἰσχ. 159 ἡ ἐμὴ δε τύχη μέχρι τοῦ οὐρανοῦ ὑψωθεῖσα πίπτει κατὰ γῆς. οὐδὲ γέρων (διορθοῦσι: γὰρ ὥς: περ ὧδ': θανών) ἀφίλητοὶ ἐμοί ποτε καὶ τᾷδε μὴ κυρήσῃς Σοφ. Ο. Κ. 1702 καὶ δὲν εἶνε βέβαια δυνατὸν σύ, ὁ ὁποῖος τόσον μᾶς ἠγάπας (μᾶς ἐλάτρευες), νὰ εἶσαι μὴ ἀγαπητὸς εἰς ἐμὲ καὶ ταύτην (την Ἰσμήνην). Ἂν τὸ νόημα τοῦτο εἶνε ὀρθὸν καὶ παρεπόμενον, πρέπον εἶνε νὰ γραφῇ γ' ἐρῶν ἀντὶ τοῦ γέρων. Καὶ ὅμως οὔτε ἡ εὐπρόσωπος αὕτη ἐμὴ διόρθωσις οὔτε αἱ τῶν ἄλλων εἶνε ὀρθαὶ ὡς ἐκ τῆς συνεχείας τῶν νοημάτων, ὀρθῶς νοουμένων καὶ ὑπονοουμένων. Καὶ δὲν ἐμπορεῖ τις, λέγουν, νὰ εἴπῃ, ὅτι ὁ ἀποθανὼν ἦτο γέρων, παρακολουθούμενος ὑπὸ πολλῶν κακῶν. Ἐφ' ὅσον ἡμεῖς εἴχομεν αὐτὸν ζῶντα μεταξὺ τῶν χειρῶν μας, τὰ συμπαρομαρτοῦντα ταῦτα κακὰ ἐλησμονοῦμεν. Ἂς ἔζῃ ἐκεῖνος, καὶ ἂς ἦτο γέρων, ἡμεῖς τὸν ἠγαπῶμεν, καὶ ποτὲ δὲν θὰ παύσῃ, ἂν καὶ ἦτο γέρων, νὰ εἶνε ἀγαπητὸς εἰς ἡμᾶς. Τὸ γέρων λοιπὸν εἶνε ἀναγκαῖον, καὶ προτιμητέον οἱασδήποτε διορθώσεως. τόδ' ἂν γένος λέγων ἐξ Ἐπάφου κυρήσαις Αἰσχ. Ἱκ. 596 «τὸ γένος ἡμῶν ἐξ Ἐπάφου λέγων εἶναι, τῆς ἀληθείας κυρήσεις καὶ οὐ ψεύσῃ» Σχ. ὅρα καθ' ὕπνον μὴ καταυλισθεὶς κυρῇ Σοφ. Φιλ. 30 ἰδ. κατά. Καὶ κατά τινα πλεονασμόν: μέν' ὡς κυρεῖς ἔχων Αἴ. 87 ὡς τυγχάνεις ἔχων, ὅπως ἔτυχε νὰ εἶσαι.— ἀναξίου μὲν φωτὸς ἐξερήσομαι.., τί νῦν κυρεῖ Φιλ. 440 θὰ ἐρωτήσω περὶ ἀναξίου τινὸς ἀνθρώπου, τί κάμνει τώρα (τί γίνεται). ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ Ω 530 ἄλλοτε μὲν ἐντυγχάνει (συντυγχάνει, περιπίπτει) δυστυχίᾳ (κακῷ τινι), ἄλλοτε δ' εὐτυχίᾳ (ἀγαθῷ τινι). ὁ δὲ μὴ κύρσας βαρέων τούτων οὐκ οἶδεν, ὅθεν πληγαὶ βιότου Αἰσχ. Εὐμ. 933 βραχυλογία: ὅστις (οὐδὲν διαπράξας κακὸν) δεν ἐδοκίμασε (προηγουμένως) τὴν βαρεῖαν ὀργὴν (τῶν Ἐρινύων), δὲν γνωρίζει (κατόπιν, δηλ. ὅταν ἔξαφνα προσβληθῇ), πόθεν προέρχονται τὰ (προσβάλλοντα αὐτὸν) πλήγματα τοῦ (ἡσύχου καὶ ἀταράχου) βίου του· διότι τὰ ἐκ τῶν προπατόρων ἁμαρτήματα παιδεύουσιν αὐτὸν (κυρ. ἀπάγουσιν αὐτὸν πρὸς τὰς Ἐρινύας). τί ποτ' αὐτίκα κύρσει; Σοφ. Ο. Κ. 225 τί ἆρά γε μέλλει νὰ συμβῇ τώρα (εἰς ἡμᾶς): μελάθρου κῦρε κάρη Ὁμ. Ὕμν. Δήμ. 189 ἡ κεφαλὴ αὐτῆς ἤγγιζε τὸ μέλαθρον (τὴν διάμεσον δοκὸν τῆς ὀροφῆς). εἴθ' ἀελλαία ταχύρρωστος πελειὰς αἰθερίας νεφέλας κύρσαιμι Σοφ. Ο. Κ. 1081 εἴθε ὡς ἀελλ. ταχυκίνητος πελειὰς νὰ ὑψωθῶ μέχρι τῆς αἰθερίας νεφέλης. αἰὲν ἐπ' αὐχένι κῦρε δουρὸς ἀκωκῇ Ψ 821 ἐσκόπευε πάντοτε νὰ ἐπιτύχῃ μὲ τὴν κόψιν τῆς λόγχης τὸν τράχηλον (τοῦ ἀντιπάλου). ἤν τι μὴ νῦν ἧμιν ἐς βόλον κύρσῃ, οὐκ οἶδ' ὅκως ἄμεινον ἡ κύθρη πράξει Ἡρώνδ. 7, 75 ἂν τώρα δὲν πέσῃ, δὲν ἔλθῃ, τίποτε εἰς τὸ δίκτυόν μας, δὲν ἠξεύρω πῶς θὰ βγάλωμε καλλίτερα τὸ καρβέλι· κυρ. πῶς ἡ χύτρα, ἐν ᾗ τὸ φαγητόν, θὰ εἶνε εἰς καλλιτέραν κατάστασιν· σχεδόν: δὲν ἠξεύρω ἂν θὰ φᾶμε (κρέας). οἷ (Diels: οἱ) γὰρ πάντοθεν ἶσον, ὁμῶς ἐν πείρασι κύρει Ἀπ. Παρμεν. 8, 49 διότι (τὸ κέντρον), ὡς πρὸς τὸ ὁποῖον πανταχόθεν (ἀπὸ πάντων τῶν περάτων) ὑπάρχει ἴση ἀπόστασις, τείνει (ἐγκύρει κυρ. ἐμπίπτει) συμμέτρως (ἐν ὁμοίᾳ, ἴσῃ ἀποστάσει) εἰς τὰ πέρατα (τὴν ἐπιφάνειαν τῆς σφαίρας), τ. ἔ. ἡ ἀπὸ τοῦ κέντρου εἰς τὰ πέρατα ἀπόστασις εἶνε ὅση ἡ ἀπὸ τῶν περάτων εἰς τὸ κέντρον. οὐδ' ἔμελέν σοι ταῦτα μεταλλῆσαι, τίνες αὖραι Ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὅ τι κύρει ἕκαστα Ἀπ. Τίμων. 48 (38) οὐδ' ἐφρόντιζες ταῦτα ἐρευνῆσαι, τίνες ἄνεμοι ἔχουσιν Ἑλλάδα (ταῦτα ἀναφ. εἰς τὴν μετεωρολογίαν), πόθεν ἕκαστα γίγνεται καὶ εἰς ὅ τι τελευτᾷ (ταῦτα εἰς τὴν γένεσιν καὶ φθορὰν τῶν ὄντων).

κύριος 3: κύριος ἦν αὐτὸς πράσσων ταῦτα Θουκ. 8, 51 κυρ. εἶχεν αὐτὸς τὴν ἐξουσίαν, ἐν ᾧ ἔπραττε ταῦτα. ὕπνος πόνος τε κύριοι συνωμόται Αἰσχ. Εὐμ. 127 ἁρμόδιοι (κατάλληλοι) συνωμόται. ματρῷον ἄγνισμα (ὃ ἴδε) κύριον φόνου Αὐτ. 327 (ὅστις εἶνε) τὸ καθ' αὐτὸ μέσον ἐξαγνισμοῦ διὰ τὸν φόνον τῆς μητρός του. κύριον μένει τέλος Αἰσχ. Εὐμ. 547 ἡ ἡμέρα τῆς κρίσεως (σὲ) αναμένει. ὅτε (Klausen: ὅταν) τὸ κύριον μόλῃ φάος τόκου (Ahrens: νεαρὰ φάους κότον) Ἀγ. 762 ὅταν ἔλθῃ ἡ ὡρισμένη

ἡμέρα τοῦ τοκετοῦ. κυριωτέρα περὶ τὴν ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη τῆς τῶν ποιητῶν ἐστιν Ἀριστοτ. Ποι. 1450 b 20 ἁρμοδιωτέρα διὰ τὴν προπαρασκευὴν τοῦ θεαματικοῦ μέρους εἶνε ἡ τέχνη τοῦ σκευοποιοῦ παρὰ τὴν τοῦ ποιητοῦ. ἐμὸς οὐχ, ὁ τοῦδε μῦθος κυριώτερος λέγειν Εὐρ. Ἰ. Α. 318 ὄχι ἡ ἐμή, (ἀλλ') ἡ ἀφήγησις τούτου περισσότερον κῦρος ἔχει, ἵνα τὴν λέγῃ τις. οὐχὶ καλῶς ἔχει τὴν ἑτέραν ἀπάτην κυριωτέραν ποιήσασθαι τῆς ὑμετέρας αὐτῶν γνώμης Δημ. 23, 98 δὲν εἶνε ὀρθὸν τὴν ἀπάτην τῶν ἄλλων (τὸ ὅτι ἄλλοι ἠθέλησαν ν' ἀπατηθῶσι) νὰ θεωρήσητε πλέον ἔγκυρον (νὰ προτιμήσητε) τῆς ὑμετέρας γνώμης. — κύρι' ἔχοντες Αἰσχ. Εὐμ. 961 ἔχοντες τὴν (πρὸς τοῦτο) ἐξουσίαν (ἐνν. Ζεύς, Ἥρα καὶ Ἀφροδίτη). εἶτ' ἀφεὶς τὰ τῆσδε τῆς γῆς κύρια Σοφ. Ο. Κ. 915 εἶτα παραμελήσας (ἀφήσας κατὰ μέρος) τοὺς ἀπαραβιάστους θεσμοὺς τῆς χώρας ταύτης (Ἀττικῆς). Κιθαιρών, ὃν μήτηρ τέ μοι πατήρ τ' ἐθέσθην ζῶντε κύριον τάφον Ο. Τ. 1453 τὸν ὁποῖον ἡ μήτηρ καὶ ὁ πατὴρ ζῶντες προώρισάν μοι ὡς προσήκοντα («ὀφειλόμενον καὶ κεκυρωμένον») τάφον. τὰ κύρι' ἅττα ποτ' ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων Δημ. 19, 259 αἱ ἀνώταται (αἱ κυρίαρχοι) ἀρχαί, ὁποῖαι καὶ ἂν εἶνε ἐν ἑκάστῃ πόλει. χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην Αἰσχ. Ἱκ. 780 ἐν τῷ (προσήκοντι) χρόνῳ βεβαίως καὶ ἐν τῇ ὑπὸ τῆς μοίρας ὡρισμένῃ ἡμέρᾳ τοὺς θεοὺς περιφρονῶν τις τῶν θνητῶν θὰ τιμωρηθῇ. — κύριον ἐπιγραψάμενος τὸν ἀδελφόν Δημ. 43, 15 ἴδ. ἐπιγράφω. τούσδε κυρίους εἶναι χρημάτων 43, 51 οἱ ἑξῆς νὰ εἶνε κύριοι τῆς καταλειφθείσης περιουσίας. κυρίαν ποιησάμενος 39, 15 ἴδ. ἐξούλης. ἐὰν μὲν ἐπίκληρός τις ᾖ, τὸν κύριον ἔχειν· ἐὰν δὲ μὴ ᾖ, ὅτῳ ἂν ἐπιτρέψῃ, τοῦτον κύριον εἶναι Δημ. 46, 18 ἐὰν μὲν (ἡ μέλλουσα νὰ ὑπανδρευθῇ) εἶνέ τις ἐπίκληρος, νὰ ἔχῃ αὐτὴν σύζυγον ὁ κύριος αὐτῆς (τ. ἔ. ὁ νόμιμος προστάτης, φύλαξ)· ἐὰν δὲ δὲν εἶνε ἐπίκληρος, οὗτος νὰ εἶνε κύριος αὐτῆς, εἰς τὸν ὁποῖον θὰ ἐμπιστεύηται αὐτὴν ἡ διαθήκη (κατ' ἄλλους: εἰς τὸν ὁποῖον θὰ ἐμπιστεύσῃ αὐτὴ ἑαυτήν). φάσκων ἀεί μοι μαρτυρήσειν εἰς τὴν κυρίαν ἀπόφασιν Δημ. 49, 19 διαβεβαιῶν πάντοτε, ὅτι θά μοι δώσῃ τὴν μαρτυρίαν του κατὰ τὴν ἡμέραν τῆς ὁριστικῆς ἀποφάσεως, εἰς τὸ τέλος τῆς προδικασίας.

κυρίως ἐγκύρως Δημ. 36, 32. Ἰσαῖ. 10, 23. νομίμως Δημ. 44, 49. δὸς τύχας τυχεῖν δέ μου κυρίως Αἰσχ. Χο. 781 «δός μοι εὐτυχίαν εὐτυχῆσαι βεβαίως» Σχ. ἴδ. τυγχάνω. τὸν πάθει μάθος θέντα κυρίως ἔχειν Ἀγ. 187 τὸν ποιήσαντα, ὥστε τὸ μάθημα νὰ ἔχῃ (νὰ ἀνακτᾷ) κῦρος διὰ τοῦ παθήματος.

κυρίσσω, Ἀττ. κυρίττω· οἱ δ' ἀμφὶ νῆσον νικώμενοι (δινούμενοι Wecklein) κύρισσον ἰσχυρὰν χθόνα Αἰσχ. Πέρ. 312 ἐπειδὴ ἐνικῶντο, ἔπληττον διὰ τῆς κεφαλῆς των τὴν δυνατὴν γῆν. ὁ ταῦρος δ' ἔοικεν κυρίξειν τιν' ἀρχόν (οὕτως ἔγραψα: τιν' ἀρχάν, ὁ δὲ Herwerden τὸν ἀρχόν), φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν Ἀπ. Αἰσχ. 23 ὁ ταῦρος φαίνεται ὅτι θὰ κτυπήσῃ μὲ τὰ κέρατά τινα προπορευόμενον (καὶ διευθυνόμενον ἐπί τινα βοῦν)· ἂν δὲ προφθάσῃ, ἐν ᾧ ἐπιβαίνει (ὁ ἄλλος), θὰ πηδήσῃ ἐμπρός του (ἵνα συγκρουσθῇ μὲ αὐτόν).

κῦρος τό: ἡ δὲ νῦν ἴσως πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν Σοφ. Ἠλ. 918 θὰ γίνῃ ἡ πρώτη ἐπικύρωσις, ἡ ὁριστικὴ ἀρχή, ἔναρξις.

κυρόω Αἰσχ. Πέρ. 229. Τὸ χωρίον: εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν σὺ ὁ πρῶτος τούτων τῶν ἐνυπνίων ἐξηγητὴς εὐνοϊκῶς ἐπεκύρωσας ταύτην τὴν γνώμην (ἀπόφασιν) διὰ τοῦ υἱοῦ μου καὶ τοῦ οἴκου μου. ἐπειδὴ τῆδ' ἐκύρωσεν φάτις ὑμῶν 524 ἐπειδὴ οὕτως καθώρισεν (ἔκρινεν) ἡ ἀπόφασις ὑμῶν. — σὺ δ' εἴσαγε ὅπως τ' ἐπίστᾳ τήνδε κύρωσον δίκην Εὐμ. 583 σὺ δὲ εἴσαγε τὴν ὑπόθεσιν καί, ὅπως γνωρίζεις καλῶς, ἐξένεγκε τελεσίδικον ἀπόφασιν. ποῖ κεκύρωται τέλος Αἰσχ. Ἱκ. 611 εἰς ποίαν τελειωτικὴν (ὁριστικὴν) ἀπόφασιν ἔχουν καταλήξῃ. μάχης δὴ κεκύρωται τέλος Χο. 873 τῆς μάχης τὸ τέλος ἔχει πλέον ἀποφασισθῇ: τώρα πλέον θὰ λάβῃ ὁριστικὸν τέλος ἡ μάχη. Αἱ διορθώσεις περιτταί. ἀμφοτέροις δοκοῦν ἀναχωρεῖν διὰ τὸ δέος ..., κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς, ὁπηνίκα χρὴ ὁρμᾶσθαι Θουκ. 4, 125 ἐν ᾧ ἀμφότεροι εἶχον τὴν γνώμην νὰ ὑποχωρήσωσι διὰ τὸν φόβον, ἀλλ' ἕνεκα τῆς ἀσυμφωνίας οὐδὲν ὁριστικὸν ἀπεφασίσθη περὶ τοῦ πότε ἔπρεπε νὰ ξεκινήσωσι.

κυσός ὁ: «ἡ πυγή, ἢ γυναικεῖον αἰδοῖον» Ησ. ὁ τὸν κυσὸν τρωθεὶς ᾔδεις ὅπου μάλιστα τοῦ κράνους χρεία Ἀπ. Ἡρώνδ. 19 (ἐκ τοῦ Φωτίου σ. 355, 19) σὺ ποῦ τὰς ἔφαγες 'ς τὸν πισινό, ἐγνώριζες ποῦ πρὸ πάντων ἐχρειάζετο ἡ περικεφαλαία. μὴ πρός τε κυσὸς φῆσι κέ. Ἡρώνδ. 2, 44 ἴδε λεία. ἢ προσμενεῖς σὺ (ἄλλ. ῥέγχουσα), μέχρι σευ ἥλιος θάλψῃ τὸν κυσὸν ἐσδύς: 8, 3 μέχρις οὗ ὁ ἥλιος εἰσχωρήσας θερμάνῃ τὸ αἰδοῖόν σου;

κύτος τό, πᾶν τὸ χωροῦν τι, χωρητικόν τινος, κοίλωμα, «κουφάρι»· «τὸ ἀπ' αὐχένος μέχρι αἰδοίων κύτος» Ἀριστοτ. 491 a 29. ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου Αἰσχ. Ἑπτ. 482 τὸ δὲ κούφωμα τοῦ κοιλογάστορος κύκλου (τῆς ἀσπίδος) γύρω γύρω εἶνε προσηρμοσμένον μὲ τὸ ἔδαφος διὰ πλεκτανῶν ὄφεων. κύτος ἑλικτὸν ἀντίπηγος Εὐρ. Ἴων 39, ἴδ. ἑλικτός. παιδεύθην, παίδευσα, κύτος κόσμοιο πέδησα, θείας ἐξ ἀθανάτων φωσὶ φράσας ἀρετάς Ἑλλ. Ἐπ. 615 ὑπέταξα τὸ κοῖλον

τοῦ κόσμου (τ. ἔ. ἐδήλωσα διὰ ποίων νόμων διοικεῖται τὸ σύμπαν, κυρ. τὸ κοῖλον τοῦτο, ὅπερ βλέπομεν) ἀνακοινώσας τοῖς ἀνθρώποις θείας ἀρετὰς ἐξ ἀθανάτων (εἰλημμένας).

κύω ἴδ. κυέω.

κύων ὁ, ἡ· κυνός, κυνί, κύνα, κύον («ὦ κύων διὰ τοῦ ω Ἄρχιππος Ἀμφιτρύωνι» Ἀ. Β. 105, 16). Πλ. κύνες, κυνῶν, κυσί, κύνας. ἡ κύων ἐπὶ φάτνῃ παροιμία «ἐπὶ τῶν μήτε χρωμένων μήτε ἄλλοις διδόντων». φύλαξαι μητρὸς ἐγκότους κύνας Αἰσχ. Χο. 923 φυλάξου ἀπὸ τὰς ἐκδικητικὰς Ἐρινύας τῆς μητρός σου. ἡ ῥαψῳδὸς κύων Σοφ. Ο. Τ. 391 ἡ ῥαψῳδός, ὅτι ἀπήγγελλε τὸ ἔμμετρον αἴνιγμα, ὅπερ ἔμαθεν ἐκ τῶν Μουσῶν· κύων δέ, ὅτι καὶ ἡ Ὕδρα καὶ ἡ Σκύλλα, αἱ Ἅρπυιαι, αἱ Ἐρινύες καὶ ἄλλα ὅμοια τέρατα, ἐκαλοῦντο ὑπὸ τῶν ποιητῶν κύνες. Σφίγγα δυσαμεριᾶν πρύτανιν κύνα Ἀπ. Αἰσχ. 236 (Ἀρφ. Βατρ. 1287) «Σφίγγα δὲ δυσαμερίαν τὴν ἐπὶ κακῷ [χρόνῳ] Θηβαίοις φανεῖσαν, πάροχον θανάτου» Σχ. Ἀρφ. Τὸ δυσαμεριᾶν (ἀντὶ τοῦ δυσαμερίαν) ὀφείλεται εἰς τὸν Dind.: (πέμπει) τὴν Σφίγγα, τὴν κύνα (τὸ τέρας, «τὸ θερμό»), τὴν κακῶν ἡμερῶν πρόξενον ἡμῖν. κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις Ἀρφ. Βάτ. 1291 ἴδ. κυρέω. μετάδρομοι κακῶν πανουργημάτων ἄφυκτοι κύνες Σοφ. Ἠλ. 1387 αἱ καταδιώκουσαι τὰ κακὰ (ἐπίβουλα καὶ ὀλέθρια) πανουργήματα ἄφυκτοι κύνες (αἱ Ἐρινύες, παριστάμεναι ὡς κύνες συνοδεύουσαι τὸν Ἄρην ὡς κυνηγόν). τὰν μυριόκρανον πολυφόνον κύνα Λέρνας Ὕδραν ἐξεπύρωσεν Εὐρ. Ἡρ. Μ. 419 τὴν μυριόκρανον, τὴν πολλοὺς φόνους προξενήσασαν θεράπαιναν τῆς Λέρνης, τὴν Ὕδραν, καυτηριάσας ἀπέκοψε τὰς κεφαλάς της. μείναντες ἐπὶ κυνὶ ἡμέρας δέκα Δημ. 35, 13 ἀφ' οὗ μείνωσι δέκα ἡμέρας μετὰ τὴν δύσιν τοῦ κυνός, μετὰ τὰ κυνικὰ καύματα.

κώδων ὁ: τοῦ κώδωνος παρενεχθέντος Θουκ. 4, 135 ἀφ' οὗ ὁ κώδων (τῶν περιπόλων) παρῆλθε. ἃ τῶν ἄλλων ἕκαστος ἀψοφητὶ ποιεῖ, ταῦτα οὗτος μόνον οὐ κώδωνας ἐξαψάμενος διαπράττεται Δημ. 25, 90 ἐκεῖνα τὰ ὁποῖα ἕκαστος τῶν ἄλλων ἀθορύβως ποιεῖ, ταῦτα οὗτος κατορθώνει, ἀφ' οὗ σχεδὸν κρεμάσῃ ἀπ' ἐπάνω του κώδωνας (διὰ νὰ τὸν ἀκούουν).

κωκύω (ῡ ἐν τῷ ἐνεστ. καὶ πρτ. παρ' Ὁμ., ῠ παρ' Ἀρφ., ῡ παρὰ μτγν.) ποιητ. καὶ μτγν. πεζ. κωκύσω Αἰσχ. Ἀγ. 1312 καὶ -ύσομαι Ἀρφ. Λυσ. 1222. ἐκώκῡσα ἐπ. Τραγ. καὶ μτγν. πεζ. Μέσ. κωκύομαι = κωκύω Ἀνθ. 7, 412. περικωκύσαντο Κ. Σμυρν. 2, 591. μακρὰ κωκύσεσθε τὰς τρίχας Ἀρφ. Λυσ. 1222 θὰ κλαύσητε πολὺ διὰ τὰ μαλλιά σας ποῦ θὰ καύσωμεν (εἶδος ἀρᾶς).

κῶλον τό: μεθῆκεν αὐτοῦ (αὑτοῦ Voss) κῶλα Αἰσχ. Ἀγ. 1384 ἐχαλάρωσε τὰς χεῖρας καὶ τοὺς πόδας του καὶ κατέπεσεν αὐτοῦ (εἰς τὸν τόπον). ἁβρὸν τιθεῖσα κῶλον ἀσθενὲς θ' ἅμα Εὐρ. Ἰ. Α 614 «ἐπιτηδεύουσα ἁβρὸν καὶ ἅμα ἄτονον βάδισμα. Ἐνν. τὴν ἐπιτηδευτὴν συμπεριφοράν, ἤτοι τὰ νυμφικᾶτα» Δ. Βερν. πυγμαὶ δ' ἦσαν ἐγκροτούμεναι (ὃ ἴδε), καὶ κῶλ' (= πόδες = λακτίσματα) ἀπ' ἀμφοῖν τοῖν νεανίαιν ἅμα εἰς πλευρὰ καὶ πρὸς ἧπαρ ἠκοντίζετο Εὐρ. Ἰ. Τ. 1370 καὶ ἅμα πυγμαί τε ἐνεκροτοῦντο καὶ λακτίσματα ἠκοντίζετο ὑπ' ἀμφοτέρων τῶν νεανιῶν εἰς πλευρά τε καὶ ἧπαρ ἡμῶν τῶν ἄλλων.

κωλύω (ῡ ἐν ἐνεστ. καὶ πρτ. συνήθως, ῠ σπανίως ὡς ἐν Ἀρφ. Ἱππ. 713. 972. ἐν δὲ τοῖς λοιποῖς χρόνοις ῡ) ὁμαλόν. κωλύσω κέ. κωλυθήσομαι Λουκ. Ἀλ. ἱστ. 2, 25. Γαλην. 1, 380. κωλύσομαι (θὰ κωλύωμαι) Θουκ. 1, 142. κωλῡτός μτγν., -τέον. ἔστιν τις ὅς σε κωλύσει τὸ δρᾶν Σοφ. Φιλ. 1241 ὑπάρχει τις ὅστις θά σε ἐμποδίσῃ νὰ πράξῃς τοῦτο· πρβ. 1252. Ο. Κ. 442. κἀκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους Θουκ. 1, 35 καὶ ἐκείνους νὰ ἐμποδίζητε νὰ λαμβάνωσι μισθοφόρους ἐκ τῆς χώρας ὑμῶν. οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ ἐσθλή Ἀπ. Εὐρ. 1055 τ. ἔ. εἶναι (γενέσθαι) οἰκοφθόρον. τό γ' ἐμὸν οὐδὲν κωλύει Πλ. Γοργ. 458 D ἀπὸ μέρους μου δὲν ὑπάρχει κανὲν ἐμπόδιον. ἐν τούτῳ κεκωλῦσθαι (ὑποκ. τὰ πράγματα, κυρ. = κώλυμα γεγενῆσθαι) ἐδόκει ἕκαστος, ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν Θουκ. 4, 14 (πρβ. 2, 8) ἕκαστος ἐνόμιζεν, ὅτι τὰ πράγματα βαίνουσι κακῶς ἐκεῖ, ὅπου δὲν ἦτο ἐμπράκτως παρὼν καὶ ὁ ἴδιος. νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ 2, 64 καὶ τώρα προσέξετε νὰ μὴ παρεμποδισθῶσι ταῦτα ἕνεκα ὑμῶν. Ἀλλὰ κυρ. ἀπροσ.: νὰ μὴ γίνῃ τι ἐμπόδιον εἰς ὑμᾶς: νὰ μὴ χρησιμεύσητε ὡς ἐμπόδιον· πρβ. 4, 14. μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω Θουκ. 1, 129 συνήθως ἐνν. ὡς ὑποκείμ. «τοῦτο, ὃ μέλλεις πράσσειν». Μᾶλλον ἀπροσ. μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κώλυμά σοι γεγενήσθω.

κωμάζω ὁμαλόν· -άσω Πίνδ. Ν. 9, 1. καὶ -άσομαι Π. 9, 89 καὶ μτγν. (Δωρ. κωμάξομαι Πίνδ. Ἰ. 1, 3, 90). ἐκώμασα (κωμάξατε Πίνδ. Ν. 2, 24). ἐπεισκεκωμακότες Πλ. Πολ. 500 Β. τὸν καλλίνικον μετὰ θεῶν ἐκώμασε Εὐρ. Ἡρ. Μ. 180 ἑώρτασε μετὰ τῶν θεῶν τὸν καλλίνικον κῶμον (ὕμνον). ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις Πίνδ. Ν. 11, 27 ἑορτάσας τὴν ὑπὸ τοῦ Ἡρακλέους ἱδρυθεῖσαν ἑορτήν. τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν Π. 9, 89 τούτους εἰς ἐκπλήρωσιν εὐχῆς (ταξίματος), παθὼν καλὸν (δηλ. νικήσας), θὰ ἐξυμνήσω διὰ κώμου. κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα Θεόκρ. 3, 1 = κῶμον ἄγω πρὸς τὴν Ἀμαρυλλίδα, «κάμνω πατινάδα», περιέρχομαι εὔθυμος μετὰ μουσικῶν ὀργάνων, καὶ ἴδ. ψάλλω ἐρωτικὰ ᾄσματα πρὸ τῆς οἰκίας τῆς ἐρωμένης. κηκ

πυρὸς εἰς Οὔλυμπον ἐκώμασας, ὦ βαρύμοχθε Ἀλκείδη Ἀνθολ. Πλαν. 102 καὶ ἐκ τῆς πυρᾶς ἀνῆλθες εἰς τὸν Ὄλυμπον, ἵνα κωμάσῃς ὡς νικητής. ὃς ἐκώμασε Διογεν. 8, 60 παροιμία «ἐπὶ τῶν ἀκόσμως τι ποιούντων».

κῶμος (κώμη) ὁ: καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον, βρότειον αἷμα κῶμος ἐν δόμοις μένει, δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων Αἰσχ. Ἀγ. 1187 καὶ μάλιστα ἀφ' οὗ ἔπιεν ἀνθρώπινον αἷμα, ἵνα περισσότερον θρασύνηται ὁ κωμάζων οὗτος χορὸς τῶν συγγενικῶν Ἐρινύων (τῶν ἐκδικουμένων τὸν φόνον τῶν συγγενῶν), διαμένει ἐν τῷ οἴκῳ (εἰ καὶ οἱ κωμάζοντες ἐξέρχονται καὶ περιέρχονται τὰς ὁδούς), δυσκόλως δυνάμενος νὰ ἐκπεμφθῇ.

κωμῳδία (κωμῳδός). Τὴν ἐκ τοῦ κῶμος (κωμάζειν) παραγωγὴν ἀποκρούων ὁ Ἀριστοτέλης ἐν Ποιητ. κεφ. 3 (1448 a 25) ἀποδέχεται τὴν ἐκ τοῦ κώμη ἐν τοῖς ἐφεξῆς, ἃ παραθέτω ὡς ἄξια λόγου: ὥστε τῇ μὲν ὁ αὐτὸς ἂν εἴη μιμητὴς Ὁμήρῳ Σοφοκλῆς, μιμοῦνται γὰρ ἄμφω σπουδαίους· τῇ δὲ Ἀριστοφάνει, πράττοντας γὰρ μιμοῦνται καὶ δρῶντας ἄμφω. Ὅθεν καὶ «δράματα» καλεῖσθαι τινὲς αὐτά φασιν, ὅτι μιμοῦνται δρῶντας· διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς — τῆς μὲν γὰρ κωμῳδίας οἱ Μεγαρεῖς οἵ τε ἐνταῦθα ὡς ἐπὶ τῆς παρ' αὐτοῖς δημοκρατίας γενομένης καὶ οἱ ἐκ Σικελίας· ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητὴς πολλῷ πρότερος ὢν Χιωνίδου καὶ Μάγνητος, καὶ τῆς τραγῳδίας ἔνιοι τῶν ἐν Πελοποννήσῳ — ποιούμενοι τὰ ὀνόματα σημεῖον· αὐτοὶ μὲν γὰρ «κώμας» τὰς περιοικίδας καλεῖν φασιν, Ἀθηναίους δὲ «δήμους», ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ «κωμάζειν» λεχθέντας, ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄστεως, καὶ τὸ ποιεῖν αὐτοὶ μὲν «δρᾶν», Ἀθηναίους δὲ «πράττειν» προσαγορεύειν: ὥστε κατά τινα μὲν λόγον ὁ Σοφοκλῆς θὰ εἶνε ὡς μιμητὴς ὁ ἴδιος μὲ τὸν Ὅμηρον, κατά τινα δὲ ἄλλον λόγον ὁ αὐτὸς μὲ τὸν Ἀριστοφάνην, διότι ἀμφότεροι ἀπομιμοῦνται πράττοντας καὶ δρῶντας. Ὅθεν καὶ τὰ σκηνικὰ ἔργα αὐτῶν, ἐπειδὴ μιμοῦνται δρῶντας, λέγουσί τινες ὅτι καλοῦνται δράματα. Διὰ τοῦτο καὶ ἀντιποιοῦνται καὶ τῆς τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς· δηλαδὴ τῆς μὲν κωμῳδίας ἀντιποιοῦνται οἱ Μεγαρεῖς, οἵ τε ἐνταῦθα (οἱ ἐν μητροπόλει), ἰσχυριζόμενοι ὅτι ἐδημιουργήθη κατὰ τοὺς χρόνους τῆς παρ' αὐτοῖς δημοκρατίας, καὶ οἱ ἐκ Σικελίας, διότι ἐκεῖθεν ἦτο Ἐπίχαρμος ὁ ποιητὴς πολὺ προγενέστερος τοῦ Χιωνίδου καὶ τοῦ Μάγνητος. Καὶ τῆς τραγῳδίας ἀντιποιοῦνταί τινες τῶν ἐν Πελοποννήσῳ, ἀναφέροντες ὡς ἀπόδειξιν τὰ ὀνόματα (τὰς λέξεις)· διότι λέγουσιν, ὅτι αὐτοὶ μὲν τὰ πέριξ κατοικούμενα χωρία ὀνομάζουσι κώμας, οἱ δὲ Ἀθηναῖοι δήμους, παρατηροῦντες, ὅτι κωμῳδοὶ ἐλέχθησαν ὄχι ἀπὸ τοῦ κωμάζειν, ἀλλ' ἕνεκα τῆς κατὰ κώμας πλάνης, διότι περιφρονούμενοι ἀπεδιώκοντο ἐκ τοῦ ἄστεως· καὶ ὅτι τὸ ποιεῖν αὐτοὶ μὲν δρᾶν, οἱ δε Ἀθηναῖοι πράττειν λέγουσι. — Ἀποφεύγω τὰ σχόλια καὶ τὰς ἀναπτύξεις, διότι δύνανται νὰ συναποτελέσωσιν ἐν ὁλόκληρον εὐμέγεθες κεφάλαιον γραμματολογικῆς, ὡς καὶ συναπετελέσθη ἤδη ὑπὸ πολλῶν.

κωμῳδολοιχέω ὡς κωμῳδὸς διὰ κωμικῶν σκωμμάτων, παιγνίων, βωμολοχιῶν, λείχω τινά, παρασιτῶ, κολακεύω τινά· κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί Ἀρφ. Σφ. 1318 ἐν ᾧ πάντοτε μὲ τὰς βωμολοχίας σου κολακεύεις τοὺς πλουσίους, τριγυρίζων αὐτούς.

κωμῳδός: «ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄστεως»: παρατηροῦντες ὅτι κωμῳδοὶ ἐλέχθησαν ὄχι ἀπὸ τοῦ κωμάζειν ἀλλ' ἕνεκα τῆς κατὰ κώμας πλάνης, διότι περιφρονούμενοι ἀπεδιώκοντο ἐκ τοῦ ἄστεως. Ἀριστοτ. Ποιητ. ἔνθ. ἀνωτ.

κωπηλατέω: ναυπηγίαν δ' ὡσεί τις ἁρμόζων ἀνὴρ διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ Εὐρ. Κύκλ. 460 ὅπως τις ἀνὴρ προσαρμόζων τὰς χρησίμους εἰς ναυπήγησιν πλοίου δοκοὺς στρέφει τὸ τρύπανον (οἷον: κινεῖ ὡς κώπην) διὰ διπλῶν ἱμάντων. Πρβ. ι 384, ἴδ. καὶ κυκλόω.

κωπήρης στόλος Αἰσχ. Πέρ. 419 αἱ κῶπαι μετὰ πάντων τῶν ἐξαρτημάτων, ἡ συσκευὴ τῶν κωπῶν.

Λ

λαβή ἡ: τὰς ὁμοίας ἀντίδος λαβάς (Canter: βλάβας) λαβεῖν Αἰσχ. Χο. 496 δὸς ἡμῖν εἰς ἀνταπόδοσιν νὰ συλλάβωμεν αὐτοὺς καθ' ὅμοιον τρόπον (καθ' ὃν συνέλαβον σέ). περὶ μὲν τούτου εἰς τὰς ὁμοίας λαβὰς ἐλήλυθας Πλ. Φαῖδρ. 236 Β «ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, οἵ, τοῦ ἀφωρισμένου αὐτοῖς πρὸς τὸ παλαίειν τόπου ὁπότε ἐκπέσοιεν, εἶτα ἐπὶ τοῦ αὐτοῦ τόπου καὶ σχήματος εἰ πάλιν ἔλθοιεν, εἰς ὁμοίας ἐληλυθέναι λέγονται λαβάς, ὡς καὶ νῦν ὁ Σωκράτης εἰς τὴν αὐτὴν τῷ Φαίδρῳ περιῆλθε προσποίησιν τοῦ μὴ δύνασθαι λέγειν» Σχ. Καὶ κατ' ἔλλειψιν τοῦ λαβή, ὡς πάλιν οὖν αὐτὸν (τὸν λόγον) ἀνακρουώμεθα, καὶ τάχ' ἂν ἰόντες εἰς τὰς ὁμοίας (ἐνν. λαβὰς) ἴσως ἄν πως ἀλλήλοις συγχωρήσαιμεν Πλ. Φίληβ.

13 Ε πάλιν λοιπὸν ἂς στρέφωμεν ὀπίσω (ἂς ἀνκλάδωμεν ἐξ ἀρχῆς τὸν λόγον), καὶ ὅταν ἐπανέλθωμεν πάλιν εἰς τὰς αὐτὰς λαβάς, γρήγορα ἴσως κατά τινα τρόπον ἠθέλομεν συμφωνήσῃ πρὸς ἀλλήλους. Ἧττον ὀρθῶς ἄλλοι ἐνν. τὰς ὁμοίας ὁδούς. τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ ἔλυσεν Αἰσχ. Ἱκ. 946 τὴν ἔριν δὲν διαλύει ὁ Ἄρης διὰ λήψεως χρημάτων (ἀλλὰ δι' αἵματος καὶ σιδήρου).

λάβρος 2 (σπαν. 3. Τὸ ᾱ παρ' Ὁμ., βραχὺ Εὐρ. Ὀρ. 697. Ἡρ. Μ. 861. Ἀνθ. 11, 25) ὁρμητικός, βίαιος, θρασύς, ἄπληστος· σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον Πίνδ. Ὀ. 2, 95 σοφός ἐστιν ὁ πολλὰ εἰδὼς φύσει, «οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως πρὸς τὸν ἔχοντα τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ κόρακες λάβρως γαρύουσιν, ἀντὶ τοῦ: κράζουσιν ἀπέραντα παγγλωσσίᾳ, τ. ἔ. συγκεχυμέναις φωναῖς πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διός, τὸν ἀετόν, ἤγουν, ἐμέ. — Εἰ δέ πως πρὸς Βακχυλίδην καὶ Σιμωνίδην αἰνίττεται, καλῶς ἄρα ἐξείληπται τὸ γαρύετον δυϊκῶς» Σχ. Ἀλλὰ περὶ τοῦ δυϊκοῦ οὐδ' οἱ ἀρχαῖοι συνεφώνουν. Ἐκ τῶν διορθώσεων ἀξία μνείας εἶνε ἡ τοῦ Bergk: γαρυέτων κατὰ προστ. (πρβ. ἔστων καὶ ἴτων κττ.), ἥτις εἶνε ἱκανῶς ἐκφραστικὴ τῆς ὑπεροψίας τοῦ ποιητοῦ πρὸς τοὺς ἀντιπάλους. λάβρον ὑπερεῖσαι λίθον Μοισαῖον Ν 8, 46 τὴν ἐπαινετικὴν ᾠδὴν συγκρίνει πρὸς ἐπιτύμβιον στήλην: «λάβρον δὲ τὸν λίθον τῶν Μουσῶν ἀλληγορικῶς τὴν ἀπὸ τῶν λόγων ἔντονον στήλην φησί· λάβρον δὲ διὰ τὸ ῥεύματι χρῆσθαι τοὺς ποιητάς» Σχ.

λαβρόσυτος ταχέως (λάβρως) ἀφορμηθεὶς (συθείς), μετὰ θυελλώδους ταχύτητος· σκιρτημάτων δὲ νήστισιν αἰκίαις λαβρόσυτος ἦλθον Αἰσχ. Πρ. 625 ὁρμητικῶς κινηθεῖσα διὰ τῶν ἐκ τῶν σκιρτημάτων ταλαιπωριῶν τῶν νηστικῶν (ἂς ὑφίσταμαι νῆστις) ἦλθον.

λαγαρίζω ποιῶ τι λαγαρόν, λεπτόν, ἁπαλόν, χαλαρόν· καὶ μέσ. γίνομαι λαγαρός, ἀδύνατος, ἀδυνατίζω. Τὸ λαγαρίζειν ὁ Σχ. Ἀρφ. ἐξηγεῖ: «ἀποτρώγοντα θηλάζειν ἢ ἀποξύειν». Τὸ χωρ. τῶν Σφ. στ. 674 «ὡς ἤσθηνται τὸν σύρφακα ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδὲν καθὼς κατάλαβαν, ὅτι ὁ ὄχλος πιπιλίζει (γλείφει) τὴν κληρωτίδα καὶ ξεροκοκκαλίζει τὸ τίποτε.

λαγχάνω (ῥ. λαχ-) λαμβάνω διὰ τοῦ κλήρου· λήξομαι (λάξομαι Ἡρ. 7, 144. πρβ. λάξις 4, 21). ἔλαχον (ἔλλ- Ὕμν. Ὁμ. 5, 87. Θεόκρ. 25, 271. μετ' ἀναδιπλ. ὑπ. λελάχητε Ψ 76. λελάχωσι Η 80. Ο 350. Χ 343. κάλλ.). εἴληχα, καὶ (ἐκ τῆς ῥ. λεγχ-) λέλογχα. λελόγχᾱσι (λελόγχᾱσ') λ 304. πρβ. Ἀπ. Ἐμπεδοκλ. 102 λελόγχᾱσι πάντα (πρβ. πεφύκασι η 114). Πίνδ. Ὀ. 9, 15. Ν. 1, 24. Εὐρ. Τρ. 243 τριμ. 282 μελ. Ἡρ. 7, 53. [Δημ.] 21, 82 καὶ μτγν. ἐπι- Σοφ. Ο. Κ. 1235 χορ. λελάχασι Ἀπ. Ἐμπεδ. 115 (πρβ. πεπαθυῖα παρὰ τὸ πέπονθα). εἰλήχειν (ἐλελόγχει Λουκ. Ἔρ. 18. λελόγχ- Θεόκρ. 4, 40). Πρβ. Λουκ. Σολοικ. 5: ἑτέρου δὲ (εἰπόντος) ἐκλελογχότας διπλασιάζεις, ἔφη, τοὺς ἐξειληχότας.— εἰληγμένος Εὐρ. Τρ. 296 καὶ Ἀττ. πεζ. (λελάχαται Στοβ. 85, 19 Mein.). ἐλήχθην, ληκτέον. Συντάσσεται πρὸς αἰτ. πράγμ. ἢ πρὸς αἰτ. προσ. τὸ γὰρ λάχομεν γέρας ἡμεῖς Δ 49 τοῦτο (τὴν λοιβὴν καὶ τὴν κνῖσαν) ἐλάβομεν ὡς γέρας εἰς τὸ μερίδιόν μας ἡμεῖς οἱ θεοί. ἐμὲ μὲν Κὴρ . . . λάχε γιγνόμενόν περ Ψ 79 ἐμὲ μὲν ἅμα γεννώμενον ἔλαχεν ὁ βίαιος θάνατος ὡς ἴδιόν του: εἰς ἐμὲ ἅμα τῇ γεννήσει μου προωρίσθη βίαιος θάνατος. Τὸ κατ' αἰτ. ἀντικείμ. τοῦ πράγματος δύναται νὰ ἐκφέρηται καὶ δι' ἀπαρεμφ. κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι Ω 400 διὰ κλήρου ὡρίσθην νὰ πορεύωμαι (κυρ. ν' ἀκολουθῶ) ἐνταῦθα. βουλεύειν μου λαχόντος Δημ. 21, 111 ὅτε διὰ κλήρου ὡρίσθην νὰ εἶμαι βουλευτής. Καὶ ὁ λαχὼν βουλευτής, βασιλεὺς κττ. Καὶ ἀρχὴν λαχεῖν κατ' ἀντίθ. πρὸς τὸ χειροτονηθῆναι. οὐδεμίαν (ἀρχὴν) λαχὼν οὐδὲ χειροτονηθεὶς Αἰσχίν. 1, 106 οὔτε διὰ κλήρου οὔτε διὰ χειροτονίας λαβὼν ἀρχήν τινα. Ὡς ὅρος δικανικὸς λαγχάνω τινὶ (πρός τινα) λῆξιν κινῶ ἀγωγὴν ἐναντίον τινός. Συχνάκις δὲ ἐν τοῖς τοιούτοις παραλείπεται ἡ αἰτ. λῆξιν· ἴδε πρβγ. κατωτ.— Μετὰ γεν. κατὰ τὸ τυγχάνειν, ὡς χρυσῆς τιμῆς λαχεῖν Σοφ. Ἀντ. 699 τ. ἔ. λαμπρᾶς τιμῆς τυχεῖν. Ὁμοίως Θουκ. 2, 44. Εὐρ. Ἰκ. 1086 καὶ συχν. Σημειωτέον δὲ ὅτι τὸ ὕπνου λαγχάνειν (λαχεῖν) κεῖται ἐπὶ τῆς αὐτῆς ἐννοίας, ἐφ' ἧς καὶ τὸ ὕπνου τυγχάνειν (τυχεῖν), μετὰ μόνης τῆς διαφορᾶς, ὅτι τὸ ὕπνου λαγχάνειν φαίνεται ὅτι εἶνε ἀρχαιότερον καὶ κομψότερον. Ἀμτβ. πίπτω εἰς τὸν κλῆρον (εἰς τὸ μερίδιον) τινός, «λαχαίνω». οἱ δ' ἔλαχον, τοὺς ἄν κε καὶ ἤθελον αὐτὸς ἑλέσθαι ι 334 «ἔλαχαν» ἐκεῖνοι (ἔπεσεν ὁ κλῆρος εἰς ἐκείνους), τοὺς ὁποίους ἀκριβῶς καὶ ἐγὼ ὁ ἴδιος θὰ ἤθελα νὰ ἐκλέξω. Μτβ. μετὰ γεν. τοῦ πράγμ. καὶ αἰτ. τοῦ προσ.: ποιῶ τινα μέτοχόν τινος, ὡς ἐπὴν με πυρὸς λελάχητε Ψ 76 ἐπὴν με μετασχεῖν τοῦ νενομισμένου πυρὸς ποιήσητε. ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεί παλλομένων Ο 190 ἐγὼ μὲν ἔλαχον οἰκεῖν ἀεὶ τὴν λευκὴν θάλασσαν, ὅτε ἐκληρούμεθα. Οὕτω συνήθως, ἀλλὰ κυρ. ἔλαβον ὡς κλῆρον τὴν λευκὴν θάλασσαν, ἵνα τὴν κατοικῶ πάντοτε. Τὸ ναιέμεν λοιπὸν εἶνε ἀπρφ. τοῦ σκοποῦ δηλωτική. λέλογχε ὕδωρ καπνῷ φέρειν ἀντίον Ν. 1, 24 ἴδ. καπνός.— πρὸς Θύμβρης ἔλαχον Λύκιοι Κ 430 ἔλαβον διὰ κλήρου θέσιν ἀπὸ τὸ μέρος τῆς Θύμβρης· πρβ. καὶ πρόσθεν εἴληχας φόνου Εὐρ. Ἠλ. 668 κυρ. ἔχεις λάβῃ τὸν κλῆρον νὰ εἶσαι πρότερον τοῦ φόνου (τ. ἔ. ἐν τῇ προτέρᾳ σκηνῇ), ἤτοι νὰ

προηγῆσαι ἐν τῷ φόνῳ νὰ ἐκτελέσῃς σὺ τὸν πρότερον φόνον. Πρβ. Πυλάδης. ποῦ τετάξεται (ὁ ἴδε) φόνου; Ἰ. Τ. 1046. οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος Σοφ. Ἀντ. 520, ἴδ. ἴσος. αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις Αἰσχ. Εὐμ. 718 (φροντίζεις) διὰ τὰς φονικὰς δίκας, ἐν ᾧ δὲν ἐδόθη σοι οὗτος ὁ κλῆρος (δὲν ἔχεις καμμίαν ἁρμοδιότητα δι' αὐτάς). πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν Εὐμ. 931 εἰς ταύτας ἔλαχεν ὁ κλῆρος νὰ διέπωσι πάσας τῶν ἀνθρώπων τὰς τύχας. αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν (λαβεῖν) Σοφ. Αἴ. 825 θὰ ζητήσω δὲ παρὰ σοῦ νὰ λάβω (ὡς κλῆρον) ὄχι μεγά τι δῶρον. ἴτω κατ' οὖρον κῦμα κωκυτοῦ λαχὸν.. τὸ Λαΐου γένος Αἰσχ. Ἑπτ. 677 ἴδ. οὖρος. ‖ εἰς ἑκάστην (νῆα) λάγχανον ἐννέα αἶγες ι 160 ἐννέα αἶγες ἐλάχαιναν, ἔπεφταν ς' τὸ λαχνό, ἐλάχαιναν εἰς ἕκαστον πλοῖον· τ. ἔ. ἐκληροῦντο κλθ. Οὕτως ἐξηγ. καὶ τὸ ἐν Εὐρ. Ἱππ. 78 χωρίον: Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις, ὅσοις διδακτὸν μηδέν, ἀλλ' ἐν τῇ φύσει τὸ σωφρονεῖν εἴληχεν εἰς τὰ πάνθ' ὁμῶς, τούτοις δρέπεσθαι· ἡ Αἰδὼς κηπεύει τὸν λειμῶνα διὰ τῶν ποταμίων ναμάτων, ἵνα δρέπωνται αὐτὸν ἐκεῖνοι, ὅσοι ἄνευ διδασκαλίας ἀλλ' ἐκ φύσεως ἔχουσιν ἔμφυτον τὴν σωφροσύνην ἐν παντὶ πράγματι· κυρ. εἰς ἐκείνους, εἰς ὅσους οὐδὲν εἶνε διδακτόν, ἀλλ' ἐκ φύσεως ἔχει κληρωθῇ εἰς αὐτοὺς ἡ ἐν παντὶ ὁμοίως πράγματι σωφροσύνη. ἔγω δὲ φίλημ' ἀβροσύναν, καί μοι ⏑– τὸ λάμπρον Ἔρος ⏑⏑– ἀελίω καὶ τὸ κάλον λέλογχεν Ἀπ. Σαπφ. 79 τὴν ἔννοιαν τοῦ Ἀπ. παρέχει ὁ παραδοὺς αὐτὸ Ἀθήναιος (687 A) «καίτοι Σαπφώ, γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ᾐδέσθη τὸ καλὸν τῆς ἁβρότητος ἀφελεῖν, λέγουσα ὧδε· ἐγὼ δὲ κέ., φανερὸν ποιοῦσα πᾶσιν, ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ· ταῦτα δ' ἐστὶν οἰκεῖα τῆς ἀρετῆς». Τὰ χάσματα ἐτέθησαν ὑπὸ τῶν ἑρμηνευτῶν, ὧν ἄλλοι ἄλλας διορθώσεις παρέχουσιν. Ἀναφέρω τὴν τελευταίαν τοῦ Herwerden: καί μοι ἔρως τὸ λάμπρον ⟨φάος προσορῆν⟩ ἀελίου καὶ τὸ κάλον λέλογχε. ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους (-ρος) Πίνδ. Ὀ. 1, 54 ἄσχημον κέρδος (βλάβη) εἶνε συχνάκις ὁ κλῆρος τῶν κακολόγων: εὑρίσκει συχνὰ τοὺς βλασφήμους: οἱ κακόγλωσσοι κληρονομοῦσι βλάβην. ὥστ' ἀπαρκεῖν εὖ πραπίδων λαχόντα Αἰσχ. Ἀγαμ. 390 ὥστε ἀποζῆν ἱκανῶς τὸν ὀρθῶς λογιζόμενον. εὖ δὲ λαχὼν χαρίτων Βακχυλ. 1, 12 εὐνοηθεὶς ὑπὸ τῶν χαρίτων. Αἱ Χάριτες ὡς θεαὶ δίδουσιν εἰς τοὺς καλὴν μορφὴν ἔχοντας καὶ τὴν νίκην (ἴδ. Πινδ. Ὀ. 6, 76). Πρβ. ἐγώ φαμι ἰοπλοκάμων Μοισᾶν εὖ λαχέμεν Ἀπ. Ἀδέσπ. 53 Bergk ὅτι εὐνοήθην ὑπὸ τῶν ἰοπλοκάμων Μουσῶν.— θεοφιλῆ δὲ καὶ εὐτυχῆ τινα λέγοντες ἑβδόμην ἀρχὴν εἰς κλῆρόν τινα προάγομεν, καὶ λαχόντα μὲν ἄρχειν, δυσκληροῦντα δὲ ἀπιόντα ἄρχεσθαι, τὸ δικαιότατον εἶναί φαμεν Πλ. Νόμ. 690 C ὡς θεοφιλῆ δὲ καὶ εὐτυχῆ («τῆς καλῆς τύχης») χαρακτηρίζοντες ἑβδόμην τινὰ ἀρχήν, ἐφαρμόζομεν αὐτὴν (κυρ. «βάζομεν ἐμπρός», τὴν θέτομεν εἰς ἐφαρμογὴν) δι' εἴδους τινὸς κλήρου καὶ λέγομεν, ὅτι τὸ δικαιότατον εἶνε, ὁ μὲν ἐπιτυχὼν εἰς τὸν κλῆρον ν' ἄρχῃ ὁ δὲ ἀποτυχὼν (κυρ. ὁ ἀπερχόμενος ὡς ἀποτυγχάνων) νὰ ἄρχηται. δημοτικωτέραν ἐνόμιζον εἶναι ταύτην τὴν κατάστασιν ἢ τὴν διὰ τοῦ λαγχάνειν (= κληροῦσθαι) γιγνομένην· ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύσειν καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας Ἰσοκρ. 7, 23 δημοτικώτερον ἐνόμιζον τὸ εἶδος τοῦτο τῆς καταλήψεως τῶν ἀρχῶν (τῶν ἀξιωμάτων) ἢ τὸ διὰ τῆς κληρώσεως γινόμενον· διότι ἐν μὲν τῇ κληρώσει θὰ βραβεύσῃ ἡ τύχη τοὺς κέ. Περὶ τοῦ κατάστασις = ἡ εἰς τὴν ἀρχὴν κατάστασις πρβ. 1, 37. Ὡς δὲ ἐλέγετο κλήρῳ λαχεῖν (Ω 400. Αἰσχ. Πέρσ. 187. Ἡρ. Ξεν. κἄλλ.), οὕτω καὶ πάλῳ λαχεῖν Ἡρ. 4, 94. 153. σὺ ὁ μὴ λαχεῖν εὐχόμενος τῶν ἐξιόντων ὅτ' ἐκληροῦ Δημ. 21, 133 σὺ ὁ ὁποῖος, ὅτε ἐκληρώνεσο, ηὔχεσο νὰ μὴ κληρωθῇς (νὰ μή σου πέσῃ ὁ κλῆρος), νὰ εἶσαι εἷς ἐκ τῶν ἐξερχομένων (ἐναντίον τῶν πολεμίων). ἀρχὰς ἔλαχε καὶ ἦρξε δοκιμασθείς 57, 25 ἔλαβε διὰ κλήρου ἀρχὰς καὶ ἦρξεν αὐτὰς μετὰ τὴν δοκιμασίαν. λαβὲ καὶ τὸ ἔγκλημα, ὃ ἔλαχον αὐτῷ πέρυσι 34, 16 λάβε καὶ τὸ ἔγγραφον τῆς ἀγωγῆς, τὴν ὁποίαν ἐκίνησα ἐναντίον αὐτοῦ πέρυσι. Νομικῶς· λαγχάνω τοῦ κλήρου, καὶ πληρέστερον λῆξιν λαγχάνω τοῦ κλήρου = ἐπιδικάζομαι τοῦ κλήρου, τ. ἔ. κινῶ ἀγωγὴν ἐνώπιον τοῦ ἄρχοντος, ἵνα μοι ἐπιδικάσῃ τὸν ὑπό τινος ἄλλου καταληφθέντα κλῆρον (κληρονομίαν). Ἡ δὲ φράσις λαγχάνω τοῦ κλήρου τινὶ (ἢ ὑπέρ τινος) σημ. ζητῶ δικαστικῶς, ὅπως ἐπιδικασθῇ τινι κληρονομία τις. ἐλάχομεν τοῦ κλήρου (ἐνν. λῆξιν) πρὸς τὸν ἄρχοντα 44, 29 ἐκινήσαμεν τὴν περὶ τῆς κληρονομίας ἀγωγὴν ἐνώπιον τοῦ ἄρχοντος. ὁ δ' ὧν ἂν ἀφῇ πάλιν λαγχάνων τοῖς ὑφ' ἑαυτοῦ (δικαίοις ὡρισμένοις οὐκ ἐμμένει) 37, 20 ὁ δὲ κινῶν ἀγωγὴν ἐναντίον ἐκείνων, τοὺς ὁποίους ἔχει ἀπαλλάξῃ (ἐξοφλήσῃ), δὲν μένει πιστὸς εἰς τὸν ἴδιον αὐτοῦ λόγον. λαχεῖν ἔδει (ἐνν. λῆξιν) τῆς ἐπικλήρου 46, 23 ἔπρεπε νὰ ζητήσῃ δικαστικῶς τὴν ἐπίκληρον. Καλλίας λαγχάνει (ἐνν. λῆξιν) τῷ υἱεῖ τῷ ἑαυτοῦ τῆς ἐπικλήρου Ἀνδ. 1, 121 ὁ Καλλίας ζητεῖ δικαστικῶς ἐν ὀνόματι τοῦ υἱοῦ του, διὰ τὸν υἱόν του, τὴν ἐπίκληρον. οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων οὐκ ἐλάγχανε Ἰσαῖ. 7, 26 διότι ἄλλως δὲν ἤθελε παραλείψῃ νὰ ζητήσῃ δικαστικῶς τόσον μεγάλην κληρονομίαν. Ἡ δὲ παρ' Ἰσαί. 4, 4 μετὰ γεν. τοῦ προσ. σύνταξις εἶνε ἀσυνήθης: ἔλαχε τοῦ Σμίκρου Νικοστράτου ἐζήτησε τὴν ἐπιδίκασιν τοῦ κλήρου τοῦ Σμίκρου

ὡς τοῦ υἱοῦ τοῦ Νικοστράτου. ὄφρα πυρός με Τρῶες... λελάχωσι θανόντα Χ 342 ὅπως με τοῦ νενομισμένου πυρὸς μέτοχον (μετὰ θάνατον) ποιήσωσιν οἱ Τρῶες.

λάζομαι (ῥ. λαβ-., περὶ τοῦ ζ πρβ. νίζω, νίψω) λαμβάνω ἐπ. καὶ Ἱπποκρ., σπαν. Ἀττ. ποιητ., ὡς ἀντι- Εὐρ. Ἰ. Α. 1227. λάζεο μτγν. ἐπ., λάζευ Θεόκρ. 15, 21 καὶ λάσδεο 8, 84. ἀντιλάζου Εὐρ. Ὀρ. 452. λαζόμενος Ἀπ. Ῥ. 3, 1394. 18, 46 (Δ. Γ. λαζύμ-). ἐλάζετο καὶ λάζ- ἐπ., ἀνελ- Μόσχ. 2, 163. Ἄλλως Ἀττ. (ἐκ τῶν Τραγ. μόνον ὁ Εὐρ.) λάζυμαι, π. χ. Εὐρ. Βάκ. 503 κἀλλ. Ἀρφ. Λυσ. 209 καὶ Ἱπποκρ. 7, 110 (Δ. Γ. -εται). 8, 42 L. ἀντιλαζόμεθα Πυθαγ. Θεάγης παρὰ Στοβ. 1,67 ἀρχ., ἐλάζυτο Ὕμν. Ἑρμ. 316. ἀντ- Εὐρ. Μήδ. 1217. ἐλάζυτο Ἑρμῆν ἐπὶ βουσίν Ὁμ. Ὕμν. Ἑρμ. 316 ἔπιασε τὸν Ἑρμῆν ἐπάνω εἰς τὰ βώδια, τὰ ὁποῖα ἤθελε νὰ κλέψῃ. λάζυσθε πᾶσαι τῆς κύλικος Ἀρφ. Λυσ. 209 = λαμβάνεσθε π. τῆς κύλικος. Τὸ λάζυσθε εἶνε τῆς ἐπισήμου ἱερατικῆς γλώσσης· αἱ μέλλουσαι νὰ ὁρκισθῶσι ὀφείλουσι ν' ἅπτωνται ταῖς χερσὶ τοῦ αἵματος τοῦ ἱερείου· πρβ. Αἰσχ. Ἑπτ. 44.

λαθίπονος 2, ὁ λησμονῶν τοὺς πόνους· λαθίπονον ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραθεν (θύραζε) ἔστι μοι ἐξανύσαι βίοτον Σοφ. Τρ. 1021 κατ' οὐδένα τρόπον (οὔτε ἐσωτερικῶς οὔτε ἐξωτερικῶς) μοὶ εἶνε δυνατὸν νὰ σὲ κάμω νὰ μὴ ὑποφέρῃς (κυρ. νὰ διάγῃς βίον ἐπιλήσμονα τῶν ἐκ τῶν ὀδυνῶν πόνων).

λαιμόρρυτος 2, ὁ ἐκ τοῦ λαιμοῦ ῥέων· ξιφοκτόνον δίωγμα λαιμορύτου σφαγᾶς αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν Εὐρ. Ἑλ. 354 ὧδε περίπου: τὸ φονικὸν ξίφος ταχύτατα (κυρ. καταδιωκόμενον) θὰ ἐγγίσω ἐντὸς τοῦ λαιμοῦ σφαγέντος καὶ αἵματι ῥέοντος οὕτως, ὥστε ὅλος ὁ σίδηρος τοῦ ξίφους θὰ χωθῇ ἐξ ἁμίλλης ἐντὸς τῆς σαρκὸς (κυρ. οὕτως, ὥστε νὰ γίνεται ἅμιλλα τοῦ σιδήρου αὐτοῦ πρὸς ἑαυτόν).

λαιμότμητος 2 κυρ. οὗ ὁ λαιμὸς τέτμηται, Ἀρφ. Θεσμ. 1053. Τὸ χωρίον: ὡς ἐκρεμάσθην, λαιμότμητ' ἄχη δαιμόνι', αἰόλαν νέκυσιν ἐπὶ πορείαν ἐκρεμάσθην οὕτως, ὥστε τεμνομένη τὸν λαιμὸν δι' ἀπεριγράπτων ἀλγηδόνων («μὲ πόνους τοῦ διαβόλου») ν' ἀπέλθω ταχέως εἰς τὴν χώραν τῶν νεκρῶν.

λαιμότομος 2 Εὐρ. Ἰ. Α. 776 ἴδ. σπάω.

λαιός 3: οἱ δὲ Θεστίου παῖδες τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδὸς Ἀπ. Εὐρ. 530 ἄνευ ἀρβύλης ἔχοντες τὸ λαιὸν ἴχνος ποδός: οὐκ ἔχοντες ὑποδεδεμένον τὸν ἀριστερὸν πόδα· τοῦτο δ' ἐποίουν, ὡς ἐλαφρίζον γόνυ ἔχοιεν, ἐν ᾧ οἱ Πλαταιεῖς παρὰ Θουκ. (3, 22) τοὐναντίον: ἦσαν τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν.

λαιψηρός 3: τὸ λαιψηρὸν φρενῶν εἰς συμφορὰν καθῆκε πολλὰ δὴ βροτούς Ἀπ. Εὐρ. 1032 ἡ ἐπιπολαιότης ῥίπτει πολλάκις εἰς δυστυχίαν τοὺς ἀνθρώπους.

λάκε ἀόρ. τοῦ λάσκω.

λἀκίς -ίδος ἡ, σχίσμα, ῥάκος· λακὶς χιτῶνος ἔργον οὗ κατοικτιεῖ Αἰσχ. Ἰκ. 915 κατὰ λέξιν: τὴν (λεπτὴν) ἐργασίαν τοῦ χιτῶνος τὸ ξέσχισμα δὲν θὰ λυπηθῇ: θὰ ξεσχίσω ἀλύπητα τὸν λεπτοΰφαντον χιτῶνά σου. βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακίς Πέρ. 128 ξεσχισθῶσι δὲ οἱ βύσσ. πέπλοι. λινοφθόροι δ' ὑφασμάτων λακίδες Χο. 27, ἴδε λινοφθόρος πάντα γὰρ κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημορραγοῦσιν ποικίλων ἐσθημάτων Πέρ. 836 τὸ ἑξῆς: πάντα (τὰ μέρη) τῶν ποικίλων ἐσθημάτων τοῦ (Ξέρξου τῶν) ἀμφὶ σώματι στημορραγοῦσι λακίδες (διαλυόμενα εἰς στήμονας καταπίπτουσιν εἰς ῥάκη) ὑπὸ τοῦ ἄλγους τῶν κακῶν: «ὑπὸ τῆς θλίψεως διέρρηξε τὰ ἱμάτια αὐτοῦ ὁ Ξέρξης» Σχ. Οὐδεμία ἀνάγκη διορθώσεως. Ἡ γεν. ποικ. ἐσθημάτων ἐξαρτ. ἐκ τοῦ πάντα, δύναται δὲ νὰ ἑρμηνευθῇ καὶ ὧδε: πάντα τὰ ἀνήκοντα εἰς τὰ ποικίλα ἐσθήματα. Ὅτι δὲ τοῦτο ἀπαιτεῖται νὰ εἶνε τὸ ὑποκείμενον, ἐκτὸς τοῦ χωρίου τῶν Χοηφ. 28, ἀποδεικνύει καὶ τοῦτο, ὅτι ὁ Weckl., καίτοι θεωρῶν ὡς ὑποκ. τὸ λακίδες, ἐν τῇ διατυπώσει τοῦ νοήματος λέγει τάδε: «τὸ ἱμάτιον, διαρραγέντος τοῦ στήμονος, διαλύεται εἰς λακίδας», ὅπου ἡ γλῶσσα ἁμαρτοῦσα (;) τἀληθῆ εἶπε. πολλάκις δ' ἐμπίτνω ξὺν λακίδι λινοσινεῖ (Bücheler: λίνοισιν ἢι) Σιδονίᾳ καλύπτρᾳ Ἰκ. 126 κατὰ λέξιν: πολλάκις δ' ἐμπίπτω εἰς τὴν Σιδονίαν καλύπτραν μὲ σχίσιμον φθεῖρον (=σίνον) τὸ λίνον αὐτῆς.

λακπάτητος: λακπάτητον ἀντρέπων χαράν Σοφ. Ἀντ. 1275 ἀνατρέπων τὴν διὰ τῶν ποδῶν πατηθεῖσαν χαράν.

λακτίζω· παροιμία «πρὸς κέντρον λακτίζειν» περὶ μωρᾶς καὶ ματαίας ἀντιστάσεως, ἐκ τοῦ Πινδ. Π. 2, 95 οὗ ὁ Σχ. λέγει: «τῶν γὰρ βοῶν οἱ ἄτακτοι... κεντριζόμενοι ὑπὸ τοῦ ἀροῦντος λακτίζουσι τὸ κέντρον καὶ μᾶλλον πλήττονται». φλὸξ αἰθέρα λακτίζοισα καπνῷ Ἰ. 3, 84 φλὸξ πλήττουσα τὸν αἰθέρα διὰ καπνοῦ. κραδία φόβῳ φρένα λακτίζει Αἰσχ. Πρ. 907 ἡ καρδία ἐκ φόβου κτυπᾷ τὸ διάφραγμα. αὐτὸς ὁ δαίμων λακτίζειν κραδίην ἡμετέρην ἱκανός Ἀνθ. 12, 16 καὶ μόνος ὁ δαίμων (ὁ ἔρως) εἶνε ἱκανὸς νὰ κτυπᾷ (τ. ἔ. νὰ κάμῃ νὰ κτυπᾷ) τὴν καρδίαν μας. ἀνδρὶ λακτίσαντι μέγαν Δίκας βωμὸν εἰς ἀφάνειαν Αἰσχ. Ἀγ. 393, ἴδ. ἀφάνεια. ὧν σὺ λακτίσας πολλὴν χάριν, φίλων νοσούντων ὕστερον, βοηδρομεῖς Εὐρ. Ῥῆσ. 411 κυρ. ἀνθ' ὧν (εὐεργεσιῶν) σὺ ἀπολακτίσας (ἀποσεισάμενος) τὴν πολλὴν (ὀφειλομένην μοι) εὐγνωμοσύνην, ἐν ᾧ οἱ σοὶ φίλοι ταλαιπωροῦνται ὑπὸ τῆς νόσου (τοῦ πολέμου), σὺ ὕστερον σπεύδεις εἰς βοήθειαν. ψωρὴ ἄρηρεν ὁπλή· βοῦς ὁ λακτίσας ὑμᾶς Ἡρώνδ.

7, 117 ἴσως παροιμιωδῶς: ψωρὸν πέλμα εἶνε προσηρμοσμένον (ψωριασμένος πάτος, «σόλα», εἶνε περασμένος, λέγει ὁ Κέρδων ἐξευτελίζων τὸ παλαιὸν ὑπόδημα τοῦ ἀντιτέχνου· ἐκ δὲ τοῦ ὁπλή προκαλεῖται καὶ τὸ ἐφεξῆς λογοπαίγνιον)· βοῦς εἶνε αὐτός (δηλ. ὁ ἀντίτεχνος) ποῦ σᾶς ἐλάκτισε (καὶ λακτίσας ἐκόλλησεν ἐπάνω σας τὴν ὁπλήν του, δηλ τὸ ἄθλιον αὐτὸ πέλμα). Πρὸς τὴν ὄχι πολὺ ἀβρόφρονα πελάτιδα (ἴδ. στ. 95) ἀνταποδίδει τὰ ἴσα ὁ Κέρδων, ἐπαινῶν ἅμα τὰ ἴδια ὑποδήματα ὡς εὐαρμοστοῦντα.

λάκτισμα τό: λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ, οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος Αἰσχ. Ἀγ. 1601 τὸ λάκτισμα (τὸ ἀναποδογύρισμα) τοῦ δείπνου περιλαμβάνων ἀπὸ κοινοῦ (=ξυνδίκως) εἰς τὴν κατάραν, οὕτως (ὡς τὸ δεῖπνον) ν' ἀνατραπῇ ὁλόκληρον τὸ γένος τοῦ Πλεισθ.

λαλαγέω: τὸ λαλαγῆσαι θέλων Πίνδ. Ὀ. 2, 176 θέλων νὰ κάμῃ θόρυβον διὰ τοῦ λόγου («θορυβῆσαι τῷ λόγῳ» Σχ.), νὰ φλυαρήσῃ.

λάλημα τό: οἴμ' ὡς λάλημα (ἄλημα Σχ. ὃ ἴδε) δῆλον ἐκπεφυκὸς εἶ Σοφ. Ἀντ. 320 οἴμοι, πόσον εἶσαι ἕνας ὁλοφάνερος (χειροπιαστός) γεννημένος φλύαρος.

λαμβάνω (ῥ. λαβ-), λήψομαι (συλλήψεται παθ. Ξεν. Ἀν. 7, 2, 14 πλ. γρ. τῶν ἀρίστων κωδ. ἀντὶ -ηφθήσεται), λήψω Ἀλεξανδρ., Ἰων. λάμψομαι Ἡρ. 1, 199 καλλ. λαψοῦμαι Δωρ. Ἀπ. Ἐπιχ. 34 (λαψῆ). Θεόκρ. 1, 4, 10. ἔλαβον (ἐπ. ἔλλ- Λ 402. σ 88. λάβε Α 557. Β 316. Ο 229. λάβεσκον Ἡρ. 4, 78. 130). Προστ. λάβε, Ἀττ. λαβέ.— λάβω, λάβοιμι (σπάνιος δὲ εἶνε ὁ τύπος λάβοιν ἀντὶ τοῦ λάβοιμι, ἐπεισαγόμενος ἐξ εἰκασίας εἰς Ἀπ. Εὐρ. 360, 6, εἰς Εὐρ. Ἑλ. 263. πρβ. ἁμάρτοιν Ἀπ. Κρατίν. 55. τρέφοιν Ἀπ. Εὐρ. 903). λαβεῖν, λαβών.— εἴληφα, καὶ εἴληφα ἐν Ἐπιγρ. ἀφείληφα, καθείληφα. (Δωρ. εἰλάφει. Ἀλεξανδρ. παρείληφαν ἀντὶ -ασι. Ἰων. λελάβηκα Ἡρ. 4, 79. 8, 122. Ἀπ. Εὐπόλ. 426. καὶ Δωρ. μετα- Ἀρχιμήδ. II 290. Heib.). εἰλήφειν. Μέσ. λαμβάνομαι, ἐλαβόμην (ἐλλε 325. λελαβέσθαι δ 388. ἐπειλῆφθαι Πλ. Κρατ. 396 D. κατειλημμένος Διόδ. Σ. 17, 85. Παθ. εἴλημμαι, ἀλλὰ λέλημμαι Τραγ. Αἰσχ. Ἀγ. 867. Εὐρ. Ἴων. 1113. Ῥῆ. 74. Κύκ. 433. σπαν. εἴλ- Σοφ. Ἀντ. 732 (ἐπείληπται). διαλελημμένον Ἀρφ. Ἐκκλ. 1090. νέον Ἰων. ἀπολελάμμαι Ἡρ. 9, 51. δια- 3, 117. ἀναλελάφθαι Ἱπποκρ. 3, 308 L (-άμφθαι). Δωρ. λελάφθω Ἀρχιμ. πανταχοῦ.— ἐλήφθην (Δωρ. -άφθην Ἀρχιμ. Ἔκφαντ. π. Στοβ. 48, 65. νέον Ἰων. ἐλάμφθην Ἡρ. 2, 89. 6, 92 καλλ.). ληφθήσομαι. (καταλελήψεται μτγν. Ἀριστείδ. 54, 87). ληπτός, -τέον (καταλαμπτέος Ἡρ. 3, 127). Συχνάκις συντάσσ. μετ' αἰτ. καὶ μετὰ γεν. μεριστικῆς σημαινούσης τὸ μέρος, τὸ ὁποῖον πιάνεται· τὴν πτέρυγος λάβεν Β 316 ταύτην ἔπιασεν ἀπὸ τὴν πτέρυγα. Οὕτω δὲ παραλειπομένης τῆς γεν. τὸ λαμβάνω συντ. πρὸς γεν. μεριστικήν, ὡς κόρυθος λάβε, ποδῶν, γούνων κττ. Λ 407. Σ 155 (τὸν) ἔπιασεν ἀπὸ τὴν περικεφαλαίαν, ἀπὸ τοὺς πόδας, ἀπὸ τὰ γόνατα. Παθητ. μὲ αἰτ. πρὸς ἰξῷ λελημμένος πτέρυγας Εὐρ. Κύκλ. 433 = ἔχων τὰς πτέρυγας εἰλημμένας πρὸς ἰξῷ, ἴδ. ἁλίω. πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης Αἰσχ. Ἀγ. 867 πολλὰ σχοινία ἄνωθεν κρεμάμενα ἔλυσαν ἄλλοι ἀπὸ τοῦ λαιμοῦ μου, ἀφ' οὗ μὲ ἔλαβον διὰ τῆς βίας (κυρ. ἀφ' οὗ εἶχον ληφθῇ ὑπ' αὐτῶν). γούνων λαβὼν κούρην ζ 142 πιάσας τὴν κόρην ἀπὸ τὰ γόνατα, ὡς κάμνουσιν οἱ ἱκετεύοντες. ἀγκὰς ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν Ψ 711 ἀγκαλιάσθησαν ἀναμεταξύ των μὲ τὰ δυνατὰ χέρια των.— δέλτον, τὴν ἐγὼ θαμὰ θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν Σοφ. Τρ. 47 «εὔχομαι μηδὲν λυπηρὸν ἐγγεγραμμένον ἔχουσαν (τὴν δέλτον) λαβεῖν» Σχ. μηδὲ πρὸς κακοῖς τοῖς οὖσι λύπην.. λύπην λάβοι 330, ἴδ. λύπη. τὸ σῶφρον ἔλαβεν ἂν τῆς συμφορᾶς Εὐρ. Ὀρ. 502 ἐκ τῆς συμφορᾶς ταύτης ἤθελε λάβῃ τὴν φήμην τῆς σωφροσύνης (σοφίας). πίστι τε λαβόντες (= καταλαβόντες) καὶ ὁρκίοισι Ἡρ. 3, 74 δέσαντες, ὑποχρεώσαντες αὐτὸν δι' ἐνόρκων διαβεβαιώσεων πίστεως. ὡς μάλιστ' ἂν ἐν πόθῳ λάβοις Σοφ. Ο. Κ. 1678, ἴδ. πόθος. ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι Αἰσχ. Πρ. 210 ἐπὶ ποίῳ ἐγκλήματι (ἁμαρτήματι) συλλαβών σε ὁ Ζεύς. ἐφ' ᾗ λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ Σοφ. Αἴ. 1295 ἐπάνω εἰς τὴν ὁποίαν συλλαβὼν ξένον (μοιχὸν) ἄνδρα ὁ γεννήσας σε πατήρ.— τὸ δραθὲν πιστότερον ὄψει λαβόντες Θουκ. 3, 38 ἴδ. πιστός. ἐπικλασθῆναι τῇ γνώμῃ οἴκτῳ σώφρονι λαβόντας 3, 59 ἴδ. ἐπικλάω.— τὰ χρηστὰ δ' οὐδ' ἢν τὸν διδάσκαλον λάβῃ, ἐμνημόνευσεν Ἀπ. Σοφ. 1019 τὰ καλὰ δὲν τὰ ἐνθυμεῖται, καὶ ἂν ἀκόμη λάβῃ τὸν διδ. αὐτῶν: καὶ ἂν ἀκόμη τὰ διδαχθῇ παρὰ τοῦ διδασκάλου. Καὶ μετὰ διπλῆς αἰτ. τὸ γὰρ νοσοῦν ποθεῖ σε συμπαραστάτην λαβεῖν Φιλ. 674 ἡ νόσος ποθεῖ νά σε λάβῃ συμβοηθόν, τ. ἔ. νοσῶν εὐχαρίστως σὲ παρακαλαμβάνω ὡς συμβοηθόν μου. ὥσπερ μ' ἀραῖον ἔλαβες Ο. Τ. 276, ἴδ. ἀραῖος. οὐκ ἂν λάβοις (= εὕροις) μου μᾶλλον οὐδέν' εὐσεβῆ Φιλ. 1051. τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με (ἐκ παλαιᾶς διορθ.: ἐν καιροῖς) λαμβάνεις; Ο. Τ. 1031 ὁ Οἰδίπους ἐρωτᾷ: τί ἄλγος ἔχοντά με λαμβάνεις ἐν κακῇ καταστάσει, ὥστε νὰ ὀνομάζεσαι σωτήρ μου; Ἐκ τῶν πολλῶν διορθ. (ἐν καλῷ: ἐς καλόν: ἀγκάλαις) ἡ παλαιὰ διόρθ. προτιμητέα. οὐδ' Ἑλλάδ' ᾔνεσ' οὐδ' ἀνέξομαί ποτε σιγῶν, κακίστην λαμβάνων εἰς παῖδ' ἐμόν Εὐρ. Ἡρ. Μ. 222 οὐδὲ τὴν Ἑλλ. ἐπαινῶ, καὶ δὲν θὰ ὑποφέρω μάλιστα ἀποσιωπῶν αὐτό, ὅτι εὑρίσκω αὐτὴν ἀγνωμονεστάτην πρὸς τὸν υἱόν μου. ἐν δὲ τῷ λέγειν

παρανομέω (ἐκ τοῦ παράνομος) πράττω παρὰ τὸν νόμον. παρηνόμουν (ἐκ τοῦ παρ-ανομέω) Λυσ. 3, 17 καὶ μτγν. καὶ παρενόμουν Αἰσχίν. 3, 77 (Δ. Γ. παρηνόμουν). [Δημ.] 17, 22. Λουκ. Ἀπολ. 7. παρηνόμησα Θουκ. 3, 67 (παρενόμ. οἱ νεώτεροι) καὶ μτγν. καὶ παρεν- Ἡρ. 7, 238. Λουκ. Ἔρ. 20. παρανενόμηκα (παρηνομηκόσι Διόδ. Σ. 16, 61). παρανενομήκεσαν (πλημμελ. ἀντὶ τοῦ παρεν-) Ξεν. Ἑλλ. 2, 1, 31 καὶ μτγν. παρηνομήκει Δίων Κάσ. 39, 59. παρηνομήθην Ἰωσήπ. Ἀρχ. 15, 4, 1. παρανενόμημαι (παρηνομημένου Ἐπιγραφ.) Οἱ διὰ τοῦ Η ἐκφερόμενοι τύποι φαίνονται ἀλλότριοι τῶν Ἀττικῶν. τὰ δημόσια οὐ παρανομοῦμεν Θουκ. 2, 37 ἐν τοῖς δημοσίοις (ἐν τῷ δημοσίῳ βίῳ) δὲν παραβαίνομεν τοὺς νόμους (ἀποφεύγομεν τὰς παρανομίας). ἐὰν ἠδικῆσθαι καὶ παρανενομῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ δίκαια (δέομαι) Δημ. 54, 2 ἐὰν νομίζητε ὅτι ἔχω ἀδικηθῆ καὶ παρανόμως κακωθῆ, σᾶς παρακαλῶ νά με βοηθήσητε νὰ λάβω τὸ δίκαιόν μου. οἶμαι γὰρ περὶ κλήρου ἀγῶνα μηδένας ἄλλους παρανενομῆσθαι τοιαῦτα, οἷα ἡμᾶς Δημ. 44, 31 νομίζω ὅτι προκειμένου περὶ κληρονομικοῦ ἀγῶνος δὲν ὑπάρχουν ἄλλοι ἄνθρωποι, οἱ ὁποῖοι νὰ ἔχουν ὑποστῆ τοιαύτας παρανομίας, ὁποίας ἡμεῖς. Καὶ ἐνταῦθα λοιπὸν εἶνε παθητ. ὄχι μέσον ἴσον τῷ ἐνεργ., ὡς νομίζει ὁ Pape. Πρβ. ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαίνοι Θουκ. 5, 16 ἴδ. ἐνθυμία.

παρανομία ἡ· ὑποψίας δὲ πολλὰς παρεῖχε τῇ παρανομίᾳ Θουκ. 1, 132 = τῷ ἐκδιαιτᾶσθαι τῶν καθεστώτων νομίμων. φοβηθέντες τὸ μέγεθος τῆς κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν 6, 15 φοβηθέντες τὴν ἔκτακτον πολυτέλειαν, ἣν μετεχειρίζετο εἰς τὸ σῶμά του (εἰς τὸ ἄτομόν του) ὡς πρὸς τὸν τρόπον τοῦ ζῆν. ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανομίαν 6, 28 ἀναφέροντες ἐκτὸς τούτων ὡς ἀποδείξεις τὴν λοιπὴν αὐτοῦ ἀντιδημοκρατικὴν παρεκτροπὴν ἐκτὸς τοῦ συνήθους μέτρου ἐν τῷ καθημερινῷ βίῳ· ἴδ. 6, 15.

παράνομος 2: λύσει τὸ παράνομον Αἰσχίν. 3, 205 θὰ διαλύσῃ τὸ θέμα τῆς κατηγορίας, ὅτι τὸ ψήφισμά του ἀντιβαίνει εἰς τοὺς ὑπάρχοντας νόμους. μὴ ἐᾶτε αὐτὸν ἔξω τοῦ παρανόμου περιίστασθαι Αὐτ. 206 μὴ ἀφίνετε αὐτὸν νὰ τριγυρίζῃ (ν' απομακρύνεται) ἐκτὸς τοῦ θέματος τῆς κατηγορίας.

παραπέμπω: παραπέμψατε ἐφ' ἕνδεκα κώπαις θόρυβον χρηστὸν Ληναΐτην Ἀρφ. Ἱππ. 546: «ἀξιοῖ οὖν τὸν νῦν ἔπαινον μέχρι πολλοῦ παραπέμψαι. ἕνδεκα κώπαις: κέλευσμα ναυτικὸν λέγεται ἐφ' ἕνδεκα κωπηλασίαις ἐκτεινομένη(;)» Σχ. «ἐφ' ἕνδεκα κώπαις κέλευσμά ἐστι ναυτικὸν οὕτω λεγόμενον» Σουΐδας. Ὁ δὲ Εὐστάθιος ἐν σ. 1540 παρατηρεῖ: «ἐλέγετο δὲ ῥοθιάζειν καὶ ὅτε οἱ ναῦται ἐπὶ κώπαις δέκα τυχὸν ἢ καὶ πλείοσι παίοντες, εἶτα ἅμα παυσάμενοι ἅπαξ ἀνεφώνουν ὡς ἐκ συνθήματος, ὡς καὶ νῦν ποτε γίνεται· καὶ ἔστι τοιοῦτον παρ' Ἀριστοφάνει τὸ αἴρεσθε αὐτῷ πολὺ

τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις, τ. ἔ. εὐφημήσαντες τὸν δεῖνα ῥοθιάζοντες ναυτικῶς». Δυστυχῶς καὶ οἱ νεώτεροι ἑρμηνευταὶ οὐδὲν σαφέστερα τούτου λέγουσι. Μεγίστην δυσκολίαν παρέχει τὸ ἕνδεκα· διατὶ ὁ ἀριθμὸς οὗτος; Παραβάλλουσι τὸ ἑνδεκάκλινος κεφαλὴ τοῦ Περικλέους ('Απ.Τηλεκλείδ.44) καὶ τὸ δωδεκάκρουνον στόμα τοῦ Κρατίνου ('Απ.186). Ἔπειτα τὸ ἕνδεκα δὲν ἁρμόζει καὶ εἰς τὸ κώπαις, ἂν κυριολεκτεῖται· ὅθεν ἐκληπτέον ἀντὶ τοῦ κωπηλασίαις κατὰ τὸν Σχ. Ἴσως λοιπὸν ἐννοητέον ὧδε: παραπέμψατε ἐφ' ἕνδεκα κώπαις (τὸν ποιητὴν) παραπομπὴν θορυβώδη χρηστήν, οἵα ἐν Ληναίοις γίνεται, ὅταν οἱ ποιηταὶ νικῶσι, τ. ἔ. ὅπως οἱ πραπέμποντες ἐν θαλάσσῃ ἐκεῖνον, ὃν θέλουσι νὰ τιμήσωσι, ἐφ' ἕνδεκα κώπαις παραπέμπουσι, δηλ. εἰς κάθε ἕνδεκα κωπηλασίας ἐφίστανται καὶ ἐπευφημοῦσι τὸν παραπεμπόμενον, ἀναλόγως ἐπευφημήσατε καὶ ἐμέ.

παραπίπτω: ὅταν παραπεπτωκὼς (=ὑποπεπτωκώς 'Αρποκρ.) θαυμάζῃ τούτους, ὑφ' ὧν αὐτῷ θαυμάζεσθαι προσῆκε Δημ. 45, 84 ὅταν ἔχῃ ἐκπέσῃ τόσον, ὥστε νὰ θαυμάζῃ (τιμᾷ) ἐκείνους, ὑπὸ τῶν ὁποίων αὐτὸς νὰ θαυμάζηται ἥρμοζε.

παραπλάζω: παρεπλάγχθη δέ οἱ ἄλλη ἰός Ο 464 τοῦ παρεξετράπη (ἀπὸ τοῦ σκοποῦ) πρὸς ἄλλην διεύθυνσιν τὸ βέλος. οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη Πίνδ. Ν. 10, 6 οὐδ' ἡ Ὑπερμν. ἐσφάλη, ἀπεπλανήθη.

παραπληξία ἡ, παράλυσις, νέκρωσις, ἀκινησία μέρους τοῦ σώματος. Ἡ μὲν ἀποπληξία ἐπὶ τοῦ σώματος ὅλου, ἡ δὲ παραπληξία ἐπὶ ἑνὸς μέρους αὐτοῦ.

παραπνέω: ἵνα μή τι παραπνεύσῃ ὀλίγον περ κ 24 διὰ νὰ μὴ ξεφυσήσῃ (κυρ. φυσήσῃ πλησίον τοῦ δεσίματος) μηδὲ τὸ παραμικρόν.

παραπόλλῡμι, συνήθ. μέσ. ἀδίκως (κατ' ἄλλους: ἀπροσδοκήτως) χάνομαι· παραπολῇ βοώμενος 'Αρφ. Σφ. 1228 θὰ χαθῇς κοντὰ εἰς τὰ ἄλλα (= παρὰ) ἀπὸ τὰς φωνάς. ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν Δημ. 21, 91 καὶ κοντὰ εἰς αὐτὰ (τὴν ἀτιμίαν) ἐχάθη.

παραπράσσω: τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη, μηδενὸς ἄλλου παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει Σοφ. Αἴ. 260 τὸ νὰ βλέπῃ τις πάθη οἴκοθεν προελθόντα, χωρὶς ἄλλος τις νὰ συμπράξῃ (οἷον ἐκ παραλλήλου), τοῦτο προξενεῖ μεγάλας ὀδύνας. παραπτομένα Σοφ. Ο. Κ. 716 δὲν εἶνε τοῦ παραπέτομαι, ἀλλὰ τοῦ παράπτομαι· ἴδ. παράπτω.

παράπτω: ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερσὶ παραπτομένα πλάτα θρῴσκει Σοφ. Ο. Κ. 716 ἡ δ' εὐήρετμος ναῦς εἰς τὰς χεῖρας προσαρμοζομένη ἐκ τῶν πλαγίων (διευθυνομένη ἑκατέρωθεν διὰ τῶν χειρῶν), θαυμασίως πηδᾷ διὰ τῆς θαλάσσης.

παραρρέω: ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ.. ἐπιτιθῆται τῇ ποιήσει..., μαίνεταί τε καὶ παραρρεῖ τῶν φρενῶν τῷ σῷ λόγῳ Εὐπόλιδ. 'Απ. 357, ὅπου ὁ Kock: παρεκρεῖ τῶν φρενῶν ὁ σῶς λόγος. Ἴσως γρ.μᾶλλον: παρεκρεῖ τῶν φρενῶν τρισσῷ λόγῳ, διότι τρία συνώνυμα εἶπε, περὶ ὧν ἴδε πάσχω.

παραρρήγνυμι: μέλαινα τ' ἄκρου τις παρέρρωγεν ποδὸς αἱμορραγὴς φλέψ Σοφ. Φιλ. 824 καὶ μέλαινά τις φλὲψ ἔχει σπάσῃ (κυρ. διαρραγῇ) κοντὰ εἰς τὸ ἄκρον τοῦ ποδός του, ὥστε νὰ τρέχῃ αἷμα. παρερρήγνυντο ἤδη καὶ ἐφ' ἑκάτερα Θουκ. 5, 73 ἀπεσπῶντο ἤδη ἀπὸ τοῦ λοιποῦ στρατεύματος καὶ (διευθύνοντο) πρὸς τὰς δύο πτέρυγας. παρερρήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα τῶν Συρακοσίων 6, 70 τότε πλέον ἀπεσπᾶτο (ἀπὸ τῶν συντεταγμένων) καὶ τὸ ὑπόλοιπον στράτευμα τῶν Συρακοσίων.

παραρρίπτω: τίς παραρρίψει τοιαῦτ' ὀνείδη λαμβάνων; Σοφ. Ο. Τ. 1493 ὁ παλ. Σχολ. «συζεύξει», ἴσως ἀποβλέπων εἰς τὸ ὅλον νόημα, ἀλλ' ἀσαφῶς Ὁ δὲ νεώτ. Σχολ. «τίς λαμβάνων ὑμᾶς εἰς γυναῖκας παρόψεται τοιαῦτα ὀνείδη, ἃ κέ.» Ὀρθότερον: τίς παρακινδυνεύσει (= παραρρίψει ἐνν. κύβον) λαμβάνων τοιαῦτα ὀνείδη; ἤτοι: τίς θὰ διακινδυνεύσῃ νὰ λαμβάνῃ κέ. ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες Σοφ. 'Απ. 511· ἴδ. ἐμπολή.

παράρρυσις ἡ: παραρρύσεις νεώς Αἰσχ. Ἱκ. 723 παραπετάσματα δερμάτων καὶ σχοινίων ἐφ' ἑκατέρας πλευρᾶς πρὸς σκέπην αὐτοῦ ἀπὸ τῶν βελῶν.

παρασαίνω: Αἰσχ. Πέρ. 98, ὅπου εἰσήγαγε τὸ ῥῆμα ὁ Seidler ἐκ διορθ. ἀναγκαίας διὰ τὸ μέτρον. Τὸ χωρίον: φιλόφρων γὰρ παρασαίνει βροτόν (Seidler: σαίνουσα τὸ πρῶτον παράγει), ἴδ. ἀρκύστατος.

παράσημος 2· δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴνῳ Αἰσχ. 'Αγ. 771 τῷ ἐπαίνῳ κεκιβδηλευμένην, ἤτοι: τὴν δύναμιν τοῦ πλούτου, τὴν τῷ ἐπαίνῳ τῶν ἀνθρώπων παρακεχαραγμένην (παρασεσημασμένην), οὐ σέβει ἡ Δίκη. Ἡ δύναμις αὕτη τοῦ πλούτου εἶνε κίβδηλον νόμισμα, πολύτιμον μὲν κατὰ τὸ φαινόμενον ὡς ἐκ τῆς ἀποδιδομένης εἰς αὐτὸ ὑπὸ τῶν ἀνθρ. τιμῆς, πράγματι δὲ οὐδενὸς ἄξιον (Weckl.). ἐν τοῖς γεγραμμένοις παράσημα ποιοῦνται 'Αριστοτ. 177b 6 θέτουν σημεῖα (π. χ. ψιλὴν ἀντὶ δασείας) πρὸς διάκρισιν τῶν λέξεων. ἀνδράρια παρακεκομμένα, ἄτιμα καὶ παράσημα 'Αρφ. 'Αχ. 517, ἴδ. παρακόπτω.

παρασκευάζω, παρασκευάσω, γ' πλ. Ἰων. ὑπερσ. παρεσκευάδατο, ὡς Δ. Γ. ἐν Ἡρ. 3,150. 5, 34. Τὸ μὲν παρασκευάζω κυρ. σημ. ἑτοιμάζω τι (ὅπερ δὲν εἶχον), πορίζόμενος τὰ πρὸς τοῦτο χρήσιμα· τί δὲ σημαίνουσι τὸ διασκευάζω, τὸ κατασκευάζω καὶ τὸ ἐπισκευάζω, ἴδε τὰς λέξεις· ὡς ἀναμενοῦντος, ἔφη, καὶ οὐκ ἀποθανουμένου, οὕτω παρασκευάζου Ξεν. Κ. Π. 8, 4, 27 ἑτοιμάζου (ἑτοίμαζε τὸ δῶρον), διότι ἐγὼ ἔχω σκοπὸν νὰ περιμείνω καὶ νὰ μὴ ἀποθάνω· πρβ. «ζῆσε μαῦρε γάδαρε

νὰ φὰς τὸν Μά(ιον) τριφύλλι». χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦσιν ὡς πιθανώτατοι λέγειν Πλ. Γοργ. 479C «νοητέον ὡς γ' ἀντικείμ. καὶ ἑαυτούς: καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ἑαυτούς, ὅπως ἂν ὦσιν κτλ.» Σπ. Μωραΐτης. Γραμματικῶς δὲν δύναται νὰ νοηθῇ τὸ ἑαυτούς· πόθεν καὶ πῶς; Τὸ ὅπως ἂν ὦσιν κέ. εἶνε τὸ γ' ἀντικείμενον, τ. ἔ. τρία τινὰ προσπαθοῦσι νὰ πορίζωνται, χρήματα καὶ φίλους καὶ τὴν δύναμιν τοῦ πιθανώτατα λέγειν (κυρ. καὶ τὰ μέσα πῶς νὰ εἶνε πιθανώτατοι λέγειν). ἐν τρόπῳ τινὶ ἀφανεῖ ὡς οὐ διὰ τοῦτο δὴ παρεσκευάζετο προπηλακιῶν αὐτόν Θουκ. 6, 54 προητοιμάζετο μὲ κρύφιόν τινα τρόπον νὰ τὸν προσβάλῃ ὡσὰν δι' ἄλλην τινὰ αἰτίαν. Καὶ πρὸς αἰτ. ἐπιρρηματικήν· ἀντίπαλον παρασκευασάμενοι 6, 23 = ἀντιπάλως, ἰσοπάλως παρασκευασθέντες (ἴδ. πλήν). τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι 1, 142 ταύτην μὲν (τ.ἔ. τὴν ἐπιτείχισιν, ἄλλοι: ὡς πρὸς τὴν ἐπιτείχισιν) εἶνε δύσκολον νὰ παρασκευάσῃ τις, καὶ μάλιστα ἐν εἰρήνῃ, ὡς πόλιν ἀντίπαλον (ὥστε νὰ εἶνε ἀντίπαλος πρὸς τὰς Ἀθήνας). βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα 1, 65 νὰ προετοιμάζῃ τὰ περαιτέρω καὶ (νὰ φροντίζῃ), πῶς τὰ ἔξωθεν προσδοκώμενα νὰ εἶνε εἰς ὅσον τὸ δυνατὸν καλλιτέραν κατάστασιν. ἐπειδὴ αὐτοῖς παρεσκεύαστο 1, 46 = παρασκευὴ ἐγεγένητο. Μία ἐκ τῶν συνήθων παθ. ἀπροσ. ἐκφράσεων, ἴδ. 1, 48. 3, 22. 3, 107, 4, 67 7, 75. Ὀρθῶς δὲ ὁ Reiske διώρθ. παρεσκεύαστο (ἀντὶ τοῦ παρασκευάσατο) τοῖσι Ἕλλησι Ἡρ 9, 100. παρασκευασάμενός τινας τῶν δημοτῶν Δημ. 44, 39 τινὰς ἐκ τῶν δημοτῶν προπαρασκευάσας διὰ τὸν σκοπόν του, ὥστε δηλ. νὰ λέγωσι καὶ νὰ πράττωσιν ὅ τι αὐτὸς ἤθελεν. ἐν δὲ τούτοις ἦσαν ἅπαντες οἱ τούτῳ παρεσκευασμένοι 57, 10 οἱ ὑπὸ τούτου πρὸς τὸν σκοπόν του καταλλήλως προητοιμασμένοι. παρεσκευασμένου ψαῦσαι λειμῶνος Εὐρ. Κύ. 170 τ. ἔ. ἑτοίμου. Ἀλλ' ἴσως γρ. παρεσκιασμένου ἐνν. τὸ γυναικεῖον αἰδοῖον.

παρασκευή ἡ, ἑτοιμασία, ἰδίως ὁπλισμός τις πρὸς πόλεμον· παρασκευῇ ἀπὸ τῶν εἰκότων ἀσφαλὴς Θουκ. 6, 23 θέλω νὰ ἐκπλεύσω ἀσφαλής, καθ' ὅσον εἶνε δυνατὸν νὰ περιμένῃ ἄνθρωπος, ὡς ἐκ τῆς παρασκευῆς. οὔτε μεγέθει πόλεων ἴσχυον οὔτε τῇ ἄλλῃ παρασκευῇ 1, 2 δὲν ἦσαν ἰσχυροὶ οὔτε κατὰ τὸν πληθυσμὸν τῶν πόλεων οὔτε κατὰ τὰ ἄλλα πολεμικὰ μέσα. Ἐνιαχοῦ δὲ ἔχει εὐρυτέραν σημ. ὡς ἐν Θουκ. 6, 68 αὐτὴ (μόνη, ἄνευ παραινέσεως) ἡ παρασκευὴ ἀνκφ. οὐ μόνον εἰς τὸν ὁπλισμόν, ἀλλὰ καὶ εἰς τὴν ἐκλογήν, ἄσκησιν, μισθοδοσίαν καὶ σιτισμὸν τοῦ στρατοῦ. παρασκευὴ αὕτη πρώτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ 6, 31, ἴδ. εἷς. ἐκ παρασκευῆς μηνύειν Λυσ. 13, 22 κατὰ προηγουμένην συμφωνίαν, ἐκ συνεννοήσεως. οὐκ ἀπὸ ἴσης παρασκευῆς ἐγώ τε τοῦτον ἐλέγξω καὶ οὗτος ἐπεχείρησε πονηρὸς εἶναι 31, 3 τὰ μέσα, τὰ ὁποῖα διαθέτω ἐγὼ πρὸς ἐξέλεγξιν τούτου, εἶνε πολὺ μικρότερα παρ' ὅσα ἔχει οὗτος πρὸς διαφθορὰν τῶν δικαστῶν καὶ παραβίασιν τῶν νόμων. ἀγαθοὶ προθυμοῦνται γίγνεσθαι ἐκ παρασκευῆς Αὐτ. 30 ἐκ προμελέτης, κατὰ προδιαγεγραμμένον σύστημα. λευκὴν χροιὰν εἰς παρασκευὴν ἔχεις Εὐρ. Βά. 457 ἔχεις λευκ. χροιὰν μέχρι παρασκευῆς, τ. ἔ. δεικνύει προηγουμένην προετοιμασίαν διὰ ψιμυθίων κτλ

παρασκηνόω : φᾶρος παρεσκήνωσεν Αἰσχ. Εὐμ. 637, ἴδ. περισκηνόω.

παρασκοπέω πλημμελῶς σκοπῶ· ἦ κάρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν Αἰσχ. Ἀγ. 1251 ὅπου καὶ ἂν διορθώσωμεν κάρτα τἄρα παρεσκόπεις, οὔτε ἡ πρὸς γεν. σύνταξις τοῦ παρασκοπεῖν κατὰ τὴν ἀναλογίαν τοῦ παρασφάλλεσθαι ἐξηγεῖται εὐκόλως, οὔτε ὁ παρατατικός. Ὅθεν ὀρθὴ φαίνεται ἡ διόρθωσις τοῦ Hartung παρεκόπης, περὶ οὗ ἴδε παρακόπτω.

παρασπάω σπῶ πλαγίως, κατὰ μέρος, παρασύρω, παράγω· σὺ καὶ δικαίων ἀδίκους φρένας παρασπᾷς ἐπὶ λώβᾳ Σοφ. Ἀντ. 791 καὶ τῶν δικαίων τὰς φρένας παράγεις (παρασύρεις) πρὸς ὕβριν, ὥστε ἀδίκους γίγνεσθαι. Ὁ Σχ. ὧδε: σὺ καὶ δικαίους διαφθείρεις, ὥστε τὰς φρένας αὐτῶν ἀδίκους γίγνεσθαι. Ἧττον ὀρθῶς τινὲς τὸ ἐπὶ λώβᾳ ἑρμην. διὰ τοῦ: πρὸς δυστυχίαν των. ἡνιοστρόφος ἔξω (ἐνν. τῶν ἐν μέσῳ) παρασπᾷ Σοφ. Ἠλ. 732 ἀμεταβ. τραβᾷ κατὰ μέρος, παράμερα (εὐκόλως ὑπονοεῖται τὸ ἅρμα του)· πρβ. παράγω, ὅπου ἡ παρὰ ἔχει τὴν αὐτὴν ἔννοιαν.

παρασταδόν : κύκλῳ παρασταδὸν δείξατε Αἰσχ. Χο. 981 προσερχόμενοι (παριστάμενοι) εἰς ἕνα ἕκαστον γύρῳ γύρῳ δείξατε αὐτό.

παραστείχω κυρ. περῶ (στείχω) πλησίον, ἀλλὰ καὶ εἰσέρχομαι· μένοιμεν οὕτως, ὥστ' ἐπεικάζειν τινὰ δόμους (Boissonade: δόμοις) παραστείχοντα καὶ τάδ' ἐννέπειν Αἰσχ. Χο. 565 θὰ μένωμεν οὕτως, ὥστε περνῶν τις ἔξω ἀπὸ τὸν οἶκον νὰ συμπεράνῃ τοῦτο ἐκ τῆς στάσεώς μας (κυρ. ἐφ' ἡμῶν) καὶ νὰ λέγῃ τὰ ἑξῆς. ὄχους παραστείχοντα τηρήσας Σοφ. Ο. Τ. 808 παραφυλάξας με περνῶντα πλησίον τῆς ἀπήνης. δόμους παραστείχοντες Σοφ. Ἀντ. 1255 εἰσερχόμενοι εἰς τὴν οἰκίαν. ἤν τι τούτων ὧν λέγω παραστείξῃς Ἡρώνδ. 5, 50 ἄν τι παραβῇς τι (παραστρατήσῃς) τούτων.

παραστορέννυμι : ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ Ἀρφ. Ἱππ. 481 «ἐκτενῶ», Σχ. θά σε ἐξαπλώσω κατὰ γῆς. Ἐκ τῆς παλαίστρας, ὡς φαίνεται, ἡ μεταφορά.

παρασυγγραφέω = παρὰ τὴν συγγραφὴν πράττω· οὓς παρασυγγεγράφηκας Δημ. 56, 28 οὓς παρὰ τὴν συγγραφὴν ἠδίκηκας.

παρασυλλέγομαι: οἱ παρασυλλεγέντες ὑπὸ τὴν λεύκην Ἀνδοκ. 1, 133 οἱ κρύφα, ἰδίᾳ, συναθροισθέντες ὑπὸ τὴν λεύκην.

παρασύρω (ῡ): (Κρατῖνος) πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ, διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρασύρων ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους Ἀρφ. Ἱππ. 527, ἴδε ῥέω. οὐ γὰρ δή που τοῦτό γε τλητὸν παρέσυρας ἔπος Αἰσχ. Πρ. 1098 διότι βεβαίως, ὡς νομίζω, δὲν εἶνε ὑποφερτὸς (δὲν ὑποφέρεται) αὐτὸς ὁ λόγος, τὸν ὁποῖον ἀπ' ἄλλου (ποῦ ἔχει ἴσως τὸν τόπον του: ἄλλα ἔχων κατὰ νοῦν) ἔφερες ἐδῶ · (διὰ τῆς βίας): ἀτόπως ἐξέφρασας.

παρασφάλλω: οἰκείων παρέσφαλεν καλῶν θυμὸς ἄτολμος ἐών Πίνδ. Ν. 1, 31 «τῶν προσόντων καλῶν σφαλῆναι πεποίηκεν ἡ ψυχὴ ἄτολμος οὖσα» Σχ.

παρασχέμεν ἀόρ. τοῦ παρέχω.

παρατάσσω: πρὸς ἅπαντας Πελοποννησίους παρετάξατο Δημ. 20, 76 ἀντιπαρετάχθη ἐναντίον ὅλων τῶν Πελοπον. τοῖς περὶ Αἰόλου λεγομένοις αὐτὸν παρατάξωμεν; Ἰσοκ. 11, 7 νὰ παραβάλωμεν αὐτὸν πρὸς τὰ περὶ Αἰόλου λεγόμενα; παραταχθεὶς ἐν μάχῃ πλουσίῳ Πλ. Πολ. 556 D = ταχθεὶς παρὰ πλουσίῳ ἐν μάχῃ. καί μοι ὁ Πρωταγόρας ἐδόκει τετραχύνθαι τε καὶ ἀγωνιᾶν καὶ παρατετάχθαι πρὸς τὸ ἀποκρίνεσθαι Πρωτ. 333 E καί μοι ἐφαίνετο ὁ Πρ. ὅτι εἶχεν ἐκτραχυνθῆ καὶ ἐπεθύμει νὰ ἀγωνισθῆ καὶ ἦτο ἕτοιμος (οἷον πρὸς μάχην παρατεταγμένος) πρὸς τὰς ἀποκρίσεις.

παρατείνω τραβῶ εἰς μάκρος· ἕως παρατείναιμι τοῦτον Ξεν. Κ. Π. 1, 3, 11 ἕως ὅτου νὰ τὸν κουράσω (νὰ τοῦ βγάλω τὴν ψυχήν του κάμνοντάς τον νὰ περιμένῃ). τὸν λιμένα παρατείνουσα Θουκ. 4, 8 ἐκτεινομένη κατὰ μῆκος τοῦ λιμένος. ἡ δὲ παρατέταται μακρὰ πόρρω πάνυ Ἀρφ. Νεφ. 212, πρὸς ἃ ὁ Στρεψιάδης ἀπαντᾷ διὰ λογοπαιγνίου: οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη «ἐξετρυχώθη καὶ κατεπονήθη» (διὰ τῆς αὐξήσεως τῶν φόρων) Σχ. τῷ λιμῷ παρατεινόμενα Πλ. Συμπ. 207 B ἀποθνήσκοντα (ἐν ᾧ βασανίζονται) ἀπὸ τὴν πεῖναν. γελῶντε παρετάθησαν Εὐθύδ. 303 B «ἔσκασαν ἀπὸ τὰ γέλοια». παρετάθη μακρὰν ὁδὸν πορευθείς Ξεν. Ἀπ. 3, 13, 6 ὑπέφερε πολὺ ἀπὸ τὴν μακρὰν πορείαν. παρατεινόμενος πόθῳ Πλουτ. Σόλ. κεφ. 7 βασανιζόμενος ἀπὸ τὸν πόθον: μὴ ὑποφέρων τὴν στέρησίν του. ἅλις ἀφύης μοι· παρατέταμαι γὰρ τὰ λιπαρὰ κάπτων Ἀρφ. Ἀπ. 506, ὅπου τὸ παρατέταμαι ὁ Σουΐδας ἐξηγεῖ: «ἐξώγκωμαι» πρβ. «παραφούσκωσα». τίνα οἴεσθε, ἥν τινα οὐ πολιορκίᾳ παρατενεῖσθαι εἰς τοὔσχατον; Θουκ. 3, 46 τίς πόλις νομίζετε ὅτι δὲν θὰ προτιμήσῃ νὰ παρατείνῃ διὰ τῆς πολιορκίας τὸν χρόνον μέχρι τῆς ἐσχάτης ἐξαντλήσεως; ποῖ παρατενεῖς δεδιὼς ταῦτα; Φιλόστρ. σ. 202 ἕως πότε θὰ ἐξακολουθῇς νὰ φοβῆσαι ταῦτα;

παρατεκταίνομαι: αἶψά κε καὶ σύ, γεραιέ, ἔπος παρατεκτήναιο ξ 131 εὐκόλως καὶ σὺ δύνασαι νὰ πλάσῃς (ἐπινοήσῃς) ἱστορίαν τινά, «παρὰ τὴν ἀλήθειαν κατασκευάσειας» Σχ. οὐδέ κεν ἄλλως Ζεὺς παρατεκτήναιτο Ξ 54 «παρὰ τὰ ὄντα κατασκευάσειεν» Ἡσύχ.

παρατίθημι: τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι Πλ. Φαίδ. 65 E θέτων πλησίον του ὡς βοηθὸν τὴν ὄψιν. παρατίθημι ἑκάστων τῶν σοφῶν ἀπογεύσασθαι Θεαίτ. 157 C βάλλω πλησίον σου ν' ἀπογευθῇς ἑκάστου εἴδους σοφίας. Ἡ γεν. ἠδύνατο νὰ ἐξαρτηθῇ (κατ' αἰτ.) ἁπλούστερον ἐκ τοῦ παρατίθημι: παρατίθημι ἕκαστα τὰ σοφὰ (ὥστε) ἀπογεύσασθαι (αὐτῶν). κεφαλὰς (ψυχὰς γ 74) παρθέμενοι β 237 πρβ. «βάζω κάτω (ῥιψοκινδυνεύω) τὸ κεφάλι μου».

παρτίλλω τίλλω τὰς τρίχας τῶν πλησίων μερῶν (μᾶλλον: ἐκ τοῦ πλησίον, ὅθεν: μετὰ προσοχῆς, μίαν μίαν), οἷον τῆς μασχάλης, τῶν μυκτήρων καὶ τῶν ἄλλων κατωτέρων μερῶν τοῦ σώματος, τὸ ὁποῖον ἔκαμνον αἱ τρυφηλαὶ γυναῖκες καὶ οἱ φιλήδονοι πολλάκις. τὰς βλεφαρίδας σου παρατιλῶ Ἀρφ. Ἱππ. 373 θά σου μαδήσω (ἢ μᾶλλον: θά σου βγάλω μία μία) τὰς βλεφαρίδας «τῶν γὰρ βυρσοδεψῶν (οὕτως ἔγραψα ἀντὶ τοῦ τῶν γὰρ βυρσῶν) ἐστιν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας» Σχ. ὀρχηστρίδες ἄρτι παρατετιλμέναι Ἀρφ. Βάτ. 516 ἐνν. τὰς τῶν αἰδοίων τρίχας. Ἐπὶ παρομοίας ἐννοίας καὶ τὸ μύρτων πινακίσκος χειρὶ παραρατετιλμένων Πλάτ. Κωμικ. Ἀπ. 174 διότι μύρτον σημαίνει κατὰ τὸν Φώτιον καὶ τὸ «σχῆμα τοῦ γυναικείου αἰδοίου». ὁ δ' ἁλούς γε μοιχὸς διὰ σέ (τὸν πλοῦτον) που παρατίλλεται Ἀρφ. Πλοῦτ. 168 «τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται· αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀπορραφανίδωσις καὶ παρατιλμός· οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο» Σχ.

παρατρέφω: ἐν χορηγίαις ἀλλοτρίαις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενος Δημ. 19, 200 ἄλλων χορηγούντων τρεφόμενος ὡς παράσιτος (= παρὰ) μὲ εὐχαρίστησίν σου (δηλ. ἐθεώρεις σεαυτὸν εὐτυχῆ διὰ τοῦτο), διὰ νὰ εἶσαι πρωταγωνιστής.

παρατρέχω: παράτρεχ' εἰς τὰ Πιττάλου Ἀρφ. Σφ. 1432 πήγαινε τοίχου τοίχου (ὡς ποιοῦσιν οἱ προφυλαττόμενοι) εἰς τοῦ (ἰατροῦ) Πιττάλου.

παράτροπος: χρωτὸς δὲ παράτροπον ἄνθος ἀμέρσαι Ὀππ. Ἁλ 4, 18 «παρηλλαγμένον» Σχ. Ἐνεργ.: παρατρέπων· τί δ' ἐγὼ μόρου παράτροπον μέλος εὕρω; Εὐρ. Ἀνδρ. 526 «παρατροπικόν» Σχ. τὸ ὁποῖον ν' ἀπομακρύνῃ ἀπὸ τοῦ θανάτου.

παρατυγχάνω: πρὸς τὸ παρατυγχάνον Θουκ. 1, 122 = κατὰ τὰς ἑκάστοτε περιστάσεις. παρατυχὸν ἐν καλῷ σφίσι ξυμβαλεῖν 5, 60 ἐν ᾧ ἐπαρουσιάσθη εὐνοϊκὴ εὐκαιρία εἰς αὐτοὺς νὰ συνάψωσι μάχην. παρατυ-

χὸν 1, 76 περιστάσεως τυχούσης, εὐκαιρίας δοθείσης. ὤμοσαν ἀλλήλοις ἦ μὴν ἐν τῷ παρατυχόντι ἀμυνεῖν τῷ δεομένῳ 5, 38 νὰ ὁρκισθῶσι πρὸς ἀλλήλους, ὅτι ἀληθῶς ἐν ἐνδεχομένῃ περιπτώσει θὰ βοηθήσωσι τὸν χρήζοντα βοηθείας.

παραυδάω (ἴδ. παραμυθοῦμαι)· μή μοι θάνατόν γε παραύδα λ 488 μή με παρηγόρει διὰ τὸν θάνατον. μὴ ταῦτα παραύδα κηδομένη περ, χρῶτ' ἀπονίπτεσθαι σ 178 μή με συμβουλεύῃς ταῦτα, ὅσον καὶ ἂν φροντίζεις ὑπὲρ ἐμοῦ (ἂν καὶ ἀναγνωρίζω τὴν ὑπὲρ ἐμοῦ μέριμνάν σου), δηλ. νὰ ἀπονίπτω τὸ σῶμά μου.

πάραυλος 2: ἥκεις ἔμ' ἄξων οὐχ ἵν' εἰς δόμους ἄγῃς, ἀλλ' ὡς πάραυλον οἰκίσῃς Σοφ. Ο. Κ. 785 πλησίον σου, ἐν τῇ γειτονίᾳ σου· ὁ δὲ Σχ. «ἐν ἀγροῖς». Πρβ. Αἴ. 892: τίνος βοὴ πάραυλος ἐξέβη νάπους; «ἐγγὺς παρὰ τὴν αὐλὴν ἢ θρηνητικὴ παρὰ τοὺς αὐλούς» Σχ. Ὅθεν σχεδὸν = ἐκ τοῦ γειτονικοῦ νάπους.

πάραυτα, ἴδ. παρά.

παραφαίνω: σὺ δ', ὦ.. Ἑκάτα, παράφηνον εἰς Γλύκης, ὅπως ἂν εἰσελθοῦσα φωράσω Ἀρφ. Βατρ. 1362 φέξε μου ἐκ τοῦ πλαγίου, ἵνα ὑπάγω εἰς τὴν οἰκίαν τῆς Γλ. καὶ εἰσελθοῦσα ἐρευνήσω (εἰς ἀναζήτησιν τοῦ ἀπολεσθέντος ἀλεκτρυόνος)· ἴδ. ὀξύς, περὶ δὲ τοῦ φωρᾶν ἴδ. Πλάτ. Νόμ. 954Α. πάρφαινε τὸν ὅρκον, ὡς ὀμιόμεθα Ἀρφ. Λυσ. 183 ὑπαγόρευε τὸν ὅρκον, ὅπως (ὅτῳ τρόπῳ) ὀμούμεθα.

παράφασις ἡ παράπεισις, ἀπάτη, ξελόγιασμα, ἀποπλάνησις· ἐχθρὰ δ' ἄρα πάρφασις ἦν Πινδ. Ν. 8, 32 καὶ τότε, ὡς φαίνεται, ὑπῆρχεν ἡ μισητὴ παράπεισις, διαβολή, διαστροφή.

παραφέρω: αἰσχύνομαι δὲ παραφέρουσ' οἰκτροὺς λόγους Εὐρ. Ἰ. Α. 981 «ἀτόπως ἢ παρὰ τὸ πρέπον φέρουσα τῇδε κἀκεῖσε τοὺς οἰκτρούς μου ἐπὶ τοῖς ἰδίοις παθήμασι λόγους, ὅπως ὡς ἐπαῖτις προκαλέσω τὸν ἀλλότριον οἶκτον». Δ. Βερν. τοῦ ἀεὶ παραφερομένου ἀπογεύονται Πλ. Πολ. 354 Β ἀπογεύονται ἐκ τοῦ ἑκάστοτε πλησίον (τῶν συνδαιτυμόνων) φερομένου φαγητοῦ. ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν ἰδόντε καὶ παθόντε Σοφ. Ο. Κ. 1675 θὰ ἔχωμεν νὰ διηγώμεθα ἀνεξιχνίαστα πράγματα, τὰ ὁποῖα εἴδομεν καὶ ἐπάθομεν (τ. ἔ. ἐζήσαμεν καὶ εἴδομεν) εἰς τὸ τέλος τῆς ζωῆς του τὰς ὥρας παρηνέγκατε τῆς θυσίας Δημ. 21, 53 ἀφήσατε νὰ περάσουν αἱ ὧραι (μετεθέσατε τὰς ὥρας Weil) τῆς θυσίας. τοῦ κώδωνος παρενεχθέντος Θουκ. 4, 135 ἴδ. κώδων, κωδωνοφορῶ. τὸ βλέμμα παρενήνεκται Ἀ. Β. 65 ἔχει τὸ βλέμμα διάστροφον, παράφορον. παρενεγκουσῶν ἡμερῶν ὀλίγων ἢ ὡς τὸ πρῶτον ἡ εἰσβολή... ἐγένετο Θουκ. 5, 20 ἀφ' οὗ ὀλίγαι ἡμέραι ἐπέρασαν ἐπὶ πλέον ἢ ὅτε τὸ πρῶτον ἔγινεν ἡ εἰσβολὴ κτλ.

παράφημι παρηγορῶ, παραινῶ, συμβουλεύω· παρφάμενος ἐπέεσσιν Μ 249. ἐπ. παραιφάμενος Ω 771 καλοπιάνων μὲ λόγια Συνήθ. μετὰ τῆς παραστημασίας τοῦ δολίως πείθειν ἤτοι ἀπατᾶν. θεῶν δ' ὅρκον μέγαν μὴ παρφάμεν Πίνδ. Ὀ. 7, 65 νὰ μὴ παραβῇ τὸν μέγαν ὅρκον τῶν θεῶν. πολλά νιν παρφαμένα λιτάνευεν Ν. 5, 32 πολλὰ παρεκάλει αὐτόν, ἐν ᾧ προσεπάθει νὰ τὸν παραπείσῃ (ἀποπλανήσῃ). σὲ ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον Π. 9, 43 σὲ ἐκίνησεν ἡ φαιδρὰ διάθεσίς σου νὰ εἴπῃς πρὸς τοὺς ἄλλους («κοντὰ εἰς τὰ ἄλλα») τοῦτον τὸν λόγον (δηλ. νὰ κάμῃς αὐτὸν τὸν ἀστεϊσμόν). Σημαίνει λοιπὸν τὸ ῥῆμα ἢ καταπείθω (παραινῶν πείθω) ἢ παραπείθω, παραλογίζομαι, ἀπατῶ.

παραφθέγγομαι: τοῦτο παρεφθέγγετο Ἰσαῖ. 8, 23 κοντὰ εἰς τὰ ἄλλα λόγια ἔλεγε καὶ τοῦτο (ὡς ἄκων), τοῦ ἐξέφευγε καὶ οὗτος ὁ λόγος, ὅτι κτλ.

παραχαλάω: ἐάν τι παραχαλᾷ (ἐνν. ἡ ναῦς), τὴν ἀντλίαν φυλάξω Ἀρφ. Ἱππ. 434. ἐὰν κάμνῃ νερά, θὰ φυλάξω (σταθῶ εἰς) τὴν ἀντλίαν (διὰ νὰ ἐβγάλω τὸ νερό).

παραχορήγημα τό, πᾶν ὅ τι παρέχει ὁ χορηγὸς ὑπερβαῖνον τὰς ἐκ τοῦ νόμου ὑποχρεώσεις του, οἷον δεύτερον χορὸν πρὸς τῷ συνήθει κυρίῳ χορῷ, ὑπεράριθμον ὑποκριτήν, καὶ τὰ ἀπαιτούμενα παιδία πρὸς παράστασιν παιδικῶν προσώπων Ἀρφ. Εἰρ. 114. Σφ. 248. Βατρ. 263. Πολυδ. 4, 110.

παραχωρέω: δοκεῖτ' αὐτοὶ τῶν ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς αἷς δεδώκατ' ἐπ' αὐτοῖς ἑκάστῳ τούτων Δημ. 13, 22 φαίνεσθε ὅτι σεῖς οἱ ἴδιοι ἐκχωρεῖτε εἰς αὐτοὺς τὰ κατορθώματα ταῦτα διὰ τῶν ὑπερβολικῶν τιμῶν, τὰς ὁποίας ἔχετε δώσῃ δι' αὐτὰ εἰς ἕκαστον τούτων. ἐνταῦθα δὲ παραχωρεῖ Πλουτ. 365 C εἰς τοῦτο πλέον καταντᾷ, ἅπερ ὀρθῶς μετέγραψεν ὁ Madvig: ἐνταῦθα δὴ περιχωρεῖ.

πάρεδρος 2 παρακαθήμενος· (ἵμερος εὐλέκτρου νύμφας) τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς θεσμῶν Σοφ. Ἀντ. 796 (ὁ ἔρως, ὁ πόθος, τῆς καλὸν λέκτρον ἐχούσης νύμφης) ὁ συμπάρεδρος τῶν σεβαστῶν θεσμῶν ἐν τῇ διοικήσει τοῦ κόσμου. Μεταξὺ τῶν θεσμῶν τῶν διοικούντων τὸν κόσμον σπουδαίαν θέσιν κατέχει καὶ ὁ ἔρως. Ἀλλὰ μετρικῶς τὸ πάρεδρος ἐν ἀρχαῖς δὲν ἀνταποκρίνεται πρὸς τὸ φύξιμος οὐδεὶς (στ. 787). Καὶ διὰ τοῦτο λοιπὸν πολλαὶ διορθώσεις, ἐξ ὧν ἐγὼ μάλιστα ἐπιδοκιμάζω τὴν τοῦ Meineke ἀρχιπάρεδρος, ὅπερ θὰ ἠδύνατο νὰ ἐξηγηθῇ διὰ τοῦ πάρεδρος ἐν ἀρχαῖς. Οἱ δὲ διορθοῦντες τῶν μεγάλων ἐκτὸς ὁμιλῶν θεσμῶν μετὰ τοῦ Dindorf παρεξηγοῦσι τὰ ἐφεξῆς: νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν ἔξω φέρομαι ἐν οἷς ὁ καὶ (ἐν τῷ καὐτὸς) δὲν ἔχει τὴν ἐπίδοσιν πρὸς τὸ πάρεδρος ἐν ἀρχαῖς θεσμῶν, ἀλλὰ πρὸς τὰ ἐφεξῆς τ. ἔ. ὅταν βλέπω τὴν Ἀντιγόνην καταδικαζομένην, φέρομαι καὶ ἐγὼ αὐ-

τός ἐκτὸς τῶν θεσμῶν. Ὀρθῶς λοιπὸν παρετήρησεν ἤδη ὁ Σχ. «οἷον δυνάμει παρακούομεν τοῦ ἄρχοντος, δακρύοντες τὴν Ἀντιγόνην, ἣν αὐτὸς κατεδίκασεν».

παρεθείς, ἴδ. παρίημι.

παρείην, ἴδ. πάρειμι.

παρείθην, παρεῖκα, ἴδ. παρίημι.

παρείκω: κατὰ τὸ ἀεὶ παρεῖκον («ἐνδιδὸν καὶ ἀνάβασιν παρέχον» Σχ.) τοῦ κρημνώδους τῆς νήσου Θουκ. 4, 36 κατὰ τὸ ἑκάστοτε ἐπιβατὸν (μέρος, παρέχον ἐπίβασιν) τοῦ κρημνώδους τῆς νήσου: καθ' ὅσον ἑκάστοτε παρεῖχεν ἐπίβασιν τὸ κρημνῶδες τῆς νήσου. πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη, εἴ μοι παρείκοι Σοφ. Φιλ. 1047 «εἰ καιρὸς ἐπιτρέψειέ μοι» Σχ. καθ' ὅσον παρείκει Πλ. Συμπ. 187 E = καθ' ὅσον ἐγχωρεῖ, καθ' ὅσον εἶνε δυνατὸν νὰ γίνῃ. ὅμως δὲ οὐκ ἀποδειλιατέον, ὅσον γ' ἂν δύναμις παρείκῃ Πολ. 375 A ὅσον ἐπιτρέπει ἡ δύναμις ἡμῶν. Πρβ. Θεαίτ. 150 D. Ὁ Herw. ἐξαλείφει τὸ δύναμις. ἐὰν ἄρα ἡμῖν πῃ παρεικάθῃ (Boeckh: παρεικασθῇ) τὸ μὴ ὂν λέγουσιν ὡς ἔστιν ὄντως μὴ ὂν ἀθῴοις ἀπαλλάττειν Πλ. Σοφ. 254 C ἐὰν ἴσως κατά τινα τρόπον συμβῇ εἰς ἡμᾶς (ἐὰν ἴσως ἐπιτύχωμεν), λέγοντες ὅτι τὸ μὴ ὂν εἶνε ὄντως μὴ ὄν, ν' ἀποχωρῶμεν ἀτιμώρητοι (ἀβλαβεῖς καὶ ἀζήμιοι). Κατὰ τὸν Cobet τὸ παρεικάθῃ εἶνε πάντως ἀόριστος· ἴδ. εἴκω.

παρεῖμαι, ἴδ. παρίημι

πάρειμι εἶμαι παρά τινι· χαριζομένη παρεόντων (=ἔνδον ἐόντων) α 140 δίδουσα (προσφέρουσα) εὐχαρίστως «ἀπὸ τὰ εὑρισκόμενα». καὶ μὴν πάρεισιν οἵδε Σοφ. Ἠλ. 1422 ἰδοὺ αὐτοὶ ἐδῶ εἶνε. τοὔργον παρέσται φανερόν Σοφ. Φιλ. 1291 τὸ πρᾶγμα θὰ γίνῃ φανερὸν καὶ θὰ τὸ ἰδῇς μὲ τὰ μάτια σου. (=παρ-). τάδε δ' ἀεὶ πάρεσθ' ὁμοῖα διά τε τῶν αὐτῶν ἀεί Ἀπ. Ἐπιχάρ. 170 τὰ δ' ἐν τῷ κόσμῳ τούτῳ γινόμενα πάντοτε γίνονται κατὰ τὸν ὅμοιον τρόπον καὶ διὰ τῶν αὐτῶν δυνάμεων πάντοτε. καιροῦ πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα Δημ. 2, 8 εἰς τοῦτο τὸ κρίσιμον σημεῖον διὰ τὸν Φίλιππον ἔχουν φθάσει τὰ πράγματα. Τὸ καιροῦ προηγήθη ἐμφάσεως χάριν. Ὅταν δὲ τὸ πάρειμι συντάσσηται μετὰ τῆς προθ. εἰς, ἐπί, πρός καὶ αἰτ. ἢ μεθ' ἁπλῆς αἰτ (ὡς Εὐρ. Κύκλ 95) ἢ μετ' ἐπιρρ. κινήσεως σημαντικοῦ, προϋποδηλοῦται κίνησις· ὅθεν ὑπονοεῖται τὸ παραλειπόμενον ῥῆμα κινήσεως σημαντικόν. Ἀρφ. Ἱππ. 751. ἀλλ' ἐξ αἰτίας οὔ που (Δ. Βερν.: οὔπω) τινος πάρεισιν εἴς μ' εἴσω δόμων, ἐν οἷσι ναίω, τῶνδ' ἀνακτόρων θεᾶς; Εὐρ. Ἰ. Τ. 56 «ἀλλὰ μῶν (=οὔ που) ἐξ αἰτίας τινὸς πάρεισι (μολοῦσαι) πρός με ἔνδον τὸν δόμων, ἐν οἷς ναίω, ἤτοι τῶνδ' ἀνακτόρων τῆς θεᾶς (τοῦ ναοῦ); ἤτοι: μπᾶς κ' ἦλθαν σὲ μένα καὶ εὑρίσκονται μέσα σ' τοὺς δόμους ὅπου κατοικῶ, σ' τἀνάκτορα (δηλ.) ταύτης τῆς θεᾶς;» Δ. Βερν. δύναμιν γὰρ ἔχων εὐθὺς ἑκασταχόσε δεινὸς παρῆν Θουκ. 8, 5 διότι μετὰ δυνάμεως εὐθὺς ἦτο παρὼν (μετέβαινεν) εἰς ἕκαστον μέρος ἐμπνέων σεβασμόν (φόβον). ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος Εὐρ. Ἠλ. 245 «μὲ τὴν ἀπουσίαν του μᾶς ἀγαπᾷ ἐκεῖνος, ὄχι μὲ τὴν παρουσίαν του» Δ. Βερν. ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύναμιν τῶν δικαίων ἀξιουμένους Δημ. 15, 28 βλέπω, ὅτι ἅπαντες λαμβάνουσι τὰ δίκαιά των (κρίνονται ἄξιοι νὰ λάβωσι τὰ δίκαιά των) ἀναλόγως τῆς δυνάμεως, τὴν ὁποίαν ἔχουσιν. ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν τάδε δίκᾳ χρόνος Σοφ. Ἠλ. 1254 ὁλόκληρος ὁ χρόνος, ὁ ἐμοὶ παρὼν (ὁ εὑρισκόμενος εἰς τὴν διάθεσίν μου), δικαίως θ' ἁρμόζῃ νὰ ὁμιλῇ περὶ τούτων. παρέσται δ' ἐν πόσει θοίνην ἔπι Εὐρ. Ἠλ. 641 θὰ παρουσιασθῇ εἰς τὴν θοίνην (τὴν ἐπὶ τῇ θυσίᾳ) ἐν τῇ πόσει (παρὰ πότον) Δ. Βερν. εὖτ' ἂν τὸ νέον παρῇ Σοφ. Ο. Κ. 1229 ἐφ' ὅσον ὑπάρχει ἡ νεότης. Ἄλλοι τὸ παρῇ παράγουσιν ἐκ τοῦ παρίημι καὶ ἐξηγοῦσι παραμείψηται, παρέλθῃ· ἀλλ' ἴδε πλάζω. ἐν τῷ παρόντι Θουκ. 1, 95 κατὰ τὴν τότε παροῦσαν περίστασιν. τοὐκ θεοῦ παρὸν (πτερὸν Matthiae) Σοφ. Ο. Κ. 1540 τὸ ἐκ θεοῦ ὑποδηλωθέν μοι. ἔχοντες παραδείγματα τῶν τ' ἐκεῖ Ἑλλήνων ὡς ἐδουλώθησαν.. καὶ νῦν ἐφ' ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα Θουκ. 6, 77 ἂν καὶ βλέπομεν (ὡς εἰ προηγεῖτο τὸ ὁρῶντες ἀντὶ τοῦ ἔχοντες), ὅτι καὶ νῦν ἐναντίον ἡμῶν παρουσιάζονται τὰ αὐτὰ τεχνάσματα (φενακισμοί). ὡς ἐκ τῶν παρόντων Θουκ. 6, 70 καθ' ὅσον τὸ ἐπέτρεπον αἱ παροῦσαι περιστάσεις. ἀπὸ τῶν παρόντων 7, 56 ὡς ἐκ τῆς παρούσης καταστάσεως τῶν πραγμάτων (κυρ. ἄν τις ὁρμᾶται ἐκ τῶν παρόντων). οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον τοῖς ἄλλοις ὁμοιοῦνται Θουκ. 2, 97 ἀλλ' ὅμως οὐδ' ὡς πρὸς τὴν ἄλλην εὐβουλίαν καὶ σύνεσιν περὶ τῶν παρουσιαζομένων βιοτικῶν ἀναγκῶν εἶνε ὅμοιοι πρὸς τοὺς ἄλλους λαούς. τοῖς παροῦσιν ἕπεσθαι 6, 89 νὰ συμμορφωνώμεθα πρὸς τὴν παροῦσαν κατάστασιν τῶν πραγμάτων. τὸ δ' οὐ πάρεστιν Αἰσχ. Εὐμ. 261 ἀλλὰ τοῦτο δὲν εἶνε δυνατὸν (αἰτιολογεῖται ἐφεξῆς). Καὶ ἀπροσώπως· μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία πάρεστιν αὐτῷ Ἀπ. Σοφ. 85, ἴδ. νοσῶ τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ Αἰσχ. Εὐμ. 867 τοιαῦτά σοι εἶνε εὔκολον νὰ δεχθῇς ἐξ ἐμοῦ. παρῆν δ' ὁρᾶν οὐ ταὐτὰ μορφῆς σχήματ', ἀλλ' ἠλλάσσετο φθογγάς τε μόσχων καὶ κυνῶν ὑλάγματα, ἅς φάσ' Ἐρινῦς ἱέναι μιμήματα Εὐρ. Ἰ. Τ. 291 «Τὸ μὲν παρῆν ὄχι ἑνικῶς καὶ ἀπροσώπως = ἐξῆν, ὅπως ἑρμηνεύεται τὸ ῥῆμα κακῶς, ἀλλὰ πληθ. καὶ προσωπικῶς = παρῆσαν, τ. ἔ. παρῆσαν δ' ὁρᾶν (ἔργῳ) οὐ ταὐτὰ (τὰ ἐν 285–90) μορφῆς σχήματα, ἀλλ' ἤλλασσε καθ' ἑαυτὸν τάς τε φθογ-

γὰς τῶν μόσχων καὶ τὰ τῶν κυνῶν (ἴδ. 255 καὶ 261) ὑλάγματα, ἃς (φθογγὰς καὶ ὑλάγματα..) φασὶ τὰς Ἐρινῦς ἰέναι μιμήματα (κατηγορ. τ. ἔ. ἅς φασιν Ἐρινῦς ἰέναι μιμουμένας)» Δ. Βερν. Ταῦτα ἐπικρίνων ὁ Κόντος ἐν Ἀθηνᾶς τόμ. 19ῳ σ. 114 κέ. λέγει πρὸς τοῖς ἄλλοις τάδε: «οὐδείς ποτε σωφρονῶν ἄνθρωπος ἠδύνατο νὰ ὑπολάβῃ ὅτι τὸ ἐν τῇ Εὐριπιδείῳ (;) ῥήσει κείμενον παρῆν δὲν εἶνε ἑνικὸν καὶ ἀπρόσωπον, ἀλλὰ πληθ. καὶ προσωπικόν, τ. ἔ. ὅτι τὸ παρῆν δὲν εἶνε παρῆν ἀλλὰ παρῆσαν. Αἰσχυνόμεθα τῇ ἀληθείᾳ καταγελαστότατα σφάλματα τοῦ Βερναρδάκη ἐλέγχοντες κτλ.». Ἀλλ' ὁ κ. Δ Βερν. σαφέστατα ἐδήλωσεν, ὅτι ἐκδέχεται τὸ παρῆν ὄχι ἑνικῶς καὶ ἀπροσώπως, ὡς συνήθως ἑρμηνεύεται, ἀλλὰ πληθυντικῶς καὶ προσωπικῶς = παρῆσαν· τὴν δ' ἐκδοχήν του ταύτην καὶ ἐξήγησε σαφέστατα. Ἐπίσης, προκειμένης εἰς ἐξήγησιν τῆς φράσεως τὰ παιδία παίζει, δύναταί τις νὰ εἴπῃ, καὶ λέγουσι πάντες (πῶς ἄλλως;), ὅτι ἐνταῦθα τὸ παίζει = παίζουσι. Τί ἐν τούτοις τὸ καταγέλαστον, καὶ δὴ τὸ καταγελαστότατον; Καὶ ὅμως ὁ κ. Κόντος, ἀντὶ νὰ ἑρμηνεύσῃ τὸ χωρίον καὶ ἀντιτάξῃ τὴν ὀρθοτέραν ἑρμηνείαν του πρὸς τὴν πλημμελεστάτην τοῦ Δ. Βερν., παρέταξε πρδγ τῆς ἀπροσώπου συντάξεως ἐν ἑπτὰ σελίσιν, ἀπέκρυψε δὲ ἐπιμελῶς καὶ ἀπεσιώπησε τὰ τῆς προσωπικῆς συντάξεως Ἀλλ' ἰδού τινα πρδγ. ἐκ τοῦ προχείρου συνειλεγμένα. πάρα γὰρ μενοεικέα πολλὰ δαίνυσθαι I 227 = «πάρεισι γὰρ πολλὰ προσηνῆ εὐωχεῖσθαι» Γαζῆς. Ἐπίσης καὶ οἱ νεώτεροι ἐκλαμβάνουσι τὸ μενοεικέα πολλὰ ὡς ὑποκ., περιπίπτοντες καὶ οὗτοι εἰς τὸ κατὰ Κόντον καταγελαστότατον σφάλμα, εἰς ὃ «οὐδεὶς σωφρονῶν ἄνθρωπος» δύναται νὰ ὑποπέσῃ. τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα; Αἰσχ. Ἑπτ. 343 τί (κυρ. τίνα πράγματα) νὰ εἰκάσῃ τις ἐκ τούτων εἶνε λογικόν. Ὅπου οὐδεμία ἀνάγκη διορθώσεως. οὔθ' ὁ μῦθος ἐν βραχεῖ φράσαι πάρεστιν οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ Σοφ Ο Κ. 1581 οὔτε ὁ μῦθος πάρεστιν, ὥστε ἐν βραχεῖ φράσαι (ἃ ἦν τὰ πραχθέντα) οὔτε τὰ ἔργα ὅσα ἦν ἐκεῖ (πάρεστιν ἐν βραχεῖ φράσαι). Τόσον φανερὰ εἶνε ἡ προσωπικὴ σύνταξις, ὥστε οὐδείς ποτε ἐξέφρασεν ἀμφιβολίαν περὶ αὐτῆς· τινὲς μάλιστα τρέπουσι τὴν προσωπικὴν σύντ. εἰς ἀπρόσωπον: οὔτε τὸν μῦθον, τίνα ἦν τὰ πραχθέντα, πάρεστι φράσαι ἐν βραχεῖ, οὔτε τὰ ἔργα ὅσα ἦν ἐκεῖ. Καὶ κατὰ μετοχήν: σίτου δ' ἐπιλελοιπότος, οἴνου δὲ μηδ' ὀσφραίνεσθαι παρόντος (Δ. Γ. παρόν), ὑπὸ δὲ πόνου πολλῶν ἀπαγορευόντων Ξεν. Ἀν. 5, 8, 3 ὅπου τὴν γρ. παρόντος ἀπαιτεῖ αὐτὴ ἡ ἔννοια: δὲν ὑπῆρχε δὲν εὑρίσκετο οἶνος «οὔτε γιὰ μυρωδιά». Τὴν δ' ἔννοιαν ταύτην ὑποδεικνύει καὶ τὸ προηγ. ἐπιλελοιπότος. Πρβ. καὶ Ἀπ. Ἀλέξιδ. 167 γυναιξὶ δ' ἀρκεῖ πάντ', ἐὰν οἶνος παρῇ πίνειν διαρκὴς ἐὰν ὑπάρχῃ ἐπαρκὴς οἶνος εἰς πόσιν. οὐ γὰρ ἂν δήπου τῶν αὐτῶν ἀδικημάτων παρόντων ἀμφοῖν ὁμοίως ἐγκαλῶν, τὸν μὲν εἴασε, τῷ δ' ἐδικάζετο Δημ. 37, 18 ὅπου ὁ μὲν Blass ἔγρ τῶν αὐτῶν ἀδικημάτων παρόντοιν ἀμφοῖν ὁμοίως ἐγκαλῶν, ὁ δὲ Naber παρὸν ἀμφοῖν ὁμοίως ἐγκαλεῖν, ἐν ᾧ εὐκολωτέρα καὶ ἀληθεστέρα εἶνε μόνη ἡ διόρθ. ἐγκαλεῖν, τ. ἔ. εἰ τὰ αὐτὰ ἀδικήματα (ὀνομαστ.) παρῆν (τ. ἔ. παρῆσαν αὐτῷ, τῷ Παντακνέτῳ, ὥστε) ἀμφοῖν ἐγκαλεῖν: εἰ εἶχε (Παντακίνετος) τὰ αὐτὰ ἀδικήματα ἐγκαλεῖν ἀμφοτέροις ἡμῖν. Ἡ σύνταξις τοῦ χωρίου εἶνε ὁμοιοτάτη πρὸς τὴν τοῦ Σοφοκλείου (ἴδ. ἀνωτ.). Ὁ κ. Κόντος οὐδὲ ἓν τῶν ἀνωτ πρδγ οὔτε ἡρμήνευσεν (οὔτε ἠδύνατο νὰ ἑρμηνεύσῃ) οὔτε ἐμνημόνευσεν, ἀλλ' ἀπέκρυψεν ἐπιμελέστατα (διατί;). Ἀλλὰ ταῦτα κανονίζονται ὄχι διὰ τῆς παραθέσεως καὶ συσσωρεύσεως ἐξ ἀντιγραφῆς παραδειγμάτων ἀπροσώπου συντάξεως, ἣν οὐδεὶς ἀρνεῖται, ἀλλὰ διὰ τῆς ὀρθῆς ἑκάστοτε ἑρμηνείας. Ὁ ὀρθὸς λόγος ἀποφασίζει, ποτέρα τῶν δύο συντάξεων εἶνε ἑκάστοτε προτιμητέα. Ἂν δὲ ὁ κ. Κόντος ἀρνεῖται μὲν τὴν προσωπικὴν σύνταξιν, ἀλλ' ἀποκρύπτει ἐπιμελῶς καὶ ἀποσιωπᾷ τὰ ὑπάρχοντα πρδγ. προσωπικῆς συντάξεως ἀναμφισβήτητα, τί ἄλλο ἀποδεικνύει ἢ κακὴν πίστιν καὶ ἀμάθειαν; ἀχάριστος ὄλοιθ' (=ὄλοιτο ὁ ἀχάριστος), ὅτῳ πάρεστιν μὴ φίλους τιμᾶν Εὐρ. Μήδ. 659 ποῦ δὲν τὸ ἔχει τίποτε νὰ μὴ τιμᾷ τοὺς φίλους του. ἡδὺ γὰρ φίλους κἀν νυκτὶ λεύσσειν, ὅντιν' ἂν παρῇ χρόνον Εὐρ. Ἄλκ. 355 = «πάνθ' ὃν ἂν παρῇ ὁρᾶν αὐτοὺς χρόνον, ἤτοι: κάθε φορὰ ὅπου μπορεῖ τις νὰ τοὺς βλέπῃ μπροστά του» Δ. Βερν. ἀλλ' αὐτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλος Εὐρ. Ἱππ. 1001 «ἀλλ' ὁ αὐτὸς ὢν φίλος (τοῖς ὁμιλοῦσιν, ὅπερ ἀπὸ κοινοῦ) ἀποῦσιν (=οὐ παροῦσι) κἀγγὺς (οὖσι=παροῦσι)» Δ. Βερν. τοῖς παροῦσιν ἕκαστος ἀφθόνως χρῆται Δημ. 1473, 19 ἕκαστος ἀγαπᾷ νὰ ὁμιλῇ δι' ὅσα κατὰ τὸ παρὸν (ἑκάστοτε) σκέπτεται. πάντα δὲ σκοπῶν ηὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν, τούτου δὲ πολλὴν εὐμάρειαν Σοφ. Φιλ. 283 πάντα δὲ ἀνασκοπῶν οὐδὲν ἄλλο εὑρίσκον ὑπάρχον πλὴν τοῦ ἀνιᾶσθαι (πλὴν τῆς λύπης), τούτου δὲ πολλὴν ἀφθονίαν. κοὐδέν γ' ἄχρηστον οὐδὲ χρήσιμον παρόν Εὐρ. Ἰ. Α 521 «καὶ (κακὸν) οὐδόλως τοὐλάχ. τοιοῦτον, οἷον μὴ χρῆσθαι αὐτῷ, οὐδ' ἣν παρῇ χρήσιμον: κακὸν τοιοῦτον, ὥστε οὔτε νὰ τὸ ἀφήσῃς τοὐλάχ. κατὰ μέρος δύνασαι (ἤτοι: κακὸν ἀπαραίτητον) οὔτε παρὸν εἶνε χρήσιμον. πὰρ καὶ πάρα ποιητ. = πάρεστι, πάρεισι, I 227. Ψ 479. Ἡρ. 7, 12. ὑμές, ὅσοι... Θείβαθεν αὐληταὶ πάρα Ἀρφ. Ἀχ. 862 = «πάρεστε· ἐσπούδαζον γὰρ οἱ Θηβαῖοι περὶ τὸν αὐλὸν» Σχ. Ἡ μτχ. παρὼν προστίθεται ἐνίοτε εἰς ἀπαρτισμὸν τοῦ στίχου ἐν τέλει, ἀλλ' ὄχι καὶ ἄνευ ἐννοίας· ἀνὴρ ἔοικεν ἢ νοσεῖν ἢ

τοῖς πάλαι νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών Σοφ. Αἴ. 337 ὅπου τὸ παρών σημ. κυρίως: νοερῶς εὑρισκόμενος πλησίον αὐτῶν, διότι, ὅτε ξυνῆσαν τὰ νοσήματα (ἡ μανία), ὁ ἀνὴρ (Αἴας) ἦτο ἀπών. Ἐνίοτε δέ, καὶ ἐν τῷ πεζῷ λόγῳ, ἐπιπροστίθενται ἐπὶ τὸ ἐμφαντικώτερον πολλαὶ συνώνυμοι ἐκφράσεις, ὡς: οὗτος παρὰ σοὶ μάλα πλησίον ἀεὶ πάρεστιν Πλ. Φαῖδρ. 243 Ε.

πάρειμι (εἶμι), παριέναι, παρέρχομαι, εἶμι, πορεύομαι πλησίον τινός· (τὸ) σύνθημα παρήει Ξεν.'Αν 6, 5, 25 διήρχετο (τὰς τάξεις τῶν στρατιωτῶν, μεταδιδόμενον ἀπὸ τοῦ ἑνὸς εἰς τὸν ἄλλον μέχρι τοῦ τελευταίου). ἐφάνη γὰρ ἀνὴρ ἕτερος. . ὅς σε παύσει («καταπαύσει σε, παρευδοκιμήσει» Σχ.) καὶ πάρεισι («ὑπερβαλεῖ σε, παραδραμεῖται, νικήσει σε» Σχ.) πανουργίᾳ τε καὶ θράσει Ἀρφ. Ἱππ. 328 θά σε περάσῃ εἰς τὴν πανουργίαν καὶ τὴν θρασύτητα. Συχν. δὲ παρὰ τοῖς ῥήτορσι τὸ παριέναι ἢ τὴν πάροδον ποιεῖσθαι ἰσοδυναμεῖ τῷ ἀναβαίνειν ἐπὶ τὸ βῆμα. εἰ οὖν διαλέγεσθαι οἷοί τ' εἶεν πρὸς ἀλλήλους, οὐ πάντα ἡγῇ ἂν τὰ παριόντα (Δ. Γ. παρόντα) αὐτοὺς νομίζειν ὀνομάζειν, ἅπερ ὁρῷεν; Πλ. Πολ. 515 Β. Τὸ νόημα εἶνε προφανές, τοιόνδε τι: ὅτι οἱ κάτοικοι τοῦ σπηλαίου ἐκλαμβάνουσι τὰς παρερχομένας σκιὰς ὡς αὐτὰ τὰ πράγματα (τὰ διὰ τῶν σκιῶν εἰκονιζόμενα), καὶ ἑπομένως ἀποδίδουσιν εἰς τὰς σκιας τὸ ὄνομα τῶν πραγμάτων αὐτῶν. Ἑρμηνευτέον λοιπὸν τὸ χωρίον ὧδε: ἐὰν λοιπὸν ἠδύναντο νὰ ὁμιλῶσι πρὸς ἀλλήλους, δὲν νομίζεις ὅτι ἤθελον πιστεύῃ (οἱ κάτοικοι τοῦ σπηλαίου) ὅτι ὀνομάζουσιν (ἀποδίδουσιν ὄνομα εἰς) τὰ παρερχόμενα (=τῷ ἀνωτ. παραφερόμενα) πράγματα, τὰ ὁποῖα βλέπουν ἑκάστοτε ἐπὶ τοῦ τοίχου τοῦ σπηλαίου (δηλ. τὰς παρερχομένας σκιάς, οὐχὶ δὲ αὐτὰ τὰ πράγματα); Ἀποδίδουσι δηλ. τὰ ὀνόματα τῶν πραγμάτων αὐτῶν εἰς τὰς σκιὰς τῶν πραγμάτων, νομίζοντες ὅτι βλέπουσιν αὐτὰ τὰ πράγματα, ὄχι δὲ τὰς σκιὰς αὐτῶν. Ταύτην θεωρῶ τὴν ἁπλουστάτην ἑρμηνείαν. Οὕτως ὁ James Adam. Ἄλλοι ἄλλως. Ὁ δὲ Cobet ἐξαλείψας τὸ ὀνομάζειν ἔγρ. ταὐτὰ ἀντὶ τοῦ ταῦτα.

παρείρω: νόμους παρείρων χθονός Σοφ. Ἀντ. 368 Συνήθως ἐπιδοκιμάζεται ἡ διόρθ. τοῦ Reiske γεραίρων, προτιμῶ τὴν τοῦ Schäfer: γὰρ αἴρων (ἀνυψῶν) καὶ διὰ τὸ ὑψίπολις

παρείς, ἴδ. παρίημι.

παρεῖσα, ἴδ. παρίζω.

παρεισενηνεγμένος, παρεισενήνοχα, ἴδ. παρεισφέρω.

παρεισίτω, παρεισιών, ἴδ. παρείσειμι.

παρεκρεῖ τῶν φρενῶν Ἀπ. Εὐπόλ. 357 ἴδ. παραρρέω.

παρελαύνω: ἐναντίω δύο ἅρματε ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην Ἀρφ. Ὄρν. 1129 θὰ ἠδύναντο νὰ παρελάσωσι δύο ἅρματα ἐναντία ἀλλήλων ἕνεκα τοῦ πλάτους τοῦ τείχους. ὁ δὲ ποιητὴς οὐδὲν χεῖρον παρὰ τοῖς σοφοῖς νενόμισται, εἰ παρελαύνων τοὺς ἀντιπάλους τὴν ἐπίνοιαν ξυνέτριψεν Ἀρφ. Σφ. 1049 ἀλλ' ὁ ποιητὴς οὐδόλως θεωρεῖται κατώτερος παρὰ τοῖς ἁρμοδίοις, ἐὰν ὑπερτερῶν («ξεπερνῶν») τοὺς ἀντιπάλους του κατέστρεψε τὸ σχέδιόν του (νὰ καθαρίσῃ τὴν Ἀττικὴν) ἐς τιμάς τ' ἀνόρουσε (νεῖκος) τελειομένου χρόνοιο, ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλαται ὅρκου Ἀπ. Ἐμπεδ. 30 καὶ ἀνῆλθεν εἰς τιμάς, ὅτε ἐπληροῦτο ὁ χρόνος (ἡ προθεσμία), ὅστις ἀμοιβαίως εἰς ἀμφότερα τὰ μέρη ἔχει ὁρισθῇ παρὰ τοῦ εὐρεῖαν ἔκτασιν ἔχοντος ὅρκου (κυρ. ἐλήλαται παρ' ὅρκου). Ἄλλοι ἄλλως ἐξαρτῶσι τὴν γενικήν.

παρέλκω: μὴ κενὰς παρέλκειν Ἀρφ. Εἰρ. 1305 κυρ. ἐνν. τὰς κώπας: «ἀπὸ μεταφ. τῶν ἐρεττόντων μὴ βαπτόντων τὰς κώπας, ἀλλὰ τῷ δοκεῖν κενὰς παραφερόντων· παρακελεύεται δὲ τοῖς ἐπὶ δεῖπνον ἥκουσι γενναίως ἐσθίειν» Σχ. νὰ μὴ ἔχητε μετεώρους τὰς κώπας κινοῦντες αὐτὰς παραπλεύρως τοῦ πλοίου εἰς τὸν ἀέρα, ἀλλὰ νὰ ἐμβάλλητε αὐτὰς εἰς τὸ ὕδωρ. καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν ἔξω φρενῶν Πίνδ. Ὀ. 7, 46 (ἡ λήθη) ἀποσπᾷ (παρασύρει) τὴν ὀρθὴν ὁδὸν τῶν πράξεων ἐκτὸς τῆς ψυχῆς (ὥστε ἡ ψυχὴ οὔτε νὰ ἴδῃ οὔτε νὰ ἀκολουθήσῃ αὐτὴν δύναται): «ἔξω τοῦ ὀρθοῦ καὶ προσήκοντος τίθησι (τοὺς ἀνθρώπους)» Σχ. Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστος (Cobet: πρώτιστον) παρείλκυσεν Ἀρφ. Νεφ. 553 ὁ Εὔπ. πρῶτος πάντων τὸν Μαρικᾶν (διὰ τοῦ βαρβαρικοῦ ὀνόματος δηλοῖ τὸν Ὑπέρβολον) ἔσυρεν οἷον διὰ τῆς βίας (ὡς δοῦλον) ἐπάνω εἰς τὴν σκηνήν, ἤτοι ἐδίδαξεν.

παρεμβλέπω κυττάζω τινὰ ἤ τι πλαγίως· -εἰς κέρας Εὐρ. Ἑλ. 1558 περὶ τοῦ ταύρου, ὅστις ἐμβλέπει πλαγίως πρὸς τὸ κέρας του, ὅταν θέλῃ νὰ προσβάλῃ τινά.

παρεμβολή ἡ: σαφῶς τούτων διωρισμένων, πολλαὶ παρεμβολαὶ λόγων ὑπὸ Δημοσθένους εὑρεθήσονται Αἰσχίν. 1, 166 ἂν καὶ ταῦτα εἶνε καθαρῶς ὡρισμένα, θὰ ἐπινοηθῶσιν ὑπὸ τοῦ Δημοσθένους πολλαὶ παρεμβολαὶ λόγων (ἵνα παρεμβληθεῖσαι ὡς σφῆνες τὰ ἐξαδυνατίσωσι). Στρατιωτικὴ μεταφορὰ κατὰ τὸν Σχ.

παρεμπολάω: εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος γάμους παρεμπολῶντος ἀλλοίους πόσει Εὐρ. Μηδ. 910 ὅπως ἔχει τὸ κείμενον ἑρμηνευτέον ὧδέ πως: διότι εἶνε φυσικὸν τὸ γυναικεῖον φῦλον νὰ ὀργίζηται ἐναντίον συζύγου, ὅταν παρεμπορεύεται ἄλλους γάμους παρὰ τοὺς ὑπάρχοντας. Ἀλλ' ἔπρεπε νὰ λεχθῇ ἢ παρεμπολῶντος -πόσιος ἢ παρεμπολῶντι -πόσει. Πρβ Ἑλ. 57. Ξεν. 2, 4, 24. Κ. Π. 4, 5, 19. Διορθώσεις πολλαί. Ἐγὼ εἶχον εἰκάσῃ ἄλλοτε: παρεμπολῶντι καλλίους, ὁ δὲ Δημ. Βερν. παρατηρῶν, ὅτι τὸ ἑνικὸν πόσει εἶνε ἀνάρμοστον

πρὸς τὸ θῆλυ γένος, διώρθωσε γάμους παρεμπολῶντας ἀλλοίους πόσεις, τῆς κἀτ. πόσεις ἐξαρτωμένης ἐκ τοῦ ὀργὰς ποιεῖσθαι· τῆς δὲ συντάξεως ταύτης παραληφθείσης, διὰ τὸ σπάνιον, προῆλθεν ἐκ διορθώσεως ἡ παραδεδομένη γραφή. Ἄλλοι ἄλλως.

παρενήνεον, ἴδ. παρανέω (παρανηνέω).

παρενήνοθε, ἴδ. ἐνήνοθε.

παρενήνοχα παρκ. τοῦ παραφέρω.

παρενεθεῖν Δωρ. ἀντὶ τοῦ παρελθεῖν.

παρεντείνω: παρενέτεινε πολλαχοῦ τὸν Ἀναξαγόραν Πλουτ. Περ. 8 ὡς μουσικὸν ὄργανον δι' ἐντάσεως τῶν χορδῶν ἐντείνεται (χορδίζεται) ἰσχυρότερον, οὕτω καὶ ὁ Περικλῆς παρεμβάλλων τὰς διδασκαλίας τοῦ Ἀναξαγόρου εἰς τὸν λόγον του ἔδιδεν εἰς αὐτὸν περισσοτέραν δύναμιν καὶ τόνον (Fuhr).

παρεξαυλέω: νοῦς παρεξηυλημένος Ἀρφ. Ἀχ. 681 «διεφθαρμένος καὶ ἀμυδρὸς ὑπὸ γήρως· οἱ γὰρ κατατετριμμένοι αὐλοὶ ἐξηυλῆσθαι λέγονται» Σουΐδας. Ὁμοίως ἐξηγητέον τὸ παρεξηυλημένος τὸν νοῦν.

παρέξειμι: οὔποτε τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι βουλαί Αἰσχ. Πρ. 569 οὐδέποτε τὴν ἁρμονικὴν διακόσμησιν τοῦ Διὸς (τ. ἔ. τοῦ κόσμου τοῦ ὑπὸ τοῦ Διὸς κυβερνωμένου) παρεκβαίνουσιν αἱ βουλαὶ τῶν ἀνθρώπων.

παρεξῄει, ἴδ. παρέξειμι.

παρεξελήλακε, ἴδ. παρεξελαύνω.

παρεξίμεν, ἴδ. παρέξειμι

παρεργάτης ὁ, ὁ εἰς πάρεργα, δευτερεύοντα πράγματα (ἐκτὸς τοῦ κύκλου του) ἐνασχολούμενος. παρεργάτης λόγων Εὐρ. Ἱκ. 426 = παρέργοις (περισσοῖς) λόγοις χρώμενος: ἐν παρέργῳ ἀσκῶν καὶ τὴν ῥητορικὴν (εἰρωνικῶς).

πάρεργον τό, 1) πάρεργον, οὐχὶ κύριον ἔργον, δευτερεῦον, προσθήκη, παράρτημα· 2) τὶ ἐκτὸς κείμενον, ἀσύνηθες, ἀντισήκωμα· πάρεργα τάδ' ἔστ' ἐμῶν κακῶν Εὐρ. Ἡρ. Μ. 1340 ταῦτα κεῖνται ἐκτὸς τῆς κακῆς μου τύχης: δὲν ἀνήκουν εἰς τὴν κακήν μου τύχην τὴν ἀθλίαν ἐμὲ ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης Εὐρ. Ἑλ 931 παρέχουσά μοι τοῦτο (ταύτην τὴν εὔνοιαν) τὸ ἀσύνηθες εἰς τὴν (κακὴν) τύχην μου. πάρεργ' Ὀρέστην κἀμὲ ποιεῖται δόμων Ἠλ. 63 κυρ. ὡς πράγματα μὴ ἀνήκοντα εἰς τὸν οἶκον, ὅθεν = νόθους· πρβ. «πάρεργον, νόθον ὡς μικρόν τι τῶν ἀναγκαίων» Ἡσύχ. «Καὶ σήμερον ἔτι ὁ λαὸς διὰ τοῦ ἰσοδυνάμου Ἰταλογραικικοῦ ὀνόματος παριστᾷ τὴν θέσιν τῶν ἀδίκως παρορωμένων τέκνων» Δ. Βερ. καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων, ὧν εἵνεκ' ἦλθον θυγατρὶ κοσμήσων τάφον Εὐρ. Ὀρ. 610 θὰ μεταχειρισθῶ αὐτὸ ὡς ὡραῖον συμπλήρωμα τῶν πόνων, ὧν ἕνεκα κἑ. τ. ἔ. τὸ κύριον ἔργον, οὗ ἕνεκα ἦλθεν, εἶνε ἡ κόσμησις τάφου τῇ θυγατρί, καλὸν δὲ πάρεργον εἶνε ἡ τιμωρία τῶν φονέων (λεύσιμον δοῦναι δίκην). ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον πάρεργ' ὁδοῦ Ἠλ. 509 «αἰτιατικὴ τροπικὴ ἰσοδυναμοῦσα πρὸς φράσιν ὡς ἐπιρρηματικήν: ὡς ἐν παρόδῳ, ὡς ἐν παρέργῳ, κττ.» Δ. Βερν. ἐν παρέργῳ θοῦ με Σοφ. Φιλ. 473 «οἷον οὐκ ἐν τετιμημένῳ μέρει τῆς νεὼς ἀλλ' ὅποι βούλει» Σχ. μεταχειρίσου με ὡς πάρεργον, ὡς δευτερεῦόν τι πρᾶγμα. ὡς ἐν παρέργῳ τῆς ἐμῆς δυσπραξίας; Εὐρ. Ἰ. Τ. 514 «τὸ ἐν παρέργῳ (=«γιὰ μεζελίκι», hors d'oeuvre) τῆς δυστυχίας μου;» Δ. Βερν. ὃς ἔστιξε δι' ἐρωτηματικοῦ, διότι «ὁ Ὀρέστης φυσικώτατον ἦτο νὰ ἐρεθισθῇ ἐκ τῆς ἰδιοτελοῦς προσπαθείας τῆς Ἰφιγενείας. ., ἀφροντίστου καὶ ἀστόργου πρὸς τὸν ἑστῶτα εἰς τὸ χεῖλος τοῦ τάφου νεανίαν. Ἡ ἐρώτησις εἶνε δηκτικωτάτη χλεύη»

παρέρχομαι: πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν Αἰσχ. Ἱκ. 1015, ἴδ. χλιδή. ἤδη γὰρ καὶ ὅσον οὐ παρεληλύθει τὴν τῶν Ἀθηναίων τοῦ τείχους τελευτὴν ἡ ἐκείνων τείχισις, καὶ εἰ παρέλθοι ταὐτὸν ἤδη ἐποίει αὐτοῖς νικᾶν τε μαχομένοις διὰ παντὸς καὶ μηδὲ μάχεσθαι Θουκ. 7, 6 τότε πλέον ἐπλησίαζε νὰ ξεπεράσῃ τὸ τέλος τοῦ τείχους τὸ τείχισμα ἐκείνων (χωροῦν ἐκ παραλλήλου πρὸς τὸ τεῖχος τῶν Ἀθηναίων), καὶ ἂν ἤθελε ξεπεράσῃ, «τὸ ἴδιο πλέον τοὺς ἔκανε» (τοῖς ἦτο ἀδιάφορον) καὶ νὰ νικῶσι πάντοτε ἐν τῇ μάχῃ καὶ νὰ μὴ μάχωνται κἄν. Μόνον ἡ ἀποπεράτωσις τοῦ τείχους τοῦ περικλείοντος τὴν πόλιν ἠδύνατο νὰ ἐπιφέρῃ τὴν ἅλωσιν τῆς πόλεως. τὰ ἔργα τοὺς λόγους παρέρχεται Δημ. 10, 3 τὰ ἔργα «ξεπερνοῦν», ὑπερνικῶσι, τοὺς λόγους, τοὺς ἀφίνουν ὀπίσω· εἶνε ὡς εἰ ἔλεγε: ὑμεῖς, ὦ Ἀθηναῖοι, ὑστερεῖτε τῶν ἔργων». Παραπλησίως ἐξηγητέον τό: τὸ ψυχρὸν τοὔτ' ὄνομα (δηλ. ὅτι εὖ ποιεῖν βούλεται ὑμᾶς) τὸ ἄχρι κόρου παρελήλυθ' ἐκεῖνος φενακίζων ὑμᾶς 19, 187 τὴν ψυχρὰν ἐκείνην φράσιν (ὅτι θέλει νὰ εἶνε εὐεργέτης ὑμῶν) ἔχει ξεπεράσῃ ἐκεῖνος (ὥστε κανεὶς πλέον δὲν τὴν συλλογίζεται) διὰ τῶν προσφάτων αὐτοῦ φενακισμῶν (περὶ ὧν πάντες νῦν ὁμιλοῦσι). Οἱ νῦν φενακισμοὶ αὐτοῦ εἶνε τοιοῦτοι, ὥστε ἔκαμαν νὰ λησμονηθῶσι τὰ εὐεργετικὰ αὐτοῦ σχέδια. ἴσος γὰρ ὁ μόχθος ἐπ' ἠόνι κύματα μετρεῖν (κύματ' ἀμιθρεῖν Warton)... καὶ φιλοκερδείῃ βεβλαμμένον ἄνδρα παρελθεῖν (παραινεῖν Bergk) Θεόκρ. 16, 63 ἑρμηνεύω: καὶ νὰ περάσῃ τις πλησίον ἀπὸ ἄνθρωπον ἀποτετυφλωμένον ὑπὸ τῆς φιλοκερδείας, ἵνα δηλ. τὸν παρακαλέσῃ νὰ τοῦ δώσῃ βοήθειαν. Ἄλλοι ἄλλως ἢ ἑρμηνεύουσιν ἢ διορθοῦσι. Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν, ὡς βιασόμενος (οὕτως ἔγραψα: καὶ βιασάμενοι) τοὺς πολεμίους Ξεν. Ἀν. 1, 4, 5 μὲ τὸν σκοπὸν νὰ ἐκβιάσῃ τοὺς πολεμίους.

πάρεσαν, ἴδ. πάρειμι.

παρεσκευάδαται, παρεσκευάδατο, ἴδε παρασκευάζω.

παρετέον ῥημ. ἐπίθ. τοῦ παρίημι, «σιωπητέον, παραλειπτέον» Ἡσύχ.

παρευθύνω : πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς, χερσὶν παρευθύνοντες Σοφ. Αἴ. 1069 «ἐκτρέποντες (ἐνν. τοὺς περὶ τὸν Τεῦκρον, τοὺς ἄγοντας τὸν νεκρὸν εἰς ταφήν, ὄχι δὲ τὸν Αἴαντα)· ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν ἀλλὰ παρεκκλινόντων» Νέ. Σχ. Ὁ Nauck ἐννοῶν ὡς ἀντικείμ. τοῦ παρευθύνοντες τὸν Αἴαντα, ὑποπίπτει, ὡς εἰκός, εἰς ἀτόπους σκέψεις.

παρευτρεπίζω : παρευτρεπίζετε τἄνδον μολόντες τοῖς ἐφεστῶσι σφαγῇ Εὐρ. Ἰ. Τ. 725 εὐτρεπίζετε τὰ ἔνδον παρα(βοηθοῦντες) τοῖς ἐφεστῶσι τῇ σφαγῇ (τοῖς ἐπὶ τῆς σφαγῆς). παρηυτρέπισται δὲ (δαλὸς) οὐδὲν ἄλλο πλὴν πυροῦν Κύκλωπος ὄψιν Κύκλ. 594 ἔχει προετοιμασθῇ κάπου ἐκεῖ δὰ (παρ- : παράμερα) ὁ δαυλὸς δι' οὐδὲν ἄλλο, παρὰ διὰ νὰ καύσῃ τὸν ὀφθαλμὸν τοῦ Κύκλωπος.

παρέχω: ἐγὼ δ' εὖ πᾶσι παρέξω θ 39 ἐγὼ δὲ ἀφθόνως (πλουσιοπαρόχως) πᾶσι παρέξω δαῖτα. οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει Ψ 835 διότι βεβαίως οὔτε ὁ ποιμὴν οὔτε ὁ ἀροτὴρ αὐτοῦ στερούμενος σιδήρου θὰ πορεύηται εἰς τὴν πόλιν (ἵν' ἀγοράσῃ σίδηρον), ἀλλὰ (αὐτὸς) θὰ παρέχῃ εἰς αὐτοὺς σίδηρον. τὸ δ' ἀσφαλές, καὶ μένειν, ἤν τι προχωρῇ, καὶ ἀπελθεῖν αἱ νῆες παρέξουσι Θουκ. 6, 18 κυρ. τὴν δὲ ἀσφάλειαν, δηλ. καὶ νὰ μένωμεν, ἂν τὰ πράγματα βαίνωσί πως κατ' εὐχήν, καὶ ν' ἀπέλθωμεν (ἂν τοὐναντίον), αἱ νῆες θὰ παρέχωσι. Δὲν εἶνε χρεία τῆς διορθώσ. τὸ δ' ἀσφαλῶς καὶ μένειν κτλ. ὅποι δίκαν προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει Αἰσχ. Ἀγ. 1512, ἴδ. βιάζω. τί σοι παράσχω δῆτα τῷ τεθνηκότι (=διὰ τὸν τεθνηκότα); Εὐρ. Ἑλ. 1248. ΟΙΔ. ἀλλ' οὐκ ἔρευναν τοῦ κτανόντος ἔσχετε; ΚΡ. παρέσχομεν, πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν Σοφ. Ο. Τ. 566 τ. ἔ. παρέσχομεν (ἐποιησάμεθα) τὴν ὀφειλομένην ἔρευναν. βουλαὶ δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος σὲ ποτὶ πάντα λόγον ἐπαινεῖν παρέχοντι Πινδ. Π. 2, 67 αἱ συνεταὶ συμβουλαί σου παρέχουσί μοι ἀκίνδυνον τὸν λόγον, μὲ ἐξασφαλίζουσιν ἀπέναντι τῆς ὑποψίας τοῦ ψεύδους, ὥστε νὰ δύναμαι νά σε ἐπαινῶ κατὰ πάντα λόγον. τοιαῦτά σοι τῆς μακρᾶς ἀπουσίας πρᾶξαι (ἴσ. πράξας) παρέξω Εὐρ. Ῥῆ. 467 τοιαύτας ὑπηρεσίας θά σοι παράσχω πρὸς ἀποζημίωσιν τῆς μακρᾶς ἀπουσίας μου. δίκαιον εἶναί μ' ὁ νόμος ἡ φύσις θ' ἅμα παρεῖχε τῷ θεῷ Ἴων 643 ὁ νόμος καὶ ἡ φύσις συγχρόνως μὲ ὑπεχρέωναν νὰ εἶμαι δίκαιος πρὸς τὸν θεόν. ἐμαυτόν σοι ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται Πλ. Φαῖδρ. 228 Ε παρέχειν ἐμαυτόν σοι, ὥστε σε ἐν ἐμοὶ μελετᾶν: δὲν εἶμαι πολὺ ἀποφασισμένος νά σοι παρέχω ἐμαυτόν, ὥστε νὰ γυμνάζῃσαι εἰς βάρος μου: νά με μεταχειρίζεσαι ὡς ὄργανον ἀσκήσεώς σου. Τὴν αὐτὴν σημ. ἔχει τὸ κατωτ. ἐγγυμνασόμενος. παρέχειν ἰατρῷ Γοργ. 456 Β = παρέχειν ἑαυτὸν τῷ ἰατρῷ· ὅπερ συχνάκις λέγεται περὶ τοῦ παραδιδόντος ἑαυτὸν (τὸ σῶμά του) εἰς τὸν ἰατρόν, ἵνα τὸν κόψῃ ἢ τὸν καύσῃ ἢ οἱανδήποτε ἄλλην θεραπείαν μεταχειρισθῇ. Ὁ δ' Ἀρφ. ἐν Νεφ. 440 ἀντὶ τοῦ ἑαυτὸν λέγει τὸ σῶμα. πάρεχ' (ἐνν. σεαυτὸν) ἐκποδὼν Ἀρφ. Σφ. 949 φεῦγε (ἔβγα) ἀπ' αὐτοῦ. Διάφορον εἶνε τὸ ἐν Ὄρν. 1720 ἄναγε, δίεχε, πάρεχε, περὶ ὧν ἴδ. παράγω. πρβ. οὐδὲν ἄλλο γ' (ἐνν. ἐποίει) ἢ πτήξας δέμας (=ἑαυτὸν) παρεῖχε Αἰσχ. Πέρ. 212 ἐζάρωσε καὶ ἄφινε τὸν ἑαυτόν του εἰς τὴν διάκρισιν τοῦ κύρκου. Συχνάκις ἐπὶ αἰσχρᾶς σημ. παραδίδομαι («τὸ δίνω»), ὁπότε ἐνν. ἑαυτὸν ἢ ἑαυτήν· πρβ. Ἀρφ. Λυσ. 227: κακῶς παρέξω («συνουσιάσαι αὐτῷ» Σχ.) κοὐχὶ προσκινήσομαι=κακῶς παρέξω ἐμαυτὴν αὐτῷ κοὐχὶ κινήσομαι κἀγὼ πρὸς αὐτῷ κινοῦντί με. Αὐτ. 162: παρέχειν χρὴ κακῶς «συνουσιάζειν δηλ., τ. ἔ. οὐκ ἐκ προαιρέσεως ἀλλ' ἄνευ ἡδονῆς» Σχ. Ἐπὶ τῆς ἐννοίας ταύτης εὕρηται καὶ τὸ διδόναι παρὰ Θεόγν. 1329 καὶ τὸ χαρίζεσθαι. παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθηναίων πολεμίους Ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι καὶ ἐπὶ σφᾶς χωρήσωσι Θουκ. 2, 101 ἔδωκε δὲ ὁ Σιτάλκης ἀφορμὴν σκέψεως ἕως καὶ εἰς τοὺς ἐχθροὺς τῶν Ἀθην. Ἕλληνας, μήπως ὑπ' αὐτῶν (τῶν Ἀθηναίων) ὁδηγούμενοι οἱ περὶ τὸν Σιτάλκην προχωρήσωσι καὶ ἐναντίον αὐτῶν. λόγων δίκαιον μισθὸν ἂν λόγους φέροις, ἔργον δ' ἐκεῖνος ἔργον ὃς παρέσχετο Ἀπ. Εὐρ. 890, ἴδ. μισθός. Ὁμοίως: ἄγειν μὲν τὸν Ἀγόρατον οὐκ ἔφασαν προήσεσθαι, ἀφῃροῦντο δὲ καὶ ἠγγυῶντο καὶ ὡμολόγουν παρέξειν εἰς τὴν βουλὴν Λυσ. 13, 23 ἔλεγον (φανερὰ) ὅτι δὲν θ' ἀφήσωσι ν' ἀπαγάγωσι τὸν Ἀγ. (καὶ φυλακίσωσιν), ἀλλὰ τὸν ἀφῄρουν (παρὰ τῶν ἀγόντων: «τοὺς τὸν ἔπαιρναν») καὶ ἔδιδον ἐγγύησιν καὶ ὡμολόγουν νὰ τὸν φέρουν ἐνώπιον τῆς βουλῆς (εἰς ἀνάκρισιν). παρέχειν τινὰ εἰς τὸν δῆμον, εἰς τὴν βουλήν, εἰς τὸ κοινόν, εἰς κρίσιν, εἰς ἀγοράν λέγεται περὶ τοῦ ὑποδίκου, ὅστις φέρεται (παρουσιάζεται) ἐνώπιον τοῦ δικαστηρίου, ἵνα ἀπολογηθῇ ἀνακρινόμενος, εἴτε ἐνώπιον τοῦ δήμου, εἴτε ἐνώπιον τῆς βουλῆς, εἴτε ἐνώπιον τῶν δικαστῶν γίνεται ἡ δίκη. Ὁμοίως λέγει ὁ Ξεν. Ἑλλ. 7, 4, 38 ὅτι ἡ πόλις ἐγγυῷτο ἦ μὴν παρέξειν εἰς τὸ κοινόν, καὶ Πλάτ. Νόμ. 871 Ε. Ἀλλὰ π. Λυσ. 13, 32 καὶ 55 φέρεται παράγειν εἰς τὸν δῆμον (ὅπερ ἠθέλησαν τινὲς νὰ γράψωσι καὶ ἐν § 23), ὅπερ λέγεται περὶ τῶν πρέσβεων ἢ τῶν μηνυτῶν, οἵτινες παρουσιάζονται ἐνώπιον τοῦ δήμου ἐν τῇ ἐκκλησίᾳ (Cobet). ἡ μὲν πενία ἀνάγκῃ τὴν τόλμαν παρέχουσα Θουκ. 3, 45, ἴδ. ἐξάγω. Συντάσσεται κατὰ τὸ φαινόμενον καὶ πρὸς αἰτ. καὶ

ἀπρφ. Θουκ. 3, 62 καὶ 1, 37 = δίδω τινὶ ἐξουσίαν: ἡ πόλις παρέχει αὐτοὺς δικαστὰς ὧν βλάπτουσί τινα μᾶλλον ἢ κατὰ ξυνθήκας γίγνεσθαι 1, 37 ἡ πόλις καθιστᾷ δυνατὸν (διευκολύνει αὐτοὺς) νὰ γίνωνται αὐτοὶ μᾶλλον δικασταὶ τῶν εἰς ἄλλους διαπραττομένων ἀδικημάτων παρὰ νὰ εἰσέρχωνται εἰς συνθήκας μετ' ἄλλων πόλεων, τ. ἔ. προτιμῶσι νὰ εἶνε αὐθαίρετοι δικασταὶ μᾶλλον παρὰ σύμμαχοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις. Ἀλλὰ κυρίως τὸ αὐτοὺς εἶνε κατηγορ. τοῦ ὑποκ. τοῦ γίγνεσθαι (Κερκυραίους): ἡ πόλις παρέχει (Κερκυραίοις) γίγνεσθαι (ὑποκ. τὸ Κερκυραίους) αὐτοὺς μᾶλλον κτλ. Καὶ ἀπροσ. τὸν αἰνεῖν ἀγαθῷ παρέχει Πινδ. Ἰ. 8, 69 τοῦτον ἐπαινεῖν ἀγαθῷ (ποιητῇ) προσήκει (εὐκαιρία ὑπάρχει) καλῶς γε σωφρονεῖν παρεῖχέ σοι Εὐρ. Ἠλ 1080 «εὐκαίρως παρῆν σοι καλῶς γε σωφρονεῖν» Δ. Βερν. νομίζοντες κἀκεῖνοι μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν Λακεδαιμονίους διαπεφευγέναι Θουκ. 5, 60 νομίζοντες καὶ ἐκεῖνοι, ὅτι οἱ Λακεδαιμόνιοι εἶχον διαφύγῃ εἰς περίστασιν, ἀπὸ τὴν ὁποίαν δὲν ἐμποροῦσε νὰ παρουσιασθῇ εὐνοϊκωτέρα δι' αὐτοὺς (κυρ. ἐν ᾧ δὲν ἐμποροῦσε νὰ παρουσιασθῇ κἑ.). Μέσ. κυρ. = παρέχειν τι ἐκ τῶν ἑαυτοῦ· ὄργανα μὴ ἔχων παρέχεσθαι ὑπὸ πενίας Πλ. Πολ. 421 D, ἴδ. διδάσκω. κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπὶ πλεῖστον ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι Θουκ. 1, 3 ἔθνη δὲ χωριστὰ καὶ ἄλλα καὶ τὸ Πελασγικὸν ἐπὶ μεγίστην ἔκτασιν παρεῖχον τὴν ἰδίαν ἑαυτῶν ἐπωνυμίαν εἰς τὴν χώραν· ὅπου τὸ κατὰ ἔθνη εἶνε ὑποκ. τότε καὶ τὸ εὐπρεπὲς τῆς δίκης παρέσχοντο (= παρέσχον ἐκ τῶν ἰδίων) 1, 39 τότε καὶ τὸ εὐσχημον (τὸ πρόσχημα) τῆς δίκης προεβάλοντο: «ἔβγαλαν 'ς τὴ μέση». ἔστιν ἃ παρεχόμενον τά τ' ἄλλα καὶ ἀπὸ Πλαταιῶν ἀπάξειν Πελοποννησίους 3, 36 ὑποσχόμενόν τινα ἐκτὸς τῶν ἄλλων καὶ ὅτι θὰ ἀπομακρύνῃ τοὺς Πελοπονν. ἀπὸ τῶν Πλαταιῶν. Ἀθηναῖοι ἀρχαιότατον ἔθνος παρεχόμενοι Ἡρ. 7, 161 οἱ Ἀθηναῖοι πολὺ ὑπερηφανεύοντο διὰ τὴν ἀρχαιότητα τῆς ἐν τῇ Ἀττικῇ ἐνοικήσεώς των, ὅτι ἦσαν αὐτόχθονες, καὶ οὐχὶ μετανάσται· πρβ. Θουκ. 2, 36. Εὐριπ. Ἀπ. 360 Ἰσοκρ. 4, 24. κτλ. ὀργῇ πίστιν παρασχομένη ἔπεισεν Θουκ. 6, 17 κατέπεισεν αὐτοὺς διὰ προθυμίας, ἥτις ἐνέπνευσεν ἐμπιστοσύνην. αὐτῶν λόγους μόνον παρασχομένους Θουκ. 6, 12 ἐν ᾧ ἐξ ἑαυτῶν, ἐξ ἰδίων των, λόγους μόνον κατέβαλον. τοῦ φθόνου μὲν τὸν ψόγον ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην Ἀρφ. Θεσμ. 147 τοὺς ἐκ τοῦ φθόνου προερχομένους ψεκτικοὺς λόγους ἤκουσα, ἀλλὰ τὴν ἐξ αὐτῶν λυπηρὰν ἐντύπωσιν δὲν ἄφησα νά με κυριεύσῃ (παρεσχόμην κυρ. = παρέσχον ἐμαυτῷ). Νομικῶς καὶ ἐπὶ μαρτύρων: παρέχομαι μάρτυρας Δημ. 43, 70. 41, 6. Λυσ. Ἰσαῖ. κλ. παρουσιάζω μάρτυρας εἰς τὸ δικαστήριον πρὸς τὸ συμφέρον μου. Καὶ μτφ. ἱκανὸν παρέχομαι τὸν μάρτυρα τὴν πενίαν Πλ. Ἀπολ. 31C ἱκανός ἐστιν ὁ μάρτυς, ὃν παρέχομαι, ἡ πενία. οἱ δὲ λόγοι ἦσαν αὐτοῖς, ὡς αἰσχρὸν εἴη ἄρχειν Ἀθηναῖον Πελοποννησίων καὶ Λακεδαιμόνιον (Madvig: καὶ Λακεδαιμονίων), μηδεμίαν δύναμιν παρεχόμενον εἰς τὴν στρατιάν Ξεν. Ἀν. 6, 2, 10 «τὸ παρεχόμενον (παρεχομένους Hug) ἔχει καλῶς ἀναφερόμενον μόνον εἰς τὸν Λακεδαιμόνιον Χειρίσοφον..., διότι ἡ ὑπ' αὐτὸν ἐλθοῦσα εἰς τὸν Κῦρον δύναμις (700 ὁπλῖται) μηδαμινὴ ἐθεωρεῖτο ὑπὸ τῶν Ἀρκάδων καὶ Ἀχαιῶν... Περὶ τοῦ Ξενοφῶντος, ὅστις οὐδὲ ἕνα στρατιώτην μεθ' ἑαυτοῦ ἤγαγεν ἐκ τῆς Ἑλλάδος, ἦτο περιττὸν νὰ εἴπῃ, ὅτι οὐδεμίαν παρείχετο δύναμιν· εἶπε μόνον ὅτι ἦτο Ἀθηναῖος (ὄνομα μισητὸν τοῖς Πελοποννησ.). Περὶ δὲ τοῦ Χειρισόφου δὲν ἤρκει μόνον τὸ Λακεδαιμόνιος.., εἶπε δὲ ὅτι ἡ μετ' αὐτοῦ δύναμις ἦτο μηδαμινή, καὶ διὰ τοῦτο αἰσχρὸν ἦτο νὰ ἄρχῃ Ἀρκάδων καὶ Ἀχαιῶν, τῶν ἀποτελούντων τὴν κυριωτάτην δύναμιν τοῦ στρατοῦ» Πανταζίδης.

παρεών Ἰων. = παρών.

παρηβάω: παρήβησεν Αἰσχ. Ἀγ. 975, ἴδ. συνεμβολή.

νίσσεται τὰς ἀνδρείους καὶ γυναικείους μίμους τοῦ Σώφρονος, οἵτινες ὀνομάζονται καὶ δράματα (Δημήτρ. π. Ἑρμην. 156)· ὅθεν ἐνταῦθα, ἀφ' οὗ διεπεράνθη τὸ ἀνδρεῖον δρᾶμα, ὀρθὸν εἶνε νὰ περανθῇ καὶ τὸ γυναικεῖον. λέγε, ὠγαθέ, αὐτὸς καὶ πέραινε Πλ. Γοργ. 506C «λέγε τα μόνος σου, βρὲ ἀδελφέ, καὶ τελείωνε». πέραινε τοίνυν ὅ τι λέγεις ἀνύσας ποτέ Ἀρφ. Πλ. 648 τελείωνε μίαν ὥραν πρωτίτερα ὅ τι λέγεις. οὗτος αὐτός ἐστιν ὁ νόμος, οὗ τὸ διαλέγεσθαι περαίνει Πλ. Πολ. 532A οὗ ἡ διαλεκτική ἐστι τὸ πέρας (τὸ τέλος, ἡ τελείωσις). δι' ἐλαίου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν Ἀριστοτ. Ποι. 1449b26, ἴδ. τραγῳδία. χρησμὸς Λοξίου περαίνεται Εὐρ. 1708 βγαίνει, ἐκπληροῦται. ὅρα τὸ χρῆμα· τὰ λόγι' ὡς περαίνεται Ἀρφ. Σφ. 799 κύτταξε τὸ πρᾶγμα (ποῦ συμβαίνει)· πῶς βγαίνουν οἱ χρησμοί. Παθ. τοῖς ἐμπειροτέροις τὰ γιγνόμενα καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν Θουκ. 6, 70 εἰς τοὺς ἐμπειροτέρους τὰ γιγνόμενα αὐτὰ (τὰ φαινόμενα) ἐφαίνοντο ὅτι τελοῦνται μὲ τὸν καιρόν των (κατὰ τὴν ὥραν τοῦ ἔτους). ὅτε οὐδὲν ἔτι περανεῖ παραγενόμενον 6, 86 ὅτε οὐδὲν ἔτι ὠφελήσει παραγενόμενον ὑμῖν (βιαζομένοις ὑπὸ Συρακοσίων). Κατὰ τὴν γνώμην τοῦ ῥήτορος ἡ βοήθεια αὕτη οὐδὲν πλέον θὰ ὠφελήσῃ, ὅτε ἡ Σικελία θὰ εἶνε ὑποτεταγμένη ὑπὸ τῶν Συρακοσίων. σέβας δι' ὤτων φρενός τε δαμίας περαῖνον Αἰσχ. Χο. 25, ἴδ. οὓς ἀποδόντες τὰ τρία τάλαντα περαίνετε (ἐνν. τὴν δίκην) Δημ. 38, 24. περαίνει πρὸς ἔσχατον πλόον Πίνδ. Π. 10, 28 (τὸ βρ. ἔθνος) φθάνει ἕως εἰς τὸ ἔσχατον σημεῖον τοῦ πλοῦ (οἷον τὰς στήλας τοῦ Ἡρακλέους). ἓν οἶδα, τέκνον, ὅτι περαίνει Λουκ. Δημών. 15 ὅπου γίνεται λογοπαίγνιον διὰ τοῦ περαίνει, ἐννοουμένου ὡς: ὁ συλλογισμὸς περαίνει καὶ ὡς: (σὺ) περαίνει (=περαίνῃ), τ. ἔ. περαίνεσαι. εἰς δ' ἀνάστασιν δόμων περαίνει πολλάκις τὰ τοιάδε Ἀπ. Εὐρ. 340 τὰ τοιαῦτα καταλήγουσι (καταντῶσι) πολλάκις εἰς ἀναστάτωσιν τοῦ οἴκου.

περαιόω (παρὰ τὸ πέρα, περαῖος) ὁμαλόν Ὅμ. μόνον ω 437. Μέλλ. ἐνεστ. παθ. περαιώσομαι Θουκ. 1,10 ἐπεραιώθην (ἀνθ' οὗ διαπεραιώσασθαι πελάγη [Πλ.] Ἀξιόχ. 370B) μ. συντελ. περαιωθήσομαι Ἀρφ. Βάτρ. 138.

περαιτέρω (ἴδ. πέρᾱ): ὡς δέδοικα μὴ περαιτέρω πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων Σοφ. Τρ. 663 πόσον φοβοῦμαι νὰ μὴ ἔχω προχωρήσῃ πλέον τοῦ δέοντος εἰς ὅλα, ὅσα πρὸ ὀλίγου ἔπραττον. αὕτη ἐστὶν ἡ ποιοῦσα τουτονὶ περαιτέρω (ἐνν. τοῦ δέοντος) μαίνεσθαι Δημ. 48, 53.

περαΐτης ὁ Σχολ. Ἀρφ. Ὄρν. 823, ἴδ. καπνός.

πέραν· τὸ μὲν πέραν κυριολεκτικῶς (=trans), πέραν ποταμοῦ, πέραν θαλάσσης· τὸ δὲ πέρα (-ᾳ) μεταφορικῶς, πέρα τοῦ δέοντος, πέρα τοῦ μέτρου κττ.

πέρας -ατος τό: πέρας λέγεται τὸ ἔσχατον ἑκάστου, καὶ οὗ ἔξω μηδὲν ἔστι λαβεῖν πρώτου, καὶ οὗ ἔσω πάντα πρώτου Ἀριστοτ. Μετὰ τὰ φυσ. 4, 17 (1022a 17) πέρας (ὅριον) λέγεται τὸ ἔσχατον ἑκάστου πράγματος, καὶ τοῦτο, ἐκτὸς (ἔξω) τοῦ ὁποίου τίποτε δὲν δύναταί τις νὰ εὕρῃ ἐκ τοῦ πρώτου (τοῦ προειρημένου πράγματος), καὶ (τοῦτο) ἐντὸς τοῦ ὁποίου δύναταί τις νὰ εὕρῃ πάντα ἐκ τοῦ πρώτου (τοῦ προειρημένου πράγματος). πέρας ἔχω συνών. τῷ τέλος ἔλαβον Ἰσοκ. 4, 5, οὗ τὸ χωρίον ἔχει ὧδε: τότε γὰρ χρὴ παύεσθαι λέγοντας, ὅταν ἢ τὰ πράγματα λάβῃ τέλος καὶ μηκέτι δέῃ βουλεύεσθαι περὶ αὐτῶν, ἢ τὸν λόγον ἴδῃ τις ἔχοντα πέρας, ὥστε μηδεμίαν λελεῖφθαι τοῖς ἄλλοις ὑπερβολήν ἢ ὅταν τις ἴδῃ τὸν λόγον ἔχοντα πέρας, τ. ἔ. ὅταν τις ἴδῃ ὅτι δὲν ἔχει πλέον νὰ εἴπῃ τι περισσότερον: ὅτι τὰ εἶπε τόσον καλά, ὥστε νὰ μὴ ἐμπορῇ κανεὶς νὰ τὰ εἴπῃ καλλίτερα. πρβ. 5, 141. ἐκεῖνοι τελευτήσαντες τὸν βίον πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας Λυσ. 12, 88 δὲν δύνανται πλέον νὰ ἐκδικηθῶσι τοὺς ἐχθρούς των. Ἄλλοι: ἔχουσι δοκιμάσῃ τὸ ἀνώτατον μέτρον τῆς παρὰ τῶν ἐχθρῶν των ἐκδικήσεως = τὰ ἔσχατα (τὸν θάνατον) πεπόνθασι παρὰ τῶν ἐχθρῶν. πέρας ἔχοντες τῶν ἐν τῇ πόλει δικαίων ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον; Δειν. 3, 16 ἐν ᾧ ἔχετε εἰς χεῖράς σας τὸν τελευταῖον βαθμὸν τῆς ἐν τῇ πόλει δικαιοδοσίας (δηλ. δὲν δύναται πλέον νὰ γίνῃ ἔφεσις εἰς ἄλλο δικαστήριον), θ' ἀφήσετε ἀτιμώρητον τὸν δωροδόκον; πέρας λέγεται καὶ τὸ ἔσχατον ἑκάστου πράγματος, τὸ ἀνώτατον ὅριον, εἰς ὃ δύναταί τις νὰ φθάσῃ, οὗ πέραν δὲν δύναταί τις νὰ προχωρήσῃ. Ὅθεν παρὰ τοῖς κωμ. τὸ πέρας τῆς τέχνης: τὸ πέρας τῆς μαγειρικῆς . . εὑρηκέναι νόμιζε μόνον ἐμέ Ἀπ. Ἡγησίπ. 1.

περάω (πρβ. πέρᾳ, πέραν). Ἁπλοῦν μόνον παρὰ Ξενοφ. ἐκ τῶν Ἀττ., ἀλλὰ διαπεράω καὶ παρ' ἄλλοις· -άσω (-ήσω ἀρχ. καὶ νέ. Ἰων.). ἐπέρᾱσα ποιητ. καὶ μτγν. πεζ. διεπέρᾱσα Πλ. Σοφ. 261 A. Τίμ. 85 E (ἐπέρησα Ε 291 κἀλλ.). πεπέρακα. Πρβ. πέρνημι. τέλος δωδεκάμηνον περᾶσαι Πινδ. Ν. 11, 10 = διελθεῖν τὸν 12μηνον χρόνον τῆς ἀρχῆς, τοῦ κυβερνητικοῦ ὑπουργήματος (πρβ. οἱ ἐν τέλει). ὅρκον περῶντας μηδὲν Αἰσχ. Εὐμ. 492 μηδὲν τῶν ὅρκων παραβαίνοντας. περῶντι λουτρὰ τἀπὶ τέρματι (οὕτως ἔγραψα: κἀπὶ τέρματι) φᾶρος παρεσκήνωσεν Εὐμ. 636 ἐν ᾧ ἐξήρχετο ἀπὸ τὰ τελευταῖα λουτρὰ (τ. ἔ. τὸ τελευταῖον ὕδωρ, τὸ ἐπιχυνόμενον τοῖς λουομένοις πρὸς τέλειον καθαρισμόν) περιέβαλεν αὐτὸν μὲ εὐρύχωρον φᾶρος· πρβ. περέβαλον Ἀγ. 1144. πόλεις βαρβάρους περῶντες κεινᾷ δόξᾳ Εὐρ. Ἰ. Τ. 418· ἴδ. ὄλβος. ὡς δ' ὁπότ' ὠκὺ νόημα διὰ στέρνοιο περήσῃ ἀνέρος, ὄντε θαμειαὶ

ἐπιστρωφῶσι μέριμναι Ὕμν. Ἑρμ. 43 ὡς δ' ὁπόταν ταχὺ νόημα διελθῃ διὰ στήθους ἀνδρός, ἐφ' ὃν ἐπέρχονται συχναὶ μέριμναι. ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεώς, μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν ξυνῆψε πόλεμον Εὐρ. Ῥῆσ. 426 γειτονικὴ μοι χώρα, Σκυθικὸς λαός, συνῆψε πόλεμον πρὸς ἐμέ, ἐν ᾧ ἔμελλον νὰ περάσω τὴν πρὸς Ἴλιον ὁδόν. Ἁπλούστερον ἐν πεζῷ λόγῳ: γείτονες Σκύθαι μέλλοντί μοι τὴν ἐπ' Ἴλιον τρέπεσθαι ὁδὸν πόλεμον ξυνῆψαν. ὃς ἤδη δωμάτων ἔξω περᾷ Σοφ. Ο. Τ. 531 = ἐξέρχεται ἐκ τῆς οἰκίας. ὅταν θυμοῦ περάσῃς 674, ἴδ. βαρύς. εὐδαίμων, Κροῖσε, περάσεις Ξεν Κ. Π. 7, 2, 20 θὰ περάσῃς εὐτυχῶς («εὐτυχισμένα»). περᾷς γάρ, περᾷς Σοφ. Ο. Κ. 155 διότι προχωρεῖς, προχωρεῖς (πλέον τοῦ δέοντος).

πέρθω ἐπ. ποιητ. (μόνον Πλ. ἐκπέρσῃ Πρωτ. 340Α). πέρσω, ἔπερσα (καὶ πέρσα ἐπ.). ἀόρ. β' ἔπραθον Ὅμ. Πίνδ. Ἀόρ. ἀπρφ. πέρθαι (ἐκ τοῦ πέρθσθαι) Π 708. οἰκτρὸν πόλιν Ὠγυγίαν Ἀίδᾳ προϊάψαι . . ψαφαρᾷ σποδῷ ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν περθομέναν ἀτίμως. Αἰσχ. Ἑπτ. 310 ἐρημουμένην ἀδόξως τῇ βουλήσει τῶν θεῶν ὑπ' ἀνδρὸς Ἀχ. δι' εὐθρύπτου σποδοῦ (δηλ. διὰ φλογῶν, αἵτινες θ' ἀποτεφρώσωσι τὴν πόλιν).

περί (Αἰολ. πέρ) σημ. κυρ. τὸ πέριξ, κύκλῳ· 1) Μετὰ γεν. τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα ε 130 ἐν ᾧ ἦτο «καβάλλα 'ς τὴν καρίνα ἐπάνω», ὡς ἱππεὺς ἐπάνω εἰς τὸν ἵππον. Ἐν δὲ τῷ κάλοι δέ σ' ἆγον ὤκεες στροῦθοι περὶ γᾶς Ἀπ. Σαπφ. 1, 10 ἡ περί κεῖται ἀντὶ τῆς ὑπέρ, τ. ἔ. καλοὶ δὲ ταχεῖς στρουθοὶ ἦγόν σε ὑπὲρ γῆς. Σημαίνει καὶ τὴν αἰτίαν, ἀφορμήν, κττ. εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι κάλλιστον ἀδικεῖν Εὐρ. Φοίν. 525 τ. ἔ. προκειμένου περὶ τυραννίδος, ἵνα κατέχῃ τις τὴν τυραννίδα, κάλλιστόν ἐστιν ἀδικεῖν. Κατὰ τὸ χωρίον τοῦτο ἐξηγητέον, ὡς νομίζω, καὶ τὸ Ἀπ. Εὐρ. 850 ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι περὶ ἧς (τυραννίδος) προκειμένου πρέπει νὰ προφυλαχθῶμεν. Ὁ Valcken. ἤκασεν: οὓς (ὅ σε Gomperz) φυλακτέον, πάτερ. περὶ πότου γοῦν ἔστι σοι; Ἀρφ. Ἱππ. 87 περὶ πότου γοῦν πρόκειταί σοι; Πολλάκις δὲ σημ. τὸ ὅσον ἀφορᾷ—, τὸ ὡς πρὸς—: περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ γιγνόμενα ἤκαζον ὁμοῖα (ἐνν. τῷ χρηστηρίῳ, κατὰ Classen: τοῖς εἰρημένοις) εἶναι Θουκ. 2, 54 ὅσον μὲν λοιπὸν διὰ τὸν χρησμόν, ἤκαζον, ὅτι ὅσα ἐγίνοντο ἦσαν σύμφωνα μὲ αὐτόν. Τίθεται εἰς δήλωσιν τῆς ἐκτιμήσεως, τῆς ὑπεροχῆς, προτιμήσεως κττ. περὶ πάντων ἔμμεναι ἄλλων Α 287 νὰ εἶνε ὑπὲρ πάντας τοὺς ἄλλους: νὰ ἐξέχῃ πάντων τῶν ἄλλων (πέριξ αὐτῶν ὤν). Ἐνταῦθα ἀνάγονται αἱ παρ' Ἡροδότῳ καὶ Ἀττικοῖς συχνόταται φράσεις: περὶ πολλοῦ, περὶ πλείονος, περὶ πλείστου, περὶ ὀλίγου, περὶ ἐλάττονος, περὶ ἐλαχίστου, περὶ οὐδενὸς ποιοῦμαι ἢ ἡγοῦμαι τι ἐκτιμῶ τι περισσότερον ἢ ὀλιγώτερον, Ξεν. Ἀπ. 1, 1, 18. πρβ. Πλάτ. Λύσ. 219 D καὶ Ε. 2) Μετὰ δοτ. τοπικῶς σημ. ἐπίσης τὸ πέριξ, κύκλῳ, ἐπὶ στάσεως· Ξεν. Κ. Π. 1, 2, 13. Β 416. Ἡρ. 7, 61. Τροπικῶς: ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν ρ 471 μαχόμενος περὶ τῶν κτημάτων του, ἐν ᾧ τρόπον τινὰ ἵσταται πέριξ αὐτῶν, ὑπερασπίζων αὐτά. δεδιότες περὶ τῷ χωρίῳ Θουκ. 1, 60 φοβούμενοι περὶ τοῦ χωρίου. Ἀλλ' ἡ περί μετὰ δοτ. ὑποδεικνύει τὴν διαρκῆ αὐτῶν περὶ τοῦ χωρίου μέριμναν, οἷον πέριξ αὐτοῦ νοερῶς εὑρισκομένων. περὶ πλέγματι γαθεῖ Θεόκρ. 1, 54 ὅπερ χαίρει βλέπων, οἷον πέριξ αὐτοῦ ἱστάμενος· πλήν γε περὶ τῷ δέρματι δέδοικα τουτονὶ τὸν οἰωνόν Ἀρφ. Ἱππ. 28 μόνον διὰ τὸ δέρμα μου μὲ κάμνει νὰ φοβοῦμαι ὁ οἰωνὸς οὗτος. Ὅπου διὰ τοῦ δέρμα αἰνίττεται τοὺς ῥαβδισμοὺς τοὺς καταξεσχίζοντας τὸ δέρμα, ἀλλὰ δέρμα σημ. καὶ τὴν ἀκροποσθίαν. δρεπόμην (ἄνθεα) περὶ χάρματι Ὕμν. Δήμ. 429 ἀπὸ τὴν χαράν μου. μυχόθεν ἔλακε περὶ φόβῳ Αἰσχ. Χο. 35 ἀπὸ τὸν φόβον του (κυρ. περικυκλωμένος ἀπὸ φόβον) ἐπέταξε δυνατὴν φωνὴν ἐκ τοῦ ἐσωτερικοῦ τῆς οἰκίας. Ὁμοίως περὶ τάρβει Αἰσχ. Πέρ. 698. περὶ δείματι Πίνδ. Π. 5, 58 ἀπὸ τὸν φόβον του. περὶ σθένεϊ βλεμεαίνει Ρ 22 ἐπαίρεται ἐπὶ τῇ δυνάμει του (ἥτις τρόπον τινὰ περιβάλλεται ὑπὸ τῆς ἐπάρσεως). Κατ' ἄλλους ἡ περί σημ. τὸ περισσῶς, ὑπερμέτρως. Ὁπωσδήποτε ἡ φράσις εἶνε ἐντονωτέρα τῆς ἁπλουστέρας σθένεϊ βλεμεαίνει. ἀρρωδίη μὴ περὶ Μαρδονίῳ πταίσῃ ἡ Ἑλλάς Ἡρ. 9, 101 τ. ἔ μήπως ὁ Μαρδ. εἶνε ὁ σκόπελος, περὶ ὃν προσκόψασα ναυαγήσῃ ἡ Ἑλλάς. τὸν βάρβαρον αὐτὸν περὶ αὑτῷ τὰ πλείω σφαλέντα Θουκ. 1, 69, ἴδ. σφάλλω. ὅρα μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς Πλ. Πρωτ. 314 Α ὅπου ἡ περί μετὰ δοτ. ἐκφράζει τὴν στοργὴν τοῦ κινδυνεύοντος, ὅστις τρόπον τινὰ ἵσταται πέριξ τῶν φιλτάτων αὐτοῦ, προστατεύων αὐτά. 3) Μετ' αἰτιατ. ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω δύναμαι τέμενος γνῶναι ποῦ μοί ποτε ναίει Σοφ. Ο. Κ. 135 τὸν ὁποῖον ἐγὼ κυτάζων νὰ ἴδω γύρῳ εἰς ὅλον τὸ τέμενος, δὲν δύναμαι ἀκόμη νὰ ἐξιχνιάσω ποῦ ἆρά γε νά μου εἶνε. πολλὰ τῆς Ἑλλάδος τῷ παλαιῷ τρόπῳ νέμεται περί τε Λοκροὺς τοὺς Ὀζόλας καὶ Αἰτωλοὺς καὶ Ἀκαρνᾶνας Θουκ. 1, 5 πολλὰ μέρη τῆς Ἑλλ. διαιτῶνται κατὰ τὸν παλαιὸν τρόπον καὶ ἐν τῇ χώρᾳ (ἤ, ὅπως σήμερον: καὶ ἐν τῇ περιφερείᾳ) τῶν Λοκρῶν τῶν Ὀζολῶν καὶ τῶν Αἰτωλῶν κέ. Πρβ. Πλ. Νόμ. 707Β. Ἀλλὰ τῇ τοιαύτῃ χρήσει τῆς περὶ φιλήδουσι μάλιστα οἱ μτγν

περιαγγέλλω: περιαγγέλλουσι βοηθεῖν Θουκ. 1, 116 ἀναγγέλλουσι πέριξ νὰ στέλλωσι βοήθειαν.

περιαγείρω: ἵνα καὶ ὑμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς, αὐτοῦ τε μένοντες ἐνθάδε καί, ἐπειδὰν τὰ ἆθλα

αὐτῆς (τῆς δικαιοσύνης) κομιζώμεθα, ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι, καὶ ἐνθάδε καὶ ἐν τῇ χιλιετεῖ πορείᾳ, ἣν διελυλήθαμεν, εὖ πράττωμεν Πλ. Πολ. 621D «περιαγειρόμενοι νικηφόροι: οἱ νικήσαντες ἐν δημοσίῳ ἀγῶνι καὶ δῶρα παρὰ τῶν οἰκείων λαμβάνοντες καὶ περιϊόντες»· πρβ. ἀγείρω, ἐπαγείρω, ἐξ οὗ τὸ ἐπαγερμός· «ἀγύρτης:.. τὸ δὲ ἀγείρειν καὶ περιαγείρειν τὸ περιϊέναι καὶ περινοστεῖν, ἐπὶ νίκῃ ἤ τινι ἑτέρῳ σεμνύνειν(;)» Ἀ. Β. 331. Τὸ μέσ. περιαγειρόμενοι σημ. κυρ. τῷ περιιέναι (περιιόντες) ἀγείροντες ἡμῖν ἑαυτοῖς, ὡς καὶ σήμερον γίνεται πολλαχοῦ τοῦτο (ἴδ. ἀγείρω). Τὸ χωρίον ἑρμηνευτέον ὧδε: ἵνα ὦμεν καὶ ἡμῖν αὐτοῖς φίλοι καὶ τοῖς θεοῖς, καὶ ὅτε μένομεν ἐνθάδε αὐτοῦ καί, ἐπειδὰν τὰ ἆθλα αὐτῆς φερώμεθα, ἀγείροντες ἡμῖν αὐτοῖς αὐτὰ τῷ περιιέναι ὥσπερ οἱ νικηφόροι, καὶ (ἵνα οὕτως) ἐνθάδε καὶ ἐν τῇ χιλ. πορείᾳ.. εὖ πράττωμεν. Τὸ ἀντιστοιχοῦν πρὸς τὸ ἐνθάδε αὐτοῦ (ἐν τῷ παρόντι βίῳ), οἷον ἂν εἴποι τις τὸ «ἐν τῷ μέλλοντι βίῳ», ἐκφέρει ὁ Πλάτων ὄχι διὰ μιᾶς λέξεως, ἀλλὰ διὰ τοῦ ἐπειδάν.. περιαγειρόμενοι.

περιάγω: οὔ μοι δοκεῖς εἰδέναι, ὅτι, ὃς ἂν πλησιάζῃ διαλεγόμενος (Σωκράτει), ἀνάγκη αὐτῷ... μὴ παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ, πρὶν ἂν ἐμπέσῃ εἰς τὸ διδόναι περὶ αὐτοῦ λόγον Πλ. Λάχ. 187Ε μοὶ φαίνεσαι ὅτι δὲν εἰξεύρεις, ὅτι, ὅστις εἰσέρχεται εἰς ὁμιλίαν μὲ τὸν Σωκράτην, ἀναγκάζεται νὰ ἐξακολουθῇ νὰ περιάγηται διὰ τοῦ λόγου ὑπὸ τοῦ Σωκρ. (ἐπὶ τόσον χρόνον), ἕως ὅτου εἰσέλθῃ εἰς τὸν περὶ ἑαυτοῦ λόγον. Τὸ περιάγειν δηλοῖ, ὅτι ὁ Σωκράτης τὸν γυρίζει, τὸν γυρίζει μὲ τὸν λόγον ἐπὶ τόσον χρόνον, ἕως ὅτου κτλ. ὅπου δηλοῦται ἅμα καὶ ἡ περὶ τὸν χειρισμὸν τοῦ λόγου δεξιότης τοῦ Σωκράτους· ἴδ. λόγος. περιαγαγὼν τὴν ἐσχατιάν Δημ. 42, 5 περιελθὼν τὴν ἐσχατιάν· ἀλλὰ δυνατὸν νὰ ἐννοῇ καί: ἀγαγὼν τοὺς φίλους περὶ τὴν ἐσχατιάν. Τὸ μέσον περιάγομαί τινα δηλοῖ, ὅτι περιάγω τινὰ μετ' ἐμαυτοῦ (πρὸς ὠφέλειαν καὶ χρείαν ἐμαυτοῦ), ὡς ὁ τύραννος περιάγεται τοὺς δορυφόρους, οἱ αὐληταὶ ἀκολούθους πολλοὺς περιάγονται Ξεν. Ἀπ. 1, 7, 2. Ὅθεν ὁ Cobet καὶ ἐν Κ. Π. 2, 2, 28 ἔγρ. καὶ σὺ κατὰ τὸν Ἑλληνικὸν τρόπον, ὅτι καλόν ἐστι, περιάγει (τ. ἔ. περιάγῃ, ἀντὶ τοῦ περιάγεις) τοῦτο τὸ μειράκιον. Ὁμοίως ἐν Δημ. 36, 45. Ὀρθῶς δὲ λέγεται ἐν Ξεν. Κ. Π. 1, 3, 3 ὅτι ὁ Ἀστυάγης τὸν Κῦρον ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, διότι ἡ περιαγωγὴ αὕτη ἐγίνετο ὄχι πρὸς χρείαν ἢ ὠφέλειάν τινα τοῦ Ἀστυάγους, ἀλλὰ πρὸς χάριν τοῦ Κύρου.

περιαγωγή ἡ: τούτου αὐτοῦ τέχνη ἂν εἴη τῆς περιαγωγῆς..., οὐ τοῦ ἐμποιῆσαι αὐτῷ τὸ ὁρᾶν, ἀλλά... διαμηχανήσασθαι Πλ. Πολ. 518D τ. ἔ. (ἡ παιδεία) εἴη ἂν τέχνη τῆς περιαγωγῆς (= τοῦ περιάγειν) αὐτοῦ τούτου (δηλ. τοῦ ὀργάνου τῆς ψυχῆς, ᾧ καταμανθάνει ἕκαστος) —, οὐ (τέχνη) τοῦ ἐμποιῆσαι αὐτῷ τὸ ὁρᾶν, ἀλλὰ (τέχνη) τοῦ διαμηχανήσασθαι τοῦτο (δηλ. τὸ βλέπειν οὗ δεῖ).

περιαιρέω: αὐτοῦ τὰ κοινὰ πάντα περιελόντες Πλ. Σοφ. 264Ε ἀφ' οὗ ἀφαιρέσωμεν ἀπ' αὐτοῦ πάντα τὰ πρὸς ἄλλους κοινά. περιελῶ σ' ἀλαζονείας Ἀρφ. Ἱππ. 290 «ἀποδύσω σε καὶ παύσω τῶν ἀλαζονευμάτων» Σχ. τῶν βιβλίων ἓν ἕκαστον περιαιρεόμενος Ἡρ. 3, 128 ἀφαιρῶν ἀφ' ἑνὸς ἑκάστου τῶν βιβλίων (τῶν ἐπιστολῶν) τὸν περιδεδεμένον καὶ ἐσφραγισμένον δεσμόν. τὸν Πειραιᾶ περιεῖλον Λυσ. 12, 40 = τὰ τείχη τοῦ Πειραιῶς περιεῖλον. τοῦ ἄλλου περιῃρημένου Θουκ. 3, 11 = τῶν ἄλλων πέριξ δεδουλωμένων. περιαιρεθεὶς τὰ ὄντα Δημ. 21, 138 ἀπογυμνωθεὶς (οἷον ἱμάτιον) τὴν περιουσίαν.

περιαλγέω: ἐρωτικῶς περιαλγήσας Θουκ. 6, 54 «περιπαθὴς γεγονὼς ἐπὶ τῷ ἔρωτι» Σχ.

περιβαίνω: τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς ἕρποντι μᾶλλον ἆσσον Σοφ. Ἀντ. 1209 ὅσῳ περισσότερον ἐπλησίαζε, τόσῳ μᾶλλον εὐδιάκριτος περιήχει τὰ ὦτά του ὁ ἦχος τῆς ἀθλίας φωνῆς τοῦ Αἵμονος. Κατὰ ταῦτα γρ. εὔσημα. κακόν τι περιβαίνει με Ἀρφ. Σφ. 974 κακόν τι (συγκίνησίς τις) μὲ καταλαμβάνει πανταχόθεν.

περιβάλλω· ἡ σύνταξις: μετ' αἰτ. πράγμ. περίβαλε χέρας Ἀρφ. Θεσ. 914. Μετ' αἰτ. προσ. ἰδόντες περιβεβληκότας ἀλλήλους Ξεν. Συμπ. 9, 7 ὅτι εἶχαν ἀγκαλιασθῆ: εἶχαν ἀγκαλιάσῃ ὁ ἕνας τὸν ἄλλον. ἤδη με περιβάλλει σκότος. Σοφ. Φιλ. 1467 μὲ περικαλύπτει σκότος. Μετ' αἰτ. καὶ δοτ. περιβαλὼν τὼ χεῖρε τούτῳ τῷ δαιμονίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ Πλ. Συμπ. 219 Β ἀφ' οὗ περιέβαλον μὲ τὰς χεῖράς μου τὸν ἀληθῶς δαιμόνιον καὶ θαυμαστὸν τοῦτον ἄνδρα. Καὶ τἀνάπαλιν: ἐκπεπληγμένος ὅμως σ' ἀπίστῳ περιβαλὼν βραχίονι εἰς τέρψιν εἶμι Εὐρ. Ἰ. Τ. 795 «καίπερ ἐκπεπληγμένος ὅμως σ' ἀπειθεῖ περιβαλὼν βραχίονι ἀπολαύσω τῆς τέρψεως. Ταῦτα λέγων ἐναγκαλίζεται ὁ Ὀρέστης τὴν Ἰφιγένειαν. Ὁ δὲ βραχίων ἀπειθὴς εἰς πάντα ἄλλον λογισμὸν ἀκολουθεῖ τὴν ὁρμὴν τῆς καρδίας» Δ. Βερν. ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις ξ 528 ἔβαλε περὶ τοὺς στιβαρούς του ὤμους. τάφρον περιεβάλοντο Ξεν. Κ. Π. 3, 3, 26 ἔσκαψαν περὶ ἑαυτοὺς (περὶ τὸ στρατόπεδόν των) τάφρον. Καὶ παθητ. πολὺς τόπος περιβεβλημένος (ἐνν. τῷ μνήματι) Δημ. 43, 79 πολὺς τόπος περιπεφραγμένος, ἐγκεκλεισμένος διὰ περιβόλου. Ὁμοίως Ἡρ. 2, 91. Παρομοία χρῆσις εἶνε καὶ ἅπαντα περιεβάλοντο τὸν τόπον Ἰσοκρ. 4, 36 κυρ. περιέβαλον ἑαυτοῖς ἅπ. τὸν τόπον, ὅθεν: ἐκράτησαν ἅπαντος τοῦ τόπου. Ὁμοίως Ἡρ. 6, 24. Ἡ μεταφορὰ φαίνεται κάλλιον ἐν Ἰσοκρ. 4, 184 οὐκ (εἰκὸς φθονεῖν) τοῖς μείζους μὲν τὰς δυναστείας ἢ κατ' ἀνθρώπους περιβεβλημένοις: «οὐχ ἁ-

πλῶς κεκτημένοις, ἀλλ' ὡς ἐσθῆτα ἠμφιεσμένοις τὴν δυναστείαν καὶ πανταχόθεν ὑπ' αὐτῆς σκεπομένοις» Κοραῆς. Ἴδε καὶ κατωτ. πλοκάμους περιβαλλομένα Εὐρ. Ἰ. Τ. 1150, ἴδ. συσκιάζω. Ἀλλὰ καὶ περιβαλέσθαι τεῖχος τὴν πόλιν Ἡρ. 1, 163. πρβ. 1, 147. 7, 191= Ἀττ. τεῖχος περιβαλ. τῇ πόλει. καιιδὼν δέ τινα λόφον ὁ Ἀρχίδαμος, δι' οὗ τὸ ἔξω σταύρωμα περιεβέβληντο (=περιεβεβλήκεσαν ἑαυτοῖς) οἱ Ἀρκάδες κέ. Ξεν. Ἑλλ. 7, 4, 22 τὸ μὲν ἔσω σταύρωμα περιέβαλλεν ἐκ τοῦ πλησίον τὴν πόλιν, τὸ δὲ ἔξω σταύρωμα, θὰ ἔφθανε πλησίον τῆς κορυφῆς τοῦ λόφου, ὃν ἤθελε νὰ καταλάβῃ ὁ Ἀρχίδαμος, ἢ θὰ προεχώρει καὶ πέραν τῆς κορυφῆς· ἂν δὲ ἤθελε κυριεύσῃ τοῦτον τὸν λόφον ὁ Ἀρχίδαμος, οἱ μεταξὺ τῶν σταυρωμάτων Ἀρκάδες δὲν θὰ ἠδύναντο νὰ μένωσιν ὑπὸ τοῦτον (τὸν λόφον) καὶ πολιορκῶσι τὴν πόλιν. — Μετὰ δοτ. πράγ. καὶ αἰτ. προσ. βρόχῳ περὶ ὧν ἔβαλε τὸν αὐχένα Ἡρ. 4, 60 = περιέβαλεν οὖν τὸν αὐχένα βρόχῳ. πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι Εὐρ. Ὀρ. 25 περιβαλοῦσα τὸν πόσιν ὑφάσματι οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔκδυσιν ἔχοντι (κυρ. οὐκ ἔχοντι πέρας, ἀτέρμονι). πρβ. Αἰσχ. Ἀγ. 1381. Καὶ ἠθικῶς: περιβάλλειν τινὰ συμφοραῖς (Ἰσοκ. 4, 127), κακοῖς (Εὐρ. Ὀρ. 905 κἀλλ.), ὀνείδεσι, πένθει (Δημ. Λυσ. κλ.) καθόλου σημ. ἐμβάλλειν τινὰ συμφοραῖς κέ., μετὰ τῆς διαφορᾶς ὅτι ἐν τοῖς προκειμένοις πρβγ. τὸ συμφοραῖς, κακοῖς, ὀνείδεσι φαντάζεταί τις ὡς περιβόλαιόν τι. Καὶ τἀνάπαλιν καθ' ὁμοίαν μτφ. μετὰ δοτ. προσ. καὶ αἰτ. πράγ. μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν Εὐρ. Ὀρ. 1031 μὴ ἐμβάλῃς μοι ἀνανδρίαν. ἀλλὰ καὶ τόδ' ἄθλιον, πενίᾳ ξὺν οἰκτρᾷ περιβαλεῖν (ἐνν. αὐτοῖς) σωτηρίαν Ἡρ. Μ. 304 ἀλλὰ καὶ τοῦτο εἶνε ἐλεεινόν, δηλ. νὰ παρασκευάσῃ τις εἰς αὐτὰ (τὰ τέκνα) σωτηρίαν συνοδευομένην μὲ ἀξιοθρήνητον πενίαν.Φοίν. 189. περιεβάλοντο γάρ οἱ (περέβαλον γάρ οἱ Weckl.) πτεροφόρον δέμας θεοὶ γλυκύν τ' ἀγῶνα κλαυμάτων ἄτερ (διαί Weil) Αἰσχ. Ἀγ. 1144 οἱ θεοὶ περιέβαλον αὐτὴν (τὴν ἀηδόνα) μὲ πτεροφόρον σῶμα καὶ τῆς ἔδωκαν γλυκεῖαν ἀγωνίαν (τοῦ θανάτου, δηλ. θάνατον) ἄνευ δακρύων: ἐν ᾧ ἐμὲ περιμένει «σχισμὸς ἀμφήκει δορί». νεκρὸν θήσω ποδώκει περιβαλὼν (περικυκλώσας ὡς διὰ δικτύου) χαλκεύματι Χο. 574 θὰ τὸν ῥίψω νεκρόν, ἀφ' οὗ τὸν περικυκλώσω διὰ τοῦ γοργοῦ ξίφους μου. κύκλονδε (Δ. Βερν.: κύκλον δὲ) περιβαλὼν χεροῖν ἐμαῖν Εὐρ. Ἄλκ. 847 περιβαλὼν κυκλόσε (=κύκλονδε) ταῖς ἐμαῖς χερσίν. κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει Πινδ. Π. 9, 87 «ἀπαίδευτος ἐκεῖνος ὁ ἀνήρ, ὅστις μὴ ἐγκωμιάζει τὸν Ἡρακλέα» Σχ. ἴδ. στόμα. δεινὸν ἦν προσπλεῦσαι, μὴ οὐ προϊδών τις ὥσπερ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν Θουκ. 7, 25 ἦτο ἐπικίνδυνον νὰ προσπλεύσῃ τις, ἵνα μή τις ἀπρόσεκτος (κυρ. ἐπειδὴ δὲν προεῖδε τὸν σταυρόν) κτυπήσῃ πέριξ τὸ πλοῖόν του εἰς αὐτὸν ὡσὰν εἰς βράχον. Ἐπὶ τῆς αὐτῆς ἐννοίας μεταχειρίζεται ὁ Ἡρ. 7, 183 τὸ ἐπελαύνειν. Τὸ οὐ ἀνήκει μόνον εἰς τὸ προϊδών. φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει Εὐρ. Ἑλ. 312 φόβος περικυκλώσας (κυριεύσας) μὲ φέρει εἰς τὸ (ἔσχατον) δεινόν. Μέσ. πρόβατα πολλὰ περιεβάλοντο Ξεν. Ἀν. 6, 3, 3 κυρ.=περιέβαλον ἑαυτοῖς. ἐκέλευε περιβαλομένους ὅτῳ τις ἐπιτυγχάνοι ἐλαύνειν πρὸς ἑαυτόν Ξεν. Κ. Π. 1, 4, 17 διέταττεν, ἀφ' οὗ λαφυραγωγήσῃ τις ὅ τι εὑρίσκει, νὰ σπεύδῃ πρὸς ἑαυτόν. τοὺς μείζω περιβαλλομένους ὧν οἷοί τ' εἰσὶ κατασχεῖν Ἰσοκρ. 2, 25 κυρ.=περιβάλλοντας ἑαυτοῖς. δύναμιν περιεβάλετο 5, 65 = περιέβαλεν ἑαυτῷ. χρὴ δὲ τοὺς μείζονος δόξης τῶν ἄλλων ἐπιθυμοῦντας περιβάλλεσθαι μὲν τῇ διανοίᾳ τὰς πράξεις, δυνατὰς μέν, εὐχῇ δ' ὁμοίας, ἐξεργάζεσθαι δὲ ζητεῖν αὐτάς, ὅπως ἂν οἱ καιροὶ παραδιδῶσιν 5,118 πρέπει δὲ οἱ ἐπιθυμοῦντες μείζονα παρὰ τοὺς ἄλλους δόξαν νὰ περιλαμβάνωσι μὲν κατὰ διάνοιαν τὰς πράξεις(τ.ἔ.νὰ ἀναμετρῶσι κατὰ διάνοιαν τὸ μέγεθος καὶ τὴν ἔκτασιν αὐτῶν), αἵτινες εἶνε μὲν δυναταί, ὅμοιαι δὲ πρὸς εὐχήν, νὰ ζητῶσι δὲ νὰ ἐκτελῶσιν αὐτάς, ὅπως ἂν αἱ εὐκαιρίαι παρέχωσιν αὐτὰς εἰς αὐτούς. πολὺ κρεῖττόν ἐστιν ἓν καλῶς μεμαθηκέναι ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα (γράμματα Kock) Ἀπ. Μενάν. 683 πολὺ προτιμότερον εἶνε νὰ ἔχῃ μάθῃ τις καλῶς ἓν παρὰ νὰ εἶνε φορτωμένος μὲ πολλὰ καὶ νὰ μὴ ἠξεύρῃ κανὲν καλῶς. Καὶ κατὰ τμῆσιν: περὶ δ' ὠλένας δέρᾳ φιλτάτᾳ βάλοιμι χρόνῳ φυγάδα Εὐρ. Φοίν. 165 εἴθε νὰ ἐναγκαλισθῶ (κυρ. νὰ ῥίψω τὰς ὠλένας μου) τέλος πάντων τὸν φυγάδα περὶ τὸν φίλτατον τράχηλον. τῷδε περὶ βρόχους ἔβαλλε γόνασι Βάκχ. 619 περιέβαλε τῷδε βρόχους γόνασι. Πρῶτον τὸ ὅλον καὶ εἶτα τὰ μέρη.

περίβαρυς 2 Αἰσχ. Εὐμ. 159: ὑπὸ φρένας, ὑπὸ λοβὸν πάρεστι μαστίκτορος δαΐου δαμίου βαρὺ τὸ περίβαρυ κρύος ἔχειν εἶνε σὰν νὰ ἔχω (σὰν νὰ αἰσθάνωμαι) ὑπὸ τὴν καρδίαν ὑπὸ τὸ ἧπαρ βαρὺ τὸ περισσῶς βαρὺ κρύος («ἀνατριχίλα») τοῦ ἐχθρικοῦ μαστίκτ. δημίου.

περιβιῶναι, ἴδ. περιβιόω.

περιβόητος, Ἰων. περίβωτος, 2 περιβεβοημένος, «ξακουσμένος» καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. Ἄρης περιβόητος Σοφ. Ο. Τ. 191 περιβοώμενος, περὶ ὃν ἕκαστος τῶν προσβαλλομένων βοᾷ (ὑπὸ τῆς ὀδύνης).

περιβόλαιον τό: θανάτου περιβόλαι' ἀνήμμεθα Εὐρ. Ἡρ. Μ.549, ἴδ. ἀνάπτω. ἐπεὶ σαρκὸς περιβόλαι' ἐκτησάμην ἡβῶντα 1269 ἀφ' οὗ περιεβλήθην μὲ σάρκας (ἀκμαίας) δυνατάς: ἀφ' οὗ ἀνεπτύχθη τὸ μυϊκόν μου σύστημα.

περιβολή ἡ: περιβολαὶ σφραγισμάτων Εὐρ. Ἱππ. 864,

ἴδ. ἐξελίσσω. Ἀΐδου περιβολαὶ κόμης Ἡρ. Μ. 562 αἱ νεκρικαὶ περιβολαὶ κόμης. φέρ' ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος Φοιν. 276, ἴδ. μεθίημι.

περιβρύχιος : 2 περιβρυχίοισιν περῶν ὑπ' οἴδμασιν Σοφ. Ἀντ. 336 ὑπὸ τοῖς περικλύζουσι τὴν ναῦν κύμασιν, ὑπὸ τὰ καλύπτοντα τὸ πλοῖον κύματα.

περίβωτος Ἰων. συνήρ. 2 = περιβόητος.

περιγίγνομαι, ἀντίθ. ἀπολείπω καὶ ἐλλείπω. Ἡ σύνταξις εἶνε ἀνάλογος πρὸς τὴν τοῦ περιεῖναι, ὃ ἴδε· γίγνομαι, εἶμαι, ὑπεράνω τινός, ἀνώτερος, ὑπερτερῶ. βραχύ τι εἶναι καὶ οὐδενὸς ἄξιον, ᾧ πρὸς τὸ περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε κτλ. Θουκ. 8, 76 καὶ μικρόν τι πρᾶγμα ἦτο καὶ οὐδενὸς ἄξιον ἐκεῖνο, δι' οὗ ἡ πόλις ἦτο χρήσιμος εἰς αὐτοὺς ὡς πρὸς τὸ νὰ ὑπερισχύωσι τῶν πολεμίων, καὶ τίποτε δὲν εἶχαν χάση (οἱ ἐν Σάμῳ), ἀφ' οὗ ἐκεῖνοι τοὐλάχιστον κέ. ἡ Κέρκυρα περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων 1, 55 ὑπερισχύει τῶν Κορ. διὰ τοῦ πολέμου. πρὸς τοὺς Ἀθηναίους μᾶλλον τοῖς ἁμαρτήμασιν αὐτῶν περιγεγενήμεθα 1, 69 ἀπέναντι τῶν Ἀθην. ἔχομεν ὑπερισχύση ἐν πολλοῖς ἕνεκα τῶν σφαλμάτων αὐτῶν. διὰ τὸ παρὰ γνώμην αὐτῶν πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶτον περιγεγενῆσθαι καταφρονήσαντες 6, 11 καταφρονήσαντες αὐτοὺς διὰ τὸ ὅτι ἀνελπίστως ὑπερισχύσατε αὐτῶν παρὰ (κυρ. ἐν συγκρίσει πρὸς) τοὺς προηγουμένους φόβους σας. ἀλλ' (ἀκροῶνται ὑμῶν) ἐξ ὧν ἂν ἰσχύϊ μᾶλλον ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε 3, 37 πείθονται ὑμῖν μᾶλλον ὡς ἐκ τῆς ἐν ἰσχύϊ ὑπεροχῆς ὑμῶν ἢ ὡς ἐκ τῆς καλῆς αὐτῶν πρὸς ὑμᾶς διαθέσεως. τῶν αἰεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι 3, 37 νὰ ὑπερισχύωσι τῶν ἑκάστοτε λεγομένων εἰς τὸ κοινὸν ἀγαθόν, τ.ἔ. νὰ ἐπικρατῇ πάντοτε ἡ ἀτομική των γνώμη. ταύτης τῆς δίκης οὔτε σὺ μήποτε οὔτε [εἰ] ἄλλος ἀτυχὴς γενόμενος ἐπεύξηται περιγενέσθαι θεῶν Πλ. Νόμ. 905Α ταύτην τὴν δίκην τῶν θεῶν οὔτε σύ ποτε οὔτε ἄλλος τις ἀτυχὴς γενόμενος θὰ καυχηθῇ ὅτι διέφυγεν. Τὸ εἰ φαίνεται ὕποπτον, καὶ ὀρθῶς ὀβελίζεται. ἀμαχεὶ ἂν περιγενέσθαι αὐτοῖς ὧν ἕνεκα ἦλθον Θουκ. 4, 73 ἀμαχητὶ ἤθελον κερδήση ἐκεῖνα, ὧν ἕνεκα ἦλθον. ἄλλως τε καὶ νησιῶται ναυκρατόρων καὶ ἀσθενέστεροι ἑτέρων ὄντες εἰ μὴ περιγένοισθε 5, 97 καὶ μάλιστα ἂν δὲν ἠθέλετε ὑπερισχύση ἡμῶν, ὄντων ναυκρατόρων, ὑμεῖς οἵτινες εἶσθε νησιῶται καὶ μάλιστα (νησιῶται) ἀσθενέστεροι ἄλλων. ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου 6, 8 νὰ βοηθήσωσι δὲ καὶ εἰς τὴν νέαν ἀποκατάστασιν τῶν Λεοντίνων, ἐὰν ὑπάρχῃ τις ὠφέλεια εἰς αὐτοὺς ἐκ τοῦ πολέμου τούτου. (Ἄλλοι: ἐὰν ὁ ὑπὲρ τῆς Ἐγέστης πόλεμος ἀφήσῃ εἰς αὐτοὺς ὑπόλοιπον καιρόν). Ὁ δὲ Steup (διορθῶν περιγένηται): ἐὰν μέρος τι ἐκ τούτων ἤθελεν ὑπομένῃ τὸν ἐναντίον τῶν Συρακοσ. πόλεμον. καὶ Συρακοσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι ἀπροσδοκήτως... ἀντιστῆναι πλέον τι, διὰ τὸ τοιοῦτον ἐκπλαγέντων αὐτῶν, περιγενησομένους ἢ Ἀθηναίους τῇ ἐπιστήμῃ τὴν Συρακοσίων ἀπειρίαν βλάψοντας 7, 21 καλῶς γνωρίζει ὅτι οἱ Συρ., ἂν ἤθελον τολμήσῃ ν' ἀντισταθῶσιν ἀπροσδοκήτως πρὸς τὸ ναυτικὸν τῶν Ἀθηναίων, ἤθελον ἀποκτήσῃ μεγαλιτέραν ὠφέλειαν ὡς ἐκ τῆς τοιαύτης καταπλήξεως τῶν Ἀθην. παρὰ τὴν βλάβην, τὴν ὁποίαν ἤθελον προξενήσῃ διὰ τῆς ἐμπειρίας των οἱ Ἀθην. εἰς τὴν ἀπειρίαν τῶν Συρ. ἀηδὴς δόξα καὶ μὴ προσήκουσα τῇ πόλει παρὰ τοῖς πολλοῖς περιγίγνεται Δημ. 14 33, 23 ἀηδὴς ἰδέα καὶ ἀνάρμοστος εἰς τὴν πόλιν διασῴζεται παρὰ τοῖς πολλοῖς. ἀναφανήσῃ πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου Ἀρφ. Σφ. 604. Ἡ σύνταξις: ἀναφανήσῃ περιγιγνόμενος τῆς ἀρχῆς ὡς πρωκτὸς περιγίγνεται λουτροῦ. τ. ἔ. θὰ ἀναφανῇς ὅτι ὠφελεῖσαι ἐκ τῆς περισέμνου ἀρχῆς, ὡς ὁ πρωκτὸς ὠφελεῖται ἐκ τοῦ λουτροῦ. περιγίγνεται ἡμῖν τοῖς μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν Θουκ. 2, 39 ἴδ. προκάμνω. Μετὰ γεν. μεριστικῆς ἐν Ξεν. Ἑλλ. 6, 1, 3 ὁπότε περιγένοιτο τῆς προσόδου ἀπελάμβανεν, ἴδ. ἐνδέω. Ὁμοίως 2, 3, 8.

περιγραπτός 3 ἀναχωρήσεις καὶ ἐπίπλους οὐκ ἐκ βραχέος καὶ περιγράπτου ὁρμώμενοί τε καὶ καταίροντες ἕξουσι Θουκ. 7, 49 θὰ ἔχωσιν (ἀφορμὴν) νὰ κάμνωσι τὰς ὑποχωρήσεις καὶ τοὺς ἐπίπλους ὄχι ἐκ στενοῦ καὶ περιωρισμένου χώρου ὁρμώμενοι καὶ (εἰς στενὸν) προσορμιζόμενοι.

περιδεής 2 περίφοβος· τὸ περιδεὲς οὐσ. ὡς ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο Θουκ. 6, 59 τὸ ἀπερίσκεπτον τόλμημα ἐπράχθη ὑπὸ τοῦ Ἁρμοδίου καὶ Ἀριστ. ὁρμηθέντων ἐκ τοῦ αἰφνιδίου ἐκείνου φόβου (περὶ μηνύσεως τῆς ἐπιβουλῆς).

περιδίδωμι: ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι Ἀρφ. Ἱππ. 791 νὰ στοιχηματίσω μὲ τὴν κεφαλήν μου, νὰ βάλω ἐνέχυρον τὴν κεφαλήν μου περίδου μοι περὶ θυμιτιδᾶν (Δωρ. ἀντὶ θυμιτιδῶν) ἁλῶν Ἀχ. 772, ἴδε θυμίτης (θυμιτίδης). περίδου νῦν ἐμοὶ Νεφ. 644 «περίδου: συνθοῦ . . . οὕτω Δίφιλος . . . περιδώμεθα: συνθώμεθα» Φώτιος.

περίδου μέσ. ἀόρ. β'. προστ. τοῦ περιδίδωμι.

περίδρομος: 2 ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον (= περιτρέχουσαν τῇδε κἀκεῖσε) Αἰσχ. Ἱκ. 352. Κωκυτοῦ περίδρομοι κύνες Ἀρφ. Βά. 472 αἱ τῇδε κἀκεῖσε περιτρέχουσαι (περιφερόμεναι, περιπλανώμεναι) κύνες (τ. ἔ. Ἐρινύες· πρβ. Αἰσχ. Χο. 924. Σοφ. Ἠλ 1388 κἀλλ.) τοῦ Κωκυτοῦ, αἵτινες ἐκ τῆς ὀσμῆς τοῦ αἵματος προσελκυόμεναι, ὡς καὶ αἱ θηρευτικαὶ κύνες,

ἀνευρίσκουσι τὰ ἴχνη τῶν κακούργων καὶ τιμωροῦσιν αὐτούς. περιδρόμῳ μὲν ἴτυος ἕδρα Εὐρ. Ἠλ. 458, ἴδ. ἰτέα.

περιδιώσομαι, περιδώμεθον, ἴδ. περιδίδωμι.

περίειμι 1) εἶμαι πέριξ, κύκλῳ τινός· μετὰ δοτ. τειχίον περιῆν τῷ χωρίῳ Θουκ. ἦτο γύρῳ γύρῳ. 2) εἶμαι ὑπέρτερος (περὶ = ὑπέρ), ὑπερτερῶ τινος· ἐπὶ τῆς σημασ. ταύτης συντάσσ. μετὰ γεν., ἡ δ' ἔννοια τοῦ κατά τι ἐκφέρεται ἢ κατ' αἰτ. ἢ κατὰ δοτ. γυναικῶν περίειμι νόον, εἶδος Ὅμ. ὑπερτερῶ τῶν γυναικῶν κατὰ τὸν νοῦν, τὴν μορφήν. ἡ δύναμις αὐτοῦ περιέσεται τῆς βασιλῆος Ἡρ. θὰ ὑπερισχύσῃ. ναυσὶ πολὺ περιεῖναι Θουκ. ὑπερτερεῖν πολὺ κατὰ τὸ ναυτικόν. 3) ἐπιζῶ, σῴζομαι, ὑπολείπομαι· πυνθάνεται περιόντα τὸν πατέρα Ἡρ. ὅτι ζῇ ἀκόμη ὁ πατήρ. ὀλίγαι (οἰκίαι) περιῆσαν Θουκ. = είστήκεσαν, διετηροῦντο. ἡ περιοῦσα κατασκευὴ Θουκ. τὰ περιλειπόμενα ἔπιπλα. ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ Αὐτ. μὲ τὸ ὑπόλοιπον τοῦ στρατοῦ. πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς (= πολλῇ τῇ περιουσίᾳ τῆς ἀσφαλείας) κατεκράτησε Θουκ. 6, 55 (ἴδ. κατακρατῶ) ἐπεὶ πολλὴ ἦν ἡ περιουσία τῆς ἀσφαλείας, κατεκράτησεν· ἐπειδὴ ἡ περίσσεια τῆς ἀσφαλείας ἦτο πολλή, διετήρησε τὴν ἐξουσίαν, διετηρήθη ἐν τῇ ἐξουσίᾳ. φάσκων ἐκ περιόντος ἀγωνιεῖσθαι Θουκ. 8, 46 ὅτι θὰ ἀγωνισθῇ «ἐκ περιουσίας» (Σχ. ἐξ ὑπερβαλλούσης, ἐξ ὑπερτέρας δυνάμεως), ἐκ περισσείας δυνάμεως. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ Θουκ. 2, 89 τοῦτο δὲ (τ. ἔ. τὸ κατορθοῦν ἐν τῷ ναυτικῷ) κατὰ δίκαιον λόγον (ἐκ τοῦ εἰκότος) ἡμῖν μᾶλλον νῦν ἔσται (ὡς) πλεονέκτημα (ἐκ περιουσίας), εἴπερ καὶ τούτοις τοῖς Λακεδαιμ. ἐν ἐκείνῳ (τ. ἔ. τῷ πεζῷ, ἐνν. περίεστι), τ. ἔ. δίκαιοι δ' ἐσμὲν ἡμεῖς μᾶλλον νῦν πλέον ἔχειν ἐν τῷ ναυτικῷ, εἴπερ καὶ ἐκεῖνοι ἐν τῷ πεζῷ. τούτοις τοῖς αἰσχροῖς ἁπάντων τῶν τῆς πόλεως καλῶν περίεισι Δημ. 25, 9 διὰ τούτων τῶν αἰσχροτήτων ὑπερισχύουσι πάντων τῶν καλῶν τῆς πόλεως. πάντων κρατοῦμεν καὶ περίεσμεν τῷ λόγῳ 10, 3 ὑπερισχύομεν διὰ τῆς δυνάμεως τοῦ λόγου. ἃ δὲ νῦν περιόντ' αὐτὸν ὑβρίζειν ἐπαίρει, περιαιρεθήτω 21, 211 τὰ δὲ περισσεύοντα (χρήματα) ἅτινα παρασύρουσιν αὐτὸν εἰς ὕβρεις, ἂς περικοπῶσιν, ἂς ἀφαιρεθῶσιν. τὰ περιόντα χρήματα τῆς διοικήσεως 59, 4 τὰ περισσεύοντα χρήματα ἐκ τῶν δημοσίων δαπανῶν δηλ. μετὰ τὴν ἀφαίρεσιν τῶν δημ. δαπανῶν. περίεστί μοι τοιαῦτα, οἷα τοῖς κακόν τι νοοῦσιν ὑμῖν περιγένοιτο 1483, 18 ἔχω τοιαύτην περίσσειαν, ὁποίαν εἴθε νὰ ἀποκτήσουν οἱ κακόν τι διανοούμενοι περὶ ὑμῶν. εἰ δέ τῳ παρέστηκεν ὡς πολύ μοι περίεστι τῶν ἐμαυτοῦ πραγμάτων 1483, 10 ἐὰν ἔρχεται εἴς τινος τὸν νοῦν, ὅτι μοῦ περισσεύει πολὺς καιρὸς ἀπὸ τὰς ἰδικάς μου ὑποθέσεις. τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ μίσους 12, 7 τοιαύτη περιουσία ὑμῖν ἔστι, τόσην ἀφθονίαν ἔχετε, τοῦ πρὸς ἐμὲ μίσους. τούτοις δὲ τοσοῦτον περίεστιν, ὥστε τοὺς ἠδικημένους προσσυκοφαντοῦσι 55, 29 τόσον τὸ ἔχουν πάρῃ ἐπάνω των (ἄλλοι ἐνν. ὕβρεως: τόσην περίσσειαν ὕβρεως ἔχουσι· ἴδ. 21, 17), ὥστε ἀκόμη (προσέτι=πρὸς) συκοφαντοῦσι. τοῖς δ' ἀπολειφθεῖσι (παιδείας) τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν 18, 128 οἱ δὲ ὑστερήσαντες ἐν τῇ παιδείᾳ κανὲν ἄλλο κέρδος δὲν ἔχουν παρὰ νὰ ἐνοχλῶσι τοὺς ἀκροατάς (ὅταν ὁμιλῶσιν), ὄχι νὰ φαίνωνται ὅτι εἶνε τοιοῦτοι (δηλ. πεπαιδευμένοι). ἐκ τοῦ περιόντος ταῦτα ποιῶ Δημ. 1483, 15 ἀπὸ τὸν πολὺν καιρὸν ποῦ ἔχω, διὰ νὰ περάσω (σκοτώσω) τὸν καιρόν μου, διὰ νὰ διασκεδάσω (ἴδ. ἀνωτ. περίεστι). περιόντι τῷ θέρει Θουκ. 1, 30 «ἐνισταμένῳ» Σχ. τ. ἔ. κατὰ τὴν ἔναρξιν τοῦ θέρους.

περιελαύνω: αἳ κατὰ χέρσον ἐληλαμέναι περὶ πύργον (= περιεληλαμέναι πύργον, αἷς πύργος περιελήλαται) τοῦδ' ἄνακτος ἄϊον Αἰσχ. Πέρ. 875 αἱ (πόλεις) κατὰ γῆν τείχεσι κεκυκλωμέναι τοῦδε τοῦ βασιλέως ὑπήκοοι ἦσαν. περιελῶ σε ἀλαζονείας Ἀρφ. Ἱππ. 290, ἴδ. περιαιρέω. Παθ. περικυκλοῦμαι, περιέρχομαι εἰς στενοχωρίαν· περιελαυνόμενος τῇ στάσι Ἡρ. 1, 60 στενοχωρούμενος ὑπὸ τῶν στασιωτῶν.

περιέλκω: εἰ τοῦτον ἴδοιμι καταλευσθέντα καὶ δόντα δίκην ὧν ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἄν μοι δοκῶ ἔχειν Ξεν. Ἀν. 7, 6, 10 ἐὰν ἤθελον ἴδῃ αὐτόν, ὅτι ἐλιθοβολήθη καὶ ἐτιμωρήθη δι' ὅσα μᾶς ἔκαμνε νὰ ὑποφέρωμεν, ἐν ᾧ μᾶς ἐτραβοῦσεν ἀπ' ἐδῶ καὶ ἀπ' ἐκεῖ, μοῦ φαίνεται ὅτι καὶ τὸν μισθόν μου θὰ εἶχον. ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιστήμης ὥσπερ περὶ ἀνδραπόδου περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων Πλ. Πρωταγ. 352 B ὅλως διόλου ὡς ἀνδράποδον θεωροῦντες τὴν ἐπιστήμην, ἐν ᾧ πᾶσαι αἱ ἄλλαι δυνάμεις (τῆς ψυχῆς) τὴν τραβοῦν ἀπ' ἐδῶ καὶ ἀπ' ἐκεῖ. Εἰς τοῦτο τὸ χωρίον ἀναφ. ὁ Ἀριστοτ. ἐν Ἠθικ. Νικομ. 8,3. πάλαι με περιέλκεις κύκλῳ, ἀποκρυπτόμενος ὅτι οὐ τὸ ἐπιστημόνως ἦν ζῆν τὸ εὖ πράττειν τε καὶ εὐδαιμονεῖν ποιοῦν, οὐδὲ ξυμπασῶν τῶν ἄλλων ἐπιστημῶν, ἀλλὰ μιᾶς οὔσης ταύτης μόνον τῆς περὶ τὸ ἀγαθόν τε καὶ κακόν Πλ. Χαρμ. 174B πάλαι με περιάγεις κύκλῳ, ἀποκρυπτόμενος, ὅτι οὐ τὸ ἐπιστημόνως ζῆν ἦν τὸ εὖ πράττειν καὶ εὐδ. ποιοῦν, οὐδὲ (τὸ ἐπιστημόνως ζῆν) ξυμπασῶν τῶν ἐπιστημῶν, ἀλλὰ μόνης τῆς περὶ τὸ ἀγαθόν τε καὶ κακὸν ἐπιστήμης.

περιελῶ, ἴδ. ἐλαύνω.

περιενέγκας, ἴδ. περιφέρω.

περιέπω: ἐτόλμησας τὸν τοῦδε παῖδα . . ἀεικείῃ τοιῇδε περισπεῖν Ἡρ. 1, 115 νὰ μεταχειρισθῇς τὸν παῖδα μὲ τοιαύτην ἀνάρμοστον μαστίγωσιν.

περιέρχομαι. Περὶ τῆς χρήσεως ἴδ. ἔρχομαι. Ἐν τῷ Ἀρφ. Θεσμ. 504 ὁ δ' ἀνὴρ περιήρχετ' ὠκυτόκι' ὠνούμενος ὀρθοτέρα ὡς φαίνεται εἶνε ἡ διόρθ. τοῦ Herw. περιέρχετ'. Κύκλωπα περὶ φρένα ἤλυθε οἶνος ι 362 τὸν ἐκτύπησε (γύρῳ) 'ς τὸ κεφάλι, τὸν ἐζάλισε.

περιέσσασθαι, ἴδ. ἕννυμι.

περιέχω: τὸ δεξιὸν τῶν Λακεδαιμονίων ἐκυκλοῦτο τῷ περιέχοντι σφῶν τοὺς Ἀθηναίους Θουκ. 5, 73 τὸ δεξιὸν κέρας τῶν Λακ. περιεκύκλωνε διὰ τῆς προεκτάσεώς του τοὺς Ἀθηναίους.

περιζώννυμι: ἀλλὰ νῦν ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο Ἀρφ. Εἰρ. 685 μετεχειρίσθη τὸν ἄνδρα τοῦτον ὡς περίζωμα, «ποδιάν», διὰ νὰ σκεπάσῃ τὴν γυμνότητά του.

περιήκω: περιήκει εἰς τὸν φονέα ἡ ἀρχὴ Ξεν. Κ. Π. 4, 6, 6 περιῆλθε (μετέβη κατὰ σειράν) ἡ ἀρχὴ εἰς τὸν φονέα. περίθετος κεφαλὴ Ἀρφ. Θεσμ. 258 φενάκη τις γυναικεία φέρουσα μακρὰν κόμην, ὥστε ὁ φέρων αὐτὴν νὰ φαίνηται ὡς γυνή, «καὶ τοῦτο δὲ εἰς μαλακίαν, ἵνα λανθάνῃ νυκτὸς καὶ ὡς γυνὴ πάσχῃ» Σχ.

περιίστημι· ἡ σύνταξις: ἵστημί τι πέριξ τινός·μετὰ δοτ. ἢ μετ' ἐμπροθέτου διορισμοῦ (συνήθως μετὰ τῆς περί: λαβὼν αὐτὸ περιέστησε τῷ πλασθέντι ζῴῳ Πλ. Τίμ. 78C κυρ.=ἔστησε περὶ τῷ ζῴῳ. πρβ. περιίστημι στράτευμα περὶ πόλιν Ξεν. Κ. Π. 7, 5, 1). Μετ. αἰτ. ἐπικρατούσης τῆς τοῦ ὅλου συνθέτου ἐννοίας=περικυκλῶ· πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος Σ 603 πολὺς ὅμιλος ἵστατο περὶ τὸν χορόν πολὺς ὑμᾶς ὄχλος περιειστήκει Πλ. Εὐθύδ. 271 = εἱστήκει περὶ ὑμᾶς. περιίσταται τὸν λόφον Ξεν. Κ. Π. 3, 1, 5 ἵσταται περὶ τὸν λόφον, περικυκλώνει τὸν λόφ. Ὅθεν 2) μτφ. περικυκλώνω, καταλαμβάνω· φόβος περιέστη τὴν Σπάρτην Θουκ. 3, 55 κυρ. ἔστη περὶ τὴν Σπάρτην, ὅθεν: περιεκύκλωσε, κατέλαβε. Ἀμτβ. καταντῶ (μετὰ πολλὰς περιπετείας), γυρίζω γυρίζω καὶ εἰς τὸ τέλος καταντῶ. οἶμαι τουτονί. . ἐπιχειρήσειν τῇ τόλμῃ καὶ τῇ θρασύτητι πιστεύοντα περιιστάναι τὰς ἑαυτοῦ συμφορὰς εἰς ἐμὲ Δημ. 40, 20 θὰ ἐπιχειρήσῃ, πεποιθὼς εἰς τὴν τόλμην καὶ τὴν θρασύτητά του, νὰ ῥίψῃ ἐπάνω μου τὰς συμφοράς. τιθασεύειν καὶ περιίστασθαι τὸ χρήσιμον Πλουτ. 451 D τ. ἔ. ἵστασθαι περὶ τὸ χρήσιμον ὥσπερ περὶ τὸ τιθασευόμενον ζῷον. τὸ περιεστὼς ἡμᾶς δεινὸν Θουκ. 4, 10 κυρ. τὸ περὶ ἡμᾶς ἑστὼς δεινόν. τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν τῶν δ' ἐπιβουλήν, μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν περιεστάναι Θουκ. 7, 70 οἱ κυβερνῆται νὰ εἶνε ὑποχρεωμένοι ὄχι εἰς ἓν μόνον σημεῖον χωριστόν, ἀλλ' εἰς πολλὰ πανταχόθεν, ἀπὸ ἄλλους μὲν νὰ προφυλάττωνται, ἄλλους δὲ νὰ ἐπιβουλεύωνται (νὰ προσβάλλωσι). Ἡ σύνταξ. φυλακὴ καὶ ἐπιβουλὴ περιεστᾶσι τοῖς κυβ. ἀνάγκη περιίστατο καὶ τούτῳ πάλιν εἰσιέναι Δημ. 19, 212 ἀνάγκη πανταχόθεν κατελάμβανε καὶ αὐτὸν (κυρ. περιεκύκλωνε) νὰ εἰσέλθῃ. ἐς τοῦτο περιέστη ἡ τύχη Θουκ. 4, 12 μέχρι τούτου τοῦ σημείου μετεβλήθη. ἡμῖν ἀδοξία περιέστη 1, 76 = ἀδοξίαν προσελάβομεν. μηκυνόμενος (ὁ πόλεμος) φιλεῖ ἐς τύχας τὰ πολλὰ περιίστασθαι 1, 78 συνηθίζει ὡς ἐπὶ τὸ πλεῖστον νὰ καταντᾷ εἰς ἀδήλους περιπετείας. νομίσαντες τὸ παρανόμημα. . αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ περιεστάναι 7, 18 νομίσαντες, ὅτι τώρα πάλιν οἱ Ἀθην. περιέπεσον εἰς τὸ αὐτὸ παρανόμημα. καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σωφροσύνη. . . νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη 1, 32 καὶ οὕτως ἡ πρότερον νομιζομένη συνετὴ ἀποχὴ ἡμῶν κατήντησε (κυρ. γύρισε γύρισε καὶ εἰς τὸ τέλος κατήντησε) σήμερον ἀπερισκεψία καὶ ἀσθένεια φανερά. Ἡ σύνταξ. τοῦ περιέστηκε μετὰ κατηγορ. (ἀβουλία φαινομένη) πρωτοφανής, ἴσως κατὰ τὸ τυγχάνω ἢ τὸ διατελῶ. Τὸ χωρίον ἀπεμιμήθη καὶ Διον. Ἀλ. Ἀρχ. 6, 43. νῦν δὲ περιέστηκεν εἰς τοῦτο Λυκ. κ. Λε. § 3 τὸ πρᾶγμα ἔχει καταντήσῃ εἰς τοῦτο τὸ σημεῖον. τὸ ἐναντίον περιέστηκεν Πλ. Μέν. 70B=Λυσ. 12, 64. Θουκ. 6, 24. περιειστήκει τῆς βοηθείας δεήσεσθαι δοκοῦσιν ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν ἑτέροις Δημ. 18, 218 τὰ πράγματα εἶχον λάβῃ τοιαύτην τροπὴν δι' ἐκείνους, οἵτινες ὡς ἐκ τῶν ῥαδιουργιῶν τούτων ἐνομίζοντο, ὅτι θὰ ἔχωσιν ἀνάγκην βοηθείας, ὥστε αὐτοὶ νὰ βοηθῶσιν ἄλλους. ἡμῖν δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον ἢ ἔπαινος οὐκ εἰκότως περιέστη Θουκ. 1, 76 ἡμεῖς δὲ καὶ ὡς ἐκ τῆς ἐπιεικίας ἡμῶν κατηντήσαμεν νὰ προσλάβωμεν ὄχι παραλόγως ἀδοξίαν μᾶλλον ἢ ἔπαινον. Κυρ. ἀδοξία περιεκύκλωσεν ἡμᾶς. περιίστασθαι ἔξω τοῦ παρανόμου Αἰσχίν. 3, 206, ἴδ. παράνομος.

περιίσχω: καὶ περιίσχουσι κατὰ τὸ τῶν ἐναντίον ἀνώνυμον ἀμφότεροι τῷ δεξιῷ Θουκ. 5, 71 καὶ προέχουσι (προεκτείνονται) ἀπέναντι τοῦ εὐωνύμου τῶν ἐναντίων ἀμφότεροι μὲ τὸ δεξιὸν κέρας.

περιιτέον, ἴδ. περίειμι.

περικάββαλεν, ἴδ. περικαταβάλλω.

περικάρδιος 2: αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα Ἀπ. Ἐμπεδ. 105 τὸ περὶ τὴν καρδίαν αἷμά ἐστι τοῖς ἀνθρώποις ὁ νοῦς.

περικαταρρήγνυμι μέσ. περικατερρήξατο τὸν ἄνωθεν (= τὸν ἄνω πέπλον ἄνωθεν) πέπλον Ξεν. Κ. Π. 5, 1, 6 κυρ. ἔσχισε γύρῳ ἀπ' ἐπάνω πρὸς τὰ κάτω τὸν πέπλον της. Ὅτι δὲ τοῦτο δηλοῖ ἡ κατα-, ὑποδεικνύει καὶ τὸ ἄνωθεν, ὅπερ οὐκ ὀρθῶς ἐννοήσας ὁ Cobet διώρθ. περιερρήξατο. Ὁμοίως πλημμελῶς διώρθ. τὸ Αἰσχ. 1, 183 καταρρηγνύναι τὰ ἱμάτια, ἤτοι κυρ. νὰ σχίζῃ πρὸς τὰ κάτω (καὶ νὰ τὰ τραβᾷ κάτω), γράψας περιρρηγνύναι. Ὁμοίως Δημ. 21, 63.

περίκειμαι: οὐδέ τί μοι περίκειται Ι 321 = οὐδέ μοι περίεστί τι, δὲν μοῦ μένει τίποτε (κέρδος).

περικήδομαι: ὅτι ῥά οἱ βιότου περικήδετο ξ 527 ἐφρόντιζε διὰ τὴν περιουσίαν του.

περίκομμα τό: περικόμματ' ἐκ σου σκευάσω Ἀρφ. Ἱππ. 372 «κατὰ μέρος σου κόψω τὸ σῶμα· ὡς μάγειρος δὲ λέγει» Σχ., θὰ σὲ κάμω «κιϊμᾶ» (Τουρκ.), θὰ σὲ κομματιάσω.

περικόπτω: τοῦτο μέντοι τὸ τῆς τοιαύτης φύσεως εἰ ἐκ παιδὸς εὐθὺς κοπτόμενον περιεκόπη τὰς τῆς γενέσεως ξυγγενεῖς ὥσπερ μολυβδίδας..., καὶ ἐκεῖνα ἂν τὸ αὐτὸ τοῦτο τῶν αὐτῶν ἀνθρώπων ὀξύτατα ἑώρα, ὥσπερ καὶ ἐφ' ἃ νῦν τέτραπται Πλ. Πολ. 519 Α ἡ δύναμις ὅμως τῆς τοιαύτης φύσεως (σχεδὸν = ἡ τοιαύτη φύσις, ἡ οὕτως ἔχουσα φύσις) ἐὰν εὐθὺς ἐκ παιδικῆς ἡλικίας περιοριζομένη (κυρ. περικοπτομένη) περιεκόπτετο (περιῃρεῖτο) τὰς συγγενεῖς τῆς γενέσεως (εἰς τὸ γίγνεσθαι ἀνηκούσας, ἴδ. ἀνωτ. σ. 518C) οἷον μολυβδίδας..., τότε καὶ ἐκεῖνα ἡ αὐτὴ αὐτὴ δύναμις τῶν αὐτῶν ἀνθρώπων θὰ ἔβλεπεν ὀξύτατα, ὡς καὶ ταῦτα, εἰς ἃ νῦν εἶνε τετραμμένη. Κατώτερα χ/φα παρέχουσι τὰ τῆς γενέσεως ξυγγενῆ, ὅπερ εἶνε εὐκολώτερον, ἀλλὰ δὲν συμφωνεῖ τὸ ἐφεξῆς αἵ. Ἡ δὲ γρ. τῶν ἀρίστων τὰς τῆς γεν. ξυγγενεῖς εἶνε δυσεξήγητος, διότι εἶνε ἐπίθετον, στερούμενον μὲν τοῦ οἰκείου οὐσιαστικοῦ, συμφωνοῦν δὲ τῷ οὐσιαστικῷ (μολυβδίδας), τῷ ἐξομοιουμένῳ πρὸς τὸ παραλειπόμενον (διὰ τοῦ ὥσπερ). Ἀπεμιμήθην καὶ ἐγὼ τὴν ἔκφρασιν ἐν τῇ μεταφράσει. Ἀλλὰ θὰ προετίμων τοιάνδε τινὰ γραφὴν «περιεκόπη τὰς τῆς γενέσ. ξυγγενεῖς ὥσπερ μολυβδίδας ⟨ἐπιθυμίας⟩». Ἡ δὲ διόρθ. αὕτη καθίσταται πιθανὴ ὡς ἐκ τοῦ χωρίου τοῦ Κλήμ. Ἀλεξ. Στρωμ. 4, 4 (σ. 570 P) «οὐδὲ καθαρὰν ἀπολύουσι τὴν ψυχήν, ἀλλ' ὥσπερ μολυβδίδας τὰς ἐπιθυμίας μεθ' ἑαυτῆς φερομένην», ὅπου πάντως εἶχεν ὁ Κλήμης πρὸ ὀφθαλμῶν τὸ Πλατωνικὸν χωρίον. Πρβ. πολεμῶ ἐν τέλει.

περιλείπω: ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται Τ 230 μείνωσιν ὑπόλοιποι (ἐπιζήσωσιν) ἐκ τοῦ πολέμου.

περινίσσομαι: Σπάρτᾳ κύκλος ἁνίκα Καρνείου περινίσσεται ὥρας Εὐρ. Ἄλκ. 449 «ὅτε (ὁ ἐννεαήμερος) κύκλος τοῦ Καρνείου μηνὸς περιέρχεται τὰς ὥρας» Δ. Βερν.

περίνοια ἡ: διὰ τὰς περινοίας Θουκ. 3, 43 ἐνν. τὰς πολλὰς (περισσὰς) καὶ σοφὰς ἐξηγήσεις.

πέριξ: βωμὸν πέριξ νήσαντες ἀμφήρη ξύλα Εὐρ. Ἡρ. Μ. 243 πέριξ τοῦ βωμοῦ σωρεύσαντες τὰ ξύλα καὶ στοιβάξαντες αὐτά. ἡ δ' ὀξύθηκτος ἥδε βωμία πέριξ λύει κελαινὰ βλέφαρα Σοφ. Ἀντ. 1301 αὕτη δὲ δι' ὅπλου ὀξέος (ὀξέως ἠκονημένου) πληγεῖσα παρὰ τὸν βωμὸν πέριξ αὐτοῦ παραλύει (χαλαρώνει) τοὺς ὀφθαλμούς, ὥστε νὰ μένωσιν ἐν τῷ σκότει. Τὸ χωρίον παρέχει δυσκολίας· καὶ πρῶτον δυσκρεστεῖ τὸ ἡ δ', ἐπιφερομένου μάλιστα τοῦ ἥδε, διότι δὲν γίνεται ἀντίθεσις, ἀφ' οὗ προηγουμένως περὶ τοῦ νεκροῦ τῆς Εὐρυδίκης ὡμίλησε καὶ ὁ Κρέων. Καὶ ἂν δὲ ἐννοήσωμεν, ὅτι ἡ ἀντίθεσις γίνεται μεταξὺ τοῦ νεκροῦ τῆς Εὐρυδίκης, καὶ ταύτης ζώσης, πάλιν δὲν αἴρεται παντελῶς ἡ δυσκολία· ἂν δὲ διορθώσωμεν μετ' ἄλλων ἥδε, πάλιν δὲν ἐξηγεῖται καλῶς, ἀφ' οὗ ἐπακολουθεῖ καὶ ἕτερον ἥδε. Ὅθεν ὀρθότερον φαίνεται νὰ γράψωμεν ἴδ' μετὰ τοῦ Seyffert. Τὸ πέριξ ὁρίζει ἀκριβέστερον τὸ ἀόριστον βωμία. Τὸ δὲ λύει ἐνταῦθα ἐτέθη κατὰ τὴν ἀναλογίαν τοῦ Ὁμηρ. λῦσε γυῖα, γούνατα, γίνεται δὲ σαφεστέρα ἡ ἔννοια αὐτοῦ διὰ τοῦ ἐπιφερομένου κελαινά (= ὥστε κελαινὰ εἶναι). Διορθώσεις πολλαί· ἥδ' ὀξυθήκτῳ βωμία περὶ ξίφει λύει: ἥδ' ὀξυθήκτῳ σφαγίδι βωμίᾳ πέρι μύει κλ. ἑλικτὰ κοὐδὲν ὑγιές, ἀλλὰ πᾶν πέριξ φρονοῦντες Εὐρ. Ἀνδ. 449, ἴδ. ἑλικτός.

περιοδικός 3: «περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιτεινόμενα· οἷον τριταίους καὶ τεταρταίους· καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲν νοσεῖν ἀλλ' ὑγιεῖς εἶναι. — Ἐν ταῖς περιοδικαῖς νόσοις λέγεταί τις καταβολὴ διὰ τὸ ἐν ἀποδεδειγμένῳ προϊέναι χρόνῳ, καθάπερ οἱ ἐρανισταὶ τὰς καταβολὰς ποιοῦνται τῶν χρημάτων» Ἁρποκρατίων.

περίοδος ἡ: ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ ἢ ἄλλου τινὸς κακοῦ, καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται, οὐδεὶς ἀγνοεῖ δήπου Δημ. 9, 29 ἐπεὶ οὐδεὶς ἀγνοεῖ δήπου, ὅτι Φίλιππος, ὥσπερ περιοδικὴ λῆψις (περιοδικὸς παροξυσμὸς) ἢ κατάληψις (προσβολὴ) πυρετοῦ, προσέρχεται καὶ τῷ δοκοῦντι νῦν ἀφεστάναι πάνυ πόρρω· ἴδ. περιοδικός. αὕτη μὲν δὴ ἡ περίοδος τῶν λόγων ἀπετελέσθη Ξεν. Συμπ. 4, 64 ἕκαστος τῶν συνδαιτυμόνων ἔλαβε κατὰ σειρὰν τὸν λόγον: ὁ λόγος ἔλαβε τέλος, ἀφ' οὗ περιῆλθεν ὅλους τοὺς συνδαιτυμόνας. τὴν ἐγνωσμένην ὑπὸ πάντων γῆς περίοδον εἰργασμένην ψηφιεῖσθε ἀστὴν εἶναι; Δημ. 59, 108 τὴν ὑπὸ πάντων ἐγνωσμένην, ὅτι ἔχει γυρίσῃ ὅλον τὸν κόσμον, θὰ ψηφίσητε ὅτι εἶνε ἀστή;

περιοίσω, ἴδ. περιφέρω.

περιοπτέος 3: σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα ὅπως μὴ στασιάσωσι Θουκ. 8, 48 αὐτοὶ δὲ τοῦτο ἔπρεπε πρὸ πάντων νὰ προσέξωσι, πῶς νὰ μὴ διαιρεθῶσιν εἰς κόμματα.

περιοράω: μή σφε περιίδῃς (Dawes: παρίδῃς) πτωχὰς ἀνάνδρους, ἐγγενεῖς, ἀλωμένας Σοφ. Ο. Τ. 1505. = περιπλανωμένας τούτους περιορᾷ ἐν ταῖς ἐσχάταις ἀπορίαις ὄντας ἔχων καὶ πλουτῶν Δημ. 45, 73 παραβλέπει, ἐγκαταλείπει ἔχων χρήματα καὶ πλούσιος ὢν αὐ-

τοὺς ὄντας ἐν ταῖς ἐσχάταις ἀπορίαις. ἐδόκει τὸ μέλλον περιιδεῖν Θουκ. 4, 71 νὰ περιμένωσι νὰ ἴδωσι τὸ μέλλον. Βοιωτοί . . ἡσύχαζον περιορώμενοι ὑπὸ τῶν Λακεδαιμονίων 5, 31 θεραπευόμενοι ὑπὸ τῶν Λακ. Κατ' ἄλλους: περιμένοντες νὰ ἴδωσι τὸ ἀποτέλεσμα (πρβ. 4, 71), ἐξαλείφοντας τὸ ὑπὸ τῶν Λακεδαιμονίων. μέλλοντες ἔτι καὶ περιορώμενοι 6, 93 ἀναβάλλοντες ἔτι καὶ περιμένοντες νὰ ἴδωσι τὸ ἀποτέλεσμα. Ἀλλά: Βρασίδας τῆς τε Μένδης περιορώμενος («εὐλαβούμενος περὶ αὐτῆς, κηδόμενος» Σχ.), μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ, καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος («προιέναι» Σχ.) ἦν 4, 124 ὁ δὲ Βρασίδας ἐπειδὴ καὶ διὰ τὴν Μένδην εἶχε φόβους (πρβ. τὸ κοινόλεκτον «ἔβλεπε τὰ πλάγια του»), μήπως πάθῃ τι (δηλ. καταληφθῇ), ἂν οἱ Ἀθηναῖοι ἐπιπλεύσωσι πρότερον (δηλ. πρὸ τῆς ἐπανόδου του εἰς τὴν παραλίαν), καὶ ἐπειδὴ συγχρόνως οἱ Ἰλλυριοὶ δὲν ἦσαν παρόντες, δὲν ἦτο πρόθυμος. Οἱ σύνδεσμοι τε-καὶ συνδέουσι τὰ ἀνόμοια μὲν γραμματικῶς, λογικῶς δὲ ὅμοια περιορώμενοι καὶ παρόντων. Ἡ δὲ γεν. τῆς Μένδης κατὰ πρόληψιν συντάσσεται πρὸς τὸ περιορώμενος (ὡς συνώνυμον ἐνταῦθα πρὸς τὸ κηδόμενος). Ὁμοίαν πρόληψιν παρέχει τὸ ὅμοιον χωρίον ἐν 1, 52: τοῦ οἴκαδε πλοῦ διεσκόπουν ὅπῃ κομισθήσονται, περὶ οὗ ἴδε διασκοπῶ.

περιοργής 2: Αἰσχ. Ἀγ. 225. Τὸ χωρίον: παυσανέμου γὰρ θυσίας τοῦ παρθενίου θ' αἵματος ὀργᾷ περιοργῶς (Blomf.: περιόργως, ό ex ω facto) ἐπιθυμεῖν θέμις. Ἴσως ὧδε: θέμις (ἐστὶ τὴν Ἄρτεμιν) ὑπὸ σφοδροτάτης ὀργῆς κατεχομένην ἐπιθυμεῖν παυσανέμου θυσίας καὶ παρθενίου αἵματος. Κατὰ ταῦτα ἴσ. διορθωτέον περιόργῳ σφ' (= αὐτήν, τὴν Ἄρτεμιν) ἐπιθυμεῖν.

περιουσία ἡ: περιουσίας ἔχειν χρημάτων Θουκ. 1, 7 ἔχειν περισσὰ χρήματα καὶ κτήματα· ἴδ. πλοΐμος. ἃ τῇ ἀπορίᾳ ἐκτήθη τῇ περιουσίᾳ ἀπολέσθαι 1, 123 «νὰ στερηθῆτε ἐξ αἰτίας τοῦ πλούτου ὅσα ἀπέκτησαν οἱ πατέρες διὰ τῆς πτωχείας» Δούκας. ἐκ περιουσίας ὑβρίζοντες 8, 45 ἐκ τῆς ἀφθονίας τῶν χρημάτων ἀκολασταίνοντες ἐκ περιουσίας μου κατηγορεῖ Δημ. 18, 3 ἐν ᾧ ἔχει πολλὰ πλεονεκτήματα ἀπέναντί μου· διότι αὐτὸς μὲν νὰ χάσῃ τίποτε δὲν ἔχει, πολλὰ δὲ ἐγώ. Κατ' ἄλλους: ἐκ προπετείας, ὕβρεως. Ὁ Ἁρποκρατίων ὧδε: «ἐκ περιουσίας: βέλτιον οὕτως ἀκούειν, ὅτι «ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω, οὗτος δὲ ἐκ πολλοῦ τοῦ περιόντος μου κατηγορεῖ, οὐ περὶ χρημάτων, ὡς οἴονταί τινες». οἱ ἐκ περιουσίας πονηροί 45, 67 τ. ἔ. οἱ ἐξ εὐπορίας ὄχι ἐξ ἐνδείας πονηροί, ἑπομ. οἱ ἐξ ὕβρεως πονηροί.

περιπατέω-ῶ: περιπατῶν ἀπ' ἐργαστηρίου Ἀρφ. Ἱππ. 744 περ. μετὰ τὴν ἐργασίαν τῆς ἡμέρας (Leeuwen). Ἄλλοι τὸ ἀπ' ἐργ. συνάπτουσι πρὸς τὸ ὑφειλόμην.

περίπατος: οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου Ἀρφ. Βατρ. 953 κάλλιστα ποιήσας δὲν ἔκαμες παρέκβασιν περὶ τούτου τοὐλάχιστον, τ. ἔ. τὰ δημοκρατικά φρονήματά σου εἶνε ὀλίγον ἀμφίβολα, διότι δηλ. καὶ ἐν τῇ αὐλῇ τοῦ Ἀρχελάου διέτριψε καὶ ἄλλως φίλος τῶν ὀλιγαρχικῶν ἦτο.

περιπέλομαι: περιπλομένου ἐνιαυτοῦ, περιπλομένων ἐνιαυτῶν α 16 ἐν ᾧ παρήρχοντο τὰ ἔτη, 'ς τὸ γυρισμὸ (γύρισμα) τῶν χρόνων.

περίπεμπτος 2: τίνος ἀγγελίας πειθοῖ περίπεμπτα θυοσκεῖς (Turn.: θυοσκινεῖς); Αἰσχ. Ἀγ. 87 τίνι ἀγγελίᾳ πειθομένη (ποίαν ἀγγελίαν μαθοῦσα) στέλλεις πανταχοῦ εἰς τοὺς ναοὺς θυσίας;

περιπέσσω: ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν Ἀρφ. Πλ. 159 μὲ ἄλλα ὀνόματα περικαλύπτουσι τὴν κακίαν, τὴν ἐπιθυμίαν τοῦ ἀργυρίου. ὅσα περίεργ' αὐταῖσι τῶν φορημάτων ὅσοις τε περιπέττουσιν αὐτὰς προσθέτοις Ἀπ. Ἀρφ. 321 ἐκ τοῦ Σχ. Ἀρφ. Πλ. 159: «περιπέττουσι· διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ». Τὸ ὅσοις δὲν ἀναφ. μόνον εἰς τὴν πρόσθετον κόμην, ἀλλὰ καὶ εἰς πολλὰ ἄλλα· δὲν εἶνε λοιπὸν ἀναγκαία ἡ διόρθ. ὅσαις. λόγοισι ταῦτα εὖ πως εἰς τὸ πιθανὸν περιπεπεμμένα Πλ. Νόμ. 886E διὰ λόγων ταῦτα συγκεκαλυμμένα μὲ κάποιον εὔμορφον τρόπον, ὥστε νὰ φαίνωνται πιθανά.

περιπέτεια ἡ: «ἔστι δὲ περιπέτεια ἡ εἰς τὸ ἐναντίον τῶν πραττομένων μεταβολή» Ἀριστοτ. Ποι. κεφ. 11 εἰσὶ γὰρ αἱ μὲν πίστεως ἕνεκα ἀτεχνότεραι καὶ αἱ τοιαῦται πᾶσαι, αἱ δ' ἐκ περιπετείας. . . βελτίους Αὐτ. Κεφ. 16 = 1454 b 28 διότι αἱ μὲν πρὸς πίστωσιν γινόμεναι εἶνε ἀτεχνότεραι καὶ πᾶσαι αἱ τοιαῦται, αἱ δὲ ἐξ ἰδιαιτέρας τινὸς (τυχαίας, ἀπροσδοκήτου) περιστάσεως γινόμεναι εἶνε καλλίτεραι. Αὕτη εἶνε ἀναγνώρισις ἐκ περιπετείας.

περιπετής 2: ἐν γὰρ οἱ χθονὶ πηκτὸν τόδ' ἔγχος περιπετές (= ᾧ περιπέπτωκε) κατηγορεῖ Σοφ. Αἴ. 906 τὸ ἐν τῇ γῇ ὑπ' αὐτοῦ ἐμπεπηγὸς τόδε ξίφος, ᾧ περιπέπτωκε, σημαίνει τόδε (ὅτι αὐτὸς πρὸς αὐτοῦ ἀπέθανε). πέπλοισι περιπετῆ Αἰσχ. Ἀγ. 243 «περιεσκεπασμένην» Σχ. ἴδ. προνωπής. ἐπειδὴ περιπετεῖς ἔχεις τύχας Εὐρ. Ἀνδ. 983 κυρ. ἐπειδὴ ἔχεις τύχας εὐεπιφόρους εἰς τοὐναντίον: ἐπειδὴ περιέπεσες εἰς δυστυχίαν. περιπετέα ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα Ἡρ. 8, 20 ἔφεραν τὰ πράγματα εἰς τοιοῦτον σημεῖον, ὥστε νὰ μετατραποῦν εἰς δυστυχίαν των.

περιπίπτω: πολεμίῳ τῷ τούτου βέλει περιπεσὼν Ἀντιφ. Τετραλ. Β γ 6 περιπεσὼν τῷ τούτῳ βέλει, ὃ πολέμιον ἦν (ἢ ὥστε πολέμιον εἶναι). πρβ. πεπιῶτα περὶ ξίφει Σοφ. Αἴ. 828. περιπίπτοντες ἀδίκοισι γνώμῃσι Ἡρ. 1, 96 περιπ. εἰς ἀδίκους ἀποφάσεις. οὐ

πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν Θουκ. 2, 65 δὲν ὑπεχώρησαν παρὰ ἀφ' οὗ οἱ ἴδιοι, συγκρουσθέντες πρὸς ἀλλήλους ἕνεκα τῶν ἰδίων των διαφορῶν, ἐδυστύχησαν. ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω Αἰσχίν. 2, 144 περιπίπτω εἰς ἀντίφασιν πρὸς τοὺς ἰδίους μου λόγους. οἱ δὲ διασπασθέντες πολλάκις καὶ περιπίπτουσιν ἀλλήλοις Ξεν. 'Αν. 7, 3, 38 «πέφτουν ὁ ἕνας ἐπάνω εἰς τὸν ἄλλον», ἐμπίπτουσιν ἀλλήλοις. μηδ' ἐμέ τε παραβάλῃ καὶ ἄλλους ἑλόμενος. σεωυτῷ περιπέσῃς 'Ηρ. 1, 108 ἴδ. παραβάλλω.

περιπίνω: κακόν με καρδίαν τι περιπίτνει κρύος Αἰσχ. 'Επτ. 819 κακόν τι κρύος περιβάλλει τὴν καρδίαν μου: φοβερὰ ἐκρύωσεν ἡ καρδία μου: κρυερός τις φόβος καταλαμβάνει τὴν καρδίαν μου

περιπλανάω: δέρμα με περιπλανᾶται θηρός Πίνδ. 'Ι. 5, 47 κυρ. τὸ δέρμα τοῦ θηρὸς πλανᾶται περὶ ἐμέ, τ. ἔ. περιλαμβάνει με, εἶμαι ἐνδεδυμένος μὲ τὸ δέρμα τοῦ θηρίου: « ἀντὶ τοῦ παρακινεῖται (γρ. περικινεῖται) ἢ περιλαμβάνει» Σχ.

περιπλεύρῳ δὲ κύτει πυρπνόος ἔσπευδε λέαινα Εὐρ. 'Ηλ. 472, ἴδ. πυρπνόος.

περιπλίσσομαι, ἴδ. πλίσσομαι.

περίπλοος, συνῄρ. περίπλους 2: αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα τεσσάρων ἡμερῶν Θουκ. 2, 97 αὕτη ἡ γῆ ἔχει περίπλουν διὰ τῆς συντομωτάτης ὁδοῦ τεσσάρων ἡμερῶν.

περιποιέω: τῶν προσόδων περιποιεῖ 'Ισαῖ. 6, 38 ἀφίνει ὑπόλοιπον, κατὰ μέρος βάλλει τι ἐκ τῶν εἰσοδημάτων του. τὸν κλῆρον πάντα εἰς ἑαυτὸν περιεποίησε Αὐτ. 7, 6 τὴν κληρονομίαν ὅλην οἰκειοποιήθη. οὐ μόνον ἀρκεῖ ταῦτα (τὰ ὀλίγα), ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν Ξεν. 'Απ. 4, 2, 38 ἀλλὰ κάμνουν καὶ οἰκονομίας ἐξ αὐτῶν: ἔχουν καὶ περισσεύματα: βάλλουν κατὰ μέρος ὀλίγα. 'Επὶ τῆς αὐτῆς ἐννοίας μετεχειρίσθη τὸ ἐνεργ. ἐν τῷ Οἰκ. 2, 10. εἰς τὸν ἴδιον οἶκον αὐτὰς (τὰς λειτουργίας) περιποιησάμενοι Λυκ. § 139 ἐν ᾧ ἐξώδευσαν διὰ τὴν ἐκτέλεσιν τῶν λειτουργιῶν οὕτως, ὥστε τὴν ἐξ αὐτῶν δόξαν νὰ ἀπολαύσῃ μόνη ἡ οἰκογένειά των.

περιπτίσσω πτίσσων περικαθαίρω, ξεφλουδίζω τι ὀλόγυρα, ἀλωνίζω καὶ καθαρίζω σῖτον ἀπὸ τὰ ἄχυρα. Θεοφρ. 'Ι. Φ. 4, 4, 10. 9, 17 Μτφ. ἐσμὲν περιεπτισμένοι· τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω 'Αρφ. 'Αχ. 507 «οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί» Σχ., περικεκαθαρμένοι.

περιπτυχὴ τειχέων Εὐρ. Φοίν. 1369 = τειχῶν περίβολος. 'Αχαιῶν ναύλοχοι περιπτυχαί 'Εκ. 1015 «οἱ περίβολοι, ἐν οἷς ναυλοχοῦσιν οἱ 'Αχαιοί, τ. ἔ. ἐν οἷς κατεσκηνωμένοι φυλάσσουσι τὰς ναυλοχούσας αὐτῶν νῆας οἱ 'Αχαιοί, ἤτοι: τὸ ναυτικὸν στρατόπεδον τῶν 'Αχαιῶν» Δ. Βερν.

περιπτυχής 2: κεῖται κρυφαίῳ φασγάνῳ περιπτυχής Σοφ. Αἴ. 899 (πρβ. περιπετής) «περικεκυλισμένος φασγάνῳ εἰσδεδυκότι εἰς τὸ σῶμα» Σχ.

περιρραντήριον τό: μηδ' ἐντὸς τῆς ἀγορᾶς τῶν περιρραντηρίων πορευέσθω Αἰσχίν. 1, 21 μηδὲ νὰ πορεύηται ἐντὸς τοῦ χώρου τῆς ἀγορᾶς τοῦ περιλαμβανομένου ὑπὸ τῶν περιρραντηρίων. 'Αλλὰ τὸ τῆς ἀγορᾶς ὀρθῶς ὀβελίζεται· πρβ. 'Αριστείδ. 1 σ. 755 (Df).

περιρρέω: ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν Θουκ. 4, 12 ἡ ἀσπίς του ἐγλίστρησεν ὁλόγυρα ἀπὸ τὸν βραχίονά του (ἐξ οὗ ἐκρέματο διὰ τοῦ πόρπακος) καὶ ἔπεσεν εἰς τὴν θάλασσαν. σοὶ δὲ πλουσία τράπεζα κείσθω καὶ περιρρείτω βίος Σοφ. 'Ηλ. 362 καὶ ἂς εἶνε τὰ τοῦ βίου σου ἀφθονώτατα.

περίσεπτος 2 καὶ 3: (βᾶτε) γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοις, ὡς τιμαῖς καὶ θυσίαις περίσεπτα τύχητε (Kirchhoff: περισέπται τύχαι τε) Αἰσχ. Εὐμ. 1039 χωρήσατε ὑπὸ τὰ ὠγύγια σπήλαια τῆς γῆς, ἵνα διὰ τιμῶν καὶ θυσιῶν ἀπολαύσητε τύχης πολυσεβάστου.

περισκελής 2 «περιεσκληκώς» Σχ., πολὺ σκληρός· τὸν ἐγκρατέστατον σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις Σοφ. 'Αντ. 474 τὸν ἰσχυρότατον (στερεώτατον) σίδηρον, ἀφ' οὗ ὀπτηθῇ διὰ τοῦ πυρός, ὥστε νὰ γίνῃ ὡς ἐκ τοῦ πυρὸς πολὺ σκληρός, δύνασαι νὰ ἴδῃς πλειστάκις θραυσθέντα καὶ διαρραγέντα. 'Ορθῶς ὁ Πάλλης συνάπτει τὸ ἐκ πυρὸς πρὸς τὸ περισκελῆ, καὶ πρβ. 'Ηρ. 4, 73 λίθους ἐκ πυρὸς (ὡς ἐκ τοῦ πυρὸς) διαφανέας. Συνήθως συνδ. μετὰ τοῦ ὀπτόν.

περισκηνόω περιβάλλω τι ὡς σκηνήν: περῶντι λουτρὰ... φᾶρος περεσκήνωσεν Αἰσχ. Εὐμ. 637 «παρεσκήνησεν πρὸς (τ. ἔ. τὸ Χ πρὸς) τὴν συναλοιφὴν τῆς περὶ καὶ τὴν συζυγίαν τοῦ ῥήματος» Σχ., ἴδ. περάω.

περισκοπέω: τὸ αὐτίκα περισκοπῶν Θουκ. 1, 36 ἀποβλέπων (μετὰ φόβου) εἰς τὴν παροῦσαν στιγμήν.

περισοφίζομαι μέσ. ἀποθ. κυρ. περιγίγνομαι σοφιζόμενος, ἐξαπατῶ τινα· οἴμοι τάλας, οἷόν σε περισοφίζεται 'Αρφ. 'Ορν. 1646: πῶς σε ἐξαπατᾷ!

περισπερχής 2: περισπερχὲς πάθος Σοφ. Αἴ. 982 «βαρύ, ἀμηχανίαν ἐμποιοῦν, περισσῶς κατεπεῖγον» Σχ. διότι θὰ ἐσῴζετο ὁ Αἴας, ἐὰν δὲν ἔσπευδε τόσον πολύ.

περισσεύω: τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ Θουκ. 2, 65 τόσον περισσαὶ ἀφορμαὶ ὑπῆρχον εἰς τὸν Περικλέα τότε (ἐν ἀρχῇ τοῦ πολέμου), ἐξ ὧν ὁρμώμενος προεῖδεν αὐτός, ὅτι ἠδύνατο νὰ ὑπερισχύσῃ καὶ πολὺ εὐκόλως μάλιστα τῶν Πελοποννησ. μόνον διὰ τοῦ πολέμου.

περισσός, 'Αττ. περιττός: αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί Αἰσχ. 'Επτ. 1034 καὶ ἐγὼ σοὶ λέγω νὰ μὴ

κηρύττης πράγματα ἐκτὸς τῶν καθηκόντων σου εὑρισκόμενα. πρὸς ὅ τι (ἄχος) σὺ τῶν ἔνδον εἶ περισσά Σοφ. Ἠλ. 154 ὡς πρὸς τὴν ὁποίαν (λύπην) σὺ δεικνύεις εὐαισθησίαν περισσοτέραν παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ οἰκίᾳ, ἴδ. ὅστις. περισσὰ πράσσειν Ἀντ. 68 ὑπερβαίνοντα τὸ μέτρον τῆς δυνάμεως. περισσὸν οὐδὲν οὐδ' ἔξω λόγου πέπονθας Εὐρ. Ἱππ. 437 «δὲν ἔπαθες τίποτε παραπάνω ἀπ' ὅ τι καὶ οἱ ἄλλοι ἄνθρωποι» Δ. Βερν. τόδε μὲν οὔποτ' ἀξιώσω τρέσαι, περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν αἰεί Σοφ. Ἠλ. 1241 οὐδέποτε κρινῶ ἄξιον φόβου τόδε, τὸ περισσὸν βάρος τῶν ἀεὶ οἰκουρουσῶν γυναικῶν. Ἄλλοι συνδέουσι τὸ αἰεὶ πρὸς τὸ περισσόν. βάρος περισσὸν γῆς ἀναστρωφώμενοι Ἀπ. Σοφ. 859 ἀναστρεφόμενοι ὡς βάρος περιττὸν τῆς γῆς πρβ. ἄχθος ἀρούρης.

σκοπιωρέομαι (*σκοπιωρός, κατὰ τὸ θυρωρός κττ.) ἀπὸ τῆς σκοπιᾶς θεωρῶ, κατοπτεύω καὶ παραφυλάττω (Σχ.'Αρφ. Σφ. 361), περισκοπῶ, παρατηρῶ· νῦν δὲ ξὺν ὅπλοις ἄνδρες ὁπλῖται διαταξάμενοι κατὰ τὰς διόδους σκοπιωροῦνται 'Αρφ. Σφ. 359 τώρα ὅμως μὲ τὰ ὅπλα των ὁπλῖται ἐξ ἐπαγγέλματος, ἀφ' οὗ κατέλαβον τὰς καταλλήλους θέσεις κατὰ τὰς διόδους, μὲ παραφυλάττουν ξὺν ὅπλοις — ὁπλῖται (πλεῖστοι Hamaker) καλῶς, διότι οἱ ὁπλῖται ἦσαν τοιοῦτοι καὶ ἄνευ ὅπλων· ὥστε ἐνταῦθα διὰ τοῦ ἄνδρες ὁπλῖται ἐνν. ὁπλίτας ἐξ ἐπαγγέλματος (ὡς ἂν εἴποι τις κωμικῶς).

σκοπός ὁ: ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων Σοφ. 'Αντ. 215, ἴδ. ὡς.

σκορδίζω παρασκευάζω τι διὰ σκορόδου, βάζω μέσα σκόρδον· ἐσκοροδισμένοις 'Αρφ. 'Αχ. 166 σκόροδα βεβρωκόσι.

σκοτεινός 3 ὁ ἐν τῷ σκότει ὢν ἢ γινόμενος· οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς, καίπερ σκοτεινός, τήν γε σὴν αὐδὴν ὅμως Σοφ. Ο. Τ. 1325 διότι δὲν μοὶ εἶσαι ἄγνωστος, ἀλλ' ἂν καὶ εὑρίσκομαι εἰς τὸ σκότος (ὡς τυφλός), καλῶς ὅμως διακρίνω τὴν φωνήν σου «γειά». βλεφάρων σκοτεινὸν φάος ἐπικαλύψαν Εὐρ. Ἡρ. Μ. 641, ἴδ. ἐπικαλύπτω. ἀνὰ τὸ σκοτεινὸν οὐ προϊδόντων αὐτῶν Θουκ. 3,22 οἱ ὁποῖοι (κυρ. ἐν ᾧ) «μέσα εἰς τὸ σκοτάδι» δὲν τοὺς εἶδαν ἐμπρός των (πορευομένους). αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσαι πόλεις Εὐρ. Ἱκ. 324, ἴδ. εὐλαβοῦμαι. σκοτεινὸς ὀργήν 'Α. Β. 64, 5 «ὁ δόλιος καὶ οὐ φανερὸς ὀργήν». σκοτεινὸν ἀπέχων ψόγον Πινδ. Ν. 7, 61, ἴδ. ἀπέχω.

σκότιον εἰσορᾷ κνέφας Εὐρ. Βάκ. 510 σκότος ψηλαφητόν.

σκότος -ου ὁ, καὶ οὐδ. τὸ σκότος· ἀμφότερα παρὰ ποιητ. καὶ πεζ., ἀλλὰ παρὰ Θουκ. καὶ Ξεν. συχνότερον τὸ οὐδέτερον, ὡς παρὰ τραγ. καὶ κωμικοῖς τὸ ἀρσενικόν. Κατ' Εὐστάθ. (Αἰλ. Διον.) 1390 ὁ σκότος 'Αττ., αὐτ. 953 (κατὰ Παυσαν. τὰ σκότη ἐν τῇ γραφικῇ), ἴδε κατ. τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος Σοφ. Ο. Κ. 1701, ἴδ. ἕννυμι. ὁ δ' ὑπὸ γῆς Ἅιδου σκότος οὐδ' εἰς ὄνειρον ἡδὺς ἀνθρώποις μολεῖν 'Απ. Εὐρ. 533 οἱ ἄνθρ. καὶ εἰς τὸ ὄνειρόν των δὲν θέλουν νὰ ἐπισκέπτωνται τὸν ὑποκάτω τῆς γῆς σκότον τοῦ Ἅιδου. ἀλλ' ὅ τι τοῦ ζῆν φίλτερον ἄλλο, σκότος ἀμπίσχων κρύπτει νεφέλαις Εὐρ. Ἱππ. 192 «ἀλλὰ σκότος νεφέλαις ἀμπίσχων (=περιέχων, περιβάλλων) κρύπτει (=οὐκ ἐᾷ ὁρᾶν, μανθάνειν), τί ἄλλο τοῦ ζῆν ἐστι φίλτερον» Δ. Βερν. ἐνδυόμεναι (Faber: ἐνδούμεναι) κατὰ σκότον τόλμημα τηλικοῦτον 'Αρφ. 'Εκκλ. 288, ἴδ. ἐνδύω. τὸ κατὰ γᾶς κνέφας μετοικεῖν σκότῳ θανών Εὐρ. Ἱππ. 837 «οἱ ἀνήκουστα δεινὰ παθόντες βλέπουσιν ὅλα μαῦρα καὶ σκοτεινά, διὸ καὶ πρὶν ἀκόμη μεταβῶσιν εἰς τὸν αἰώνιον σκότον, ἀγαπῶσι νὰ ἐνδιαιτῶνται καὶ ζῶντες ἐν αὐτῷ (πρβ. Εὐρ. Ἱκ. 1104 κέ. Ἡρ. Μ. 1159). Τὸ σκότῳ θανών = ἐν σκότῳ θανών. Πρβ. Σοφ. Τραχ. 596 σκότῳ = ἐν σκότῳ, «λάθρα» Σχ.» Δ. Βερν. οὔτε νιν φυγόντα μητρόθεν σκότον οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω, οὔτ' ἐν γενείου ξυλλογῇ τριχώματος, Δίκη προσεῖδε καὶ κατηξιώσατο (ὅ ἴδε) Αἰσχ. Ἑπτ. 651 οὔτε αὐτὸν εἰς τὸ φῶς ἐξελθόντα (κυρ. φυγόντα ἀπὸ τὰ σκότη τῆς κοιλίας τῆς μητρός του) οὔτε ἐν τῇ ἀνατροφῇ, οὔτε ἐφηβήσαντά πω, οὔτε γενειῶντα (ἴδ. συλλογή), Δίκη προσεῖδε καὶ ἑαυτῆς ἄξιον ἔκρινε. ὁ δυσφιλεῖ σκότῳ (Scaliger: δυσφιλὴς κότῳ) λιμὸς ξύ-

νοικος μαλθακόν σφ' ἐπόψεται Ἀγ. 1641 «συγκλείσας καὶ λιμώττειν ἐάσας πραϋνῶ» Σχ. κυρ. ὁ λιμὸς ὁ σύνοικος τῷ (ἐν τῷ δεσμωτηρίῳ) μισητῷ σκότῳ ἐπόψεται αὐτὸν (τὸν μὴ πειθάνορα) μαλθακόν. ῥοπὴ δ' ἐπισκοπεῖ Δίκας ταχεῖα τοὺς μὲν ἐν φάει, τὰ δ' ἐν μεταιχμίῳ σκότου Χο. 59, ἴδε ῥοπή. νύκτα πρό τ' ὀμμάτων σκότον φέρει 813, ἴδε ὄμμα. κατ' ὄσσων κιγχάνει μ' ἤδη σκότος Εὐρ. Ἱππ. 1444 σκότος ἤδη καταχεῖται κατὰ τῶν ὀφθαλμῶν μου. Καθ' ὃ ὁ Monk ἐν Ἀπ. Εὐρ. 806 πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ με καὶ σκότος διόρθ. κιγχάνῃ. τίνα σκότον λάβω προσώπῳ; Ὀρ. 468 τί προβάλωμαι τῷ προσώπῳ, ἵνα ὦ σκοτεινός (ἵνα μὴ ὁρῶμαι); τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον Πινδ. Ἀπ. 228, ἴδ. πρόφασις. ὑπὸ σκότου τὸν φθόνον κατέσχε Ξεν. Κ. Π. 4, 6, 4 ἐκράτησε καὶ ἔκρυψεν εἰς τὸ σκότος («βαθειά») τὸν φθόνον του. «Σημείωσαι ὅτι κατὰ Παυσανίαν καὶ τὰς χρίσεις (ἴσ. χρώσεις) σκότη ἐκάλουν οἱ ζωγράφοι, ὅθεν ἀπεσκοτωμένα, φησί, τὰ ἐζωγραφημένα καὶ κεχρωσμένα ἐλέγετο» Εὐστάθ. σ. 953, 51. ταὶ μεγάλαι ἀλκαὶ σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι Πινδ. Ν. 7, 13 «αἱ μεγάλαι ἀλκαὶ (τὰ μεγάλα κατορθώματα) ὕμνων δεόμεναι σκότον πολὺν ἔχουσι, τ. ἔ. ἀφανεῖς γίνονται, ἐὰν μὴ ὑμνηθῶσιν» Σχ. βλέποντα νῦν μὲν ὄρθ' (φῶς Blaydes), ἔπειτα δὲ σκότον Σοφ. Ο. Τ. 419 βλέποντα τὰ πράγματα νῦν μὲν ὀρθά, (τ. ἔ. ὁποῖα πραγματικῶς εἶνε=ὄχι σκοτεινά, ὁποῖα δὲν εἶνε πραγματικῶς), νῦν δὲ σκοτεινά. Τὸ ὀρθά πρέπει νὰ νοηθῇ κατὰ τοιαύτην ἀντίθ. πρὸς τὸ σκότος, πρβ. Αἴ. 354. Ἴδε βλέπω. σκότον δεδορκὼς Εὐρ. Φοίν. 380 τ. ἔ. οὐδὲν βλέπων· πρβ. «βλέπει τὴν τύφλα του». ἰὼ σκότου νέφος ἐμὸν ἀπότροπον, ἐπιπλόμενον ἄφατον, ἀδάματόν τε καὶ δυσούριστον Σοφ. Ο. Τ. 1313 ἰὼ τῆς τυφλώσεώς μου (τῶν τυφλῶν σκοτεινῶν ὀφθαλμῶν μου) νέφος ἀποτρόπαιον, ἀπεριγράπτως ἐπελθόν μοι, ἀδυσώπητον (ἀνίατον) καὶ δυσμενέστατον (κυρ. μὲ ἐναντίον ἄνεμον ἐπαχθέν, παρὰ τὸ οὐρίζω, ὃ ἴδε). Περὶ τοῦ σκότου παρατηρητέον, ὅτι καὶ σήμερον λέγουσιν οἱ τυφλοί: ἐμπρός 'ς τὰ μάτια μου εἶνε ἕνα σκοτεινὸ σύννεφο κττ. ὡς δὴ σκότους (Δ. Βερν.: σκότος) λαβόντες ἐκσωθεῖμεν ἄν; Εὐρ. Ἰ. Τ. 1025 ὅπως δὴ ἐν τῷ σκότει (νυκτός) λαβόντες (τὸ ἄγαλμα) ἐκσωθείημεν ἂν (ἐμπορέσωμεν νὰ σωθῶμεν ἔξω φεύγοντες);

σκυθρωπός 3 καὶ 2 ὁ ἔχων σκυθρὰν ὄψιν, σκυθρὸν πρόσωπον· τὴν δὲ πρὸς μὲν οἰκέτας θέτο σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων κεύθουσα Αἰσχ. Χο. 733 ταύτην δὲ τὴν εἴδησιν (φάτιν) ὑπεδέχθη ἀπέναντι μὲν τῶν οἰκετῶν ὡς ἀφορμὴν σκυθρωπότητος, ἐν ᾧ ἐντὸς τῶν ὀφθαλμῶν της ἔκρυπτε γέλωτα. Δέν μοι φαίνονται ὀρθαὶ αἱ διορθώσεις θετοσκυθρωπὸν ἢ -ωπῶν κττ.

σκύλλω: γναπτόμενοι δ' Ἁλοσύδνας (Naber: ἀλὶ δεινὰ) σκύλλονται πρὸς ἀναύδων παίδων τᾶς ἀμιάντου Αἰσχ. Πέρ. 579 ὑπὸ τῶν κυμάτων ῥιπταζόμενοι κατασπαράττονται ὑπὸ τῶν ἀφώνων παίδων (τῶν ἰχθύων) τῆς ἀμιάντου Ἁλοσύδνης· «αὕτη γὰρ οὐ μιαίνεται, καίτοι πάντα ῥύπον ἐκπλύνουσα» Σχ.

σκυτάλη ἡ: ἢ σκυτάλης ἢ ὑπέρου ἢ ὅτου δὴ περιτροπή Πλ. Θεαίτ. 209Ε «ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων» Σχ. πρβ. «τὸ γουδὶ τὸ γουδοχέρι». Σκυτάλη παρὰ Λακεδαιμονίοις ἦτο εἶδος μυστικῆς ἐπιστολῆς, περὶ ἧς ὁ Πλούταρχος ἐν Λυσ. κ. 19: «ἔστι δὲ ἡ σκυτάλη τοιοῦτον. Ἐπὰν ἐκπέμπωσι ναύαρχον ἢ στρατηγὸν οἱ ἔφοροι, ξύλα δύο στρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἀπισώσαντες, ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δὲ τῷ πεμπομένῳ διδόασι. Ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. Ὅταν οὖν ἀπόρρητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον ὥσπερ ἱμάντα μακρὸν καὶ στενὸν ποιοῦντες περιελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην, οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. Τοῦτο δὲ ποιήσαντες, ἃ βούλονται καταγράφουσιν εἰς τὸ βιβλίον, ὥσπερ ἐστὶ τῇ σκυτάλῃ περικείμενον· ὅταν δὲ γράψωσιν ἀφελόντες τὸ βιβλίον ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. . . Τὴν δὲ παρ' αὐτῷ σκυτάλην λαβὼν (ἐκεῖνος) τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν, ὥστε τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθισταμένης ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν. Καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον». ἠϋκόμων σκυτάλα Μοισᾶν Πινδ. Ὀ. 6, 91 «τῶν εὐκόμων Μουσῶν ἄγγελε καὶ κήρυξ» Σχ. περὶ τοῦ ἀχνυμένη σκυτάλη Ἀπ. Ἀρχιλ. 89 ἴδ. ἄχνυμαι.

σκύτινος 3 ἐκ σκύτους, δερμάτινος· οὐδὲν ἦλθε σκύτινον ῥαψαμένη Ἀρφ. Νεφ. 538, ἴδε ῥάπτω σκυτίνη ἐπικουρία Λυσ. 110 ὄλισβος, «παρὰ τὴν παροιμίαν συκίνη ἐπικουρία, ἐπὶ τῶν ἀσθενῶν (ἴδ. Νεφ. 538)· ὁ δὲ εἰς τὴν σκυτίνην μετέβαλε, σκύτινοι γὰρ οἱ ὄλισβοι. Εἰσὶ δὲ δερμάτινα αἰδοῖα, οἷς χρῶνται αἱ χῆραι γυναῖκες» Σχ. Πρβ. Ἀθήν. 511C: «περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς φησι «Σαννυρίωνος σκυτίνην ἐπικουρίαν», (Ἀπ. Στράττ. 54)», ὅπου ὁ Στράττις σκώπτει, κατὰ τὸν Bergk, τὸν Σαννυρίωνα διὰ τὴν σκυτίνην ἐπικουρίαν τῆς κωμῳδίας του, ὅτι δηλ. ἐρράψατο τὸν ὄλισβον (ἴδ. Ἀρφ. Νεφ. 538) εἰς ἐπίδειξιν τοῖς θεαταῖς, ὅπως σώσῃ τὴν κινδυνεύουσαν κωμῳδίαν του.

σκῦτος -ους τό: σκύτη βλέπειν Ἀρφ. Σφ. 643 φοβοῦμαι τὴν μάστιγα· φοβοῦμαι νὰ μὴ ταὶς φάγω: κυτάζω τὰ πλάγια μου, διὰ νὰ μὴ ταὶς φάγω· «ἐπὶ τῶν ὑποψιαστικῶς διακειμένων πρὸς τὰ μέλλοντα κακά»

Σχ. Τὸ χωρίον: ἦ μὴν ἐγώ τι τήμερον βλέπειν σκύτη ποιήσω: ἀλήθεια ἐγὼ σήμερον θά σε κάμω νὰ βλέπῃς τὰ πλάγια σου, διὰ νὰ μὴ ταῖς φάγῃς. ἡμάρτομεν ταῦτ', ἀλλὰ συγγνώμην ἔχε· ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν Εἰρ. 669 τότε γὰρ εἴχομεν τὸν νοῦν ἡμῶν ἐν τοῖς σκύτεσι: τότε προσείχομεν τὸν νοῦν τοῖς σκύτεσι (Κλέωνος): τότε δὲν εἴχαμε τὸν νοῦν εἰς τὸ κεφάλι μας, ἀλλ' εἰς τὰ πετσιὰ τοῦ Κλέωνος, ὅστις δὲν ἤθελε τὴν εἰρήνην καὶ ἀπέπεμπε τὰς περὶ εἰρήνης πρεσβείας.

σκῶμμα τό: «καὶ κόλακι καὶ παρασίτῳ καὶ δεομένῳ δύσοιστον ἐν χρείᾳ καὶ δυσκαρτέρητον ἑαυτὸν ἐγκωμιάζων πλούσιός τις ἢ σατράπης ἢ βασιλεύς, καὶ συμβολὰς ταύτας ἀποτίνειν μεγίστας λέγουσιν, ὡς ὁ παρὰ Μενάνδρῳ: σφάττει με, λεπτὸς γίνομ' εὐωχούμενος, τὰ σκώμμαθ' οἷα τὰ σοφὰ καὶ στρατηγικά κέ.» Πλουτ. 457D (ἴδ. Ἀπ. Μεν. 563). Διορθοῦσι τὰ σκωμμάτια, τὰ σκεμμάτια, τὰ σκέμματ' ἀεί. Σχετικῶς συμφωνοτέρα πρὸς τὸ νόημα εἶνε ἡ διόρθ. τοῦ Hirschig κομπάσμαθ' οἷα, διότι ἐνταῦθα πρόκειται περὶ «ὀγκουμένων ἑαυτοῖς καὶ μεγαληγορούντων» πλουσίων ἢ σατραπῶν ἢ βασιλέων, ὡς αὐτὸς ὁ Πλούταρχος παρατηρεῖ. Ἀλλὰ βεβαίως ὁ Μένανδρος θὰ μετεχειρίσθη ἰδίαν τινὰ λέξιν, ὄχι δὲ τὴν προτεινομένην, ἥτις καὶ ἄλλως ἀφίσταται παλαιογραφικῶς. Εἰκάζω: τἀσκώμαθ' οἷα, τ. ἕ. «σφάττει με («μὲ σκοτώνει»), γίνομαι ἰσχνός, ἐν ᾧ εὐωχοῦμαι, ὅταν ἀκούω τοὺς πεφυσημένους τούτους ἀσκούς, τοὺς σοφοὺς καὶ στρατηγικοὺς (κομπάζοντας καὶ μεγαληγοροῦντας). Τὸ ἀσκώματα δύναται νὰ σημ. ἐνταῦθα καί: λόγια ἐξωγκωμένα, «φουσκωμένα», ἀνθ' οὗ λέγομεν καὶ ἡμεῖς σήμερον «ἄντερα φουσκωμένα». Εὐκόλως δὲ ἠδύνατο ἡ λέξις ἄσκωμα νὰ μεταληφθῇ ὑπὸ τοῦ Μενάνδρου ἐφ' ἧς σημασίας ἀπαιτοῦσι τὰ συμφραζόμενα. Σημειωτέον δέ, ὅτι δύο ἄριστοι κώδικες ἐκ πρώτης χειρὸς παρέχουσι σκώμαθ' ἀντὶ τοῦ σκώμμαθ', ὁ ἕτερος δὲ τούτων παρέχει τὰ στρατιωτικὰ καὶ σοφά, καὶ ὑπεράνω ἐκ γ΄ χειρὸς τὴν συνήθη γρ. τὰ σοφὰ καὶ στρατηγικά· στρατιωτικὰ δὲ εἶχεν εἰκάσῃ καὶ ὁ Herwerden.

σμάω, *σμήω. συνηρ. σμῶ, καθαρίζω, σαπωνίζω. Ἡ συναίρεσις γίνεται εἰς η· ἐπισμῇ Ἀπ. Κρατίν. 90. Ἀρφ. Θεσμ. 389, σμῆν Λουκ. Λεξ. 3, ἀλλὰ ἀποσμᾷ Αὐτ. γυμν. 29. (διασμέωντες Ἡρ. 2, 37 πλημμ. Γρ. ἀντὶ διασμῶντες). ἐξέσμων Ἡρ. 3, 148. ἔσμησα Ἀπ. Ἀλέξιδ. 187. Μέσ. σμῆται Ἀπ. Ἀντιφ. 148. νέον Ἰων. -ᾶται Ἡρ. 9, 110, σμωμένης Ἀπ. Ἀρφ. 360. ἐσμησάμην -ᾶται Ἡρ. 4, 73 (Δωρ. σμᾱσαμένα Καλλιμ. Λουτ. Παλλ. 32). Παρασχηματ. σμήχω ὡς ἐπὶ τὸ πλεῖστον Ἰων. καὶ μτγν. Ἱπποκρ. 2, 366. 8, 162. ἔσμηχον ζ 226. ἔσμηξα μτγν., ἀλλὰ ἀπ- Ἱπποκρ. 7, 24. Μέσ. σμήχομαι Αὐτ. 2, 364. Στράβ. 3 σ. 469. ἐσμηξάμην Ἱπποκρ. 8, 424. 488. Παθ. διασμηχθείς (-σμηθείς Ruth.) Ἀρφ. Νεφ. 1237. Γεωπ. 16. 15. ἐσμηγμένος Διοσκορ. 5, 95. σμηκτός Ἡσύχ., νεόσμηκτος Ν 342. ἄσμηκτος Ἀπ. Φερεκρ. 195. Τὸ παράγ. σμῆμα εἶνε τὸ Ἀττ. ἀντὶ τοῦ σμῆγμα, πρβ. σμηματοφορεῖον ἐν Ἀττ. Ἐπιγρ.

σμῑκρός 3: οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι Σοφ. Ἠλ. 414 καλῶς δὲν γνωρίζω νά σοι εἴπω παρὰ ὀλίγα τινὰ μόνον. Τὸ δ' ἐπὶ σμικρῶν θὰ ἐσήμαινε: εἰς ὀλίγα λόγια (ἄκρες καὶ μέσες) περιοριζομένη· πρβ. ταῦτα μὲν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέμου Ἡρ. 4, 129 ταῦτα ἦσαν τὰ πλεονεκτήματα, τὰ ὁποῖα (οἱ Πέρσαι ἐλάμβανον ἐπὶ βραχύν τινα (ἐπὶ βραχύτατον) χρόνον (διάρκειαν) τοῦ πολέμου (Stein). Ἄλλοι: τοῦτο μικρὸν μέν, ἀλλά τι ὅμως εἰς καλὴν προχώρησιν τοῦ πολέμου, ἐπέτυχον οἱ Πέρσαι.

σόῃ, ἴδ. σαόω.

σοῖο γεν. τοῦ σός, σόν.

σόος, ἴδ. σῶς.

σορός ἡ, ἀγγεῖον, σκεῦος, ἐν ᾧ ἐναπέθετον τὰ ὀστᾶ νεκροῦ, πρβ. Ψ 91. ‖ κωμ. = γέρων, γραῦς· ἐρᾶν ἔοικας ὡραίας σοροῦ Ἀρφ. Σφ. 1365 ὡρίμου (πρὸς θάνατον) γραίας.

σός, σή, σόν: ἐπὶ σοῖσι καθήμενος β 369 καθήμενος ἐπάνω εἰς τὰ ἰδικά σου, ἐν τῷ κτήματί σου. Ὁ Πανταζίδης πρβ. τὴν κοινὴν φράσιν: «κάθισε 'ς τ' αὐγά σου», γράφων ἅμα καὶ παρὰ Δημ. 8, 47 μένειν ἐπὶ τοῖς (ἀντὶ τοῦ τῆς) αὐτοῦ «νὰ κάθεται 'ς τ' αὐγά του καὶ νὰ μὴ ζητῇ νὰ κατακτᾷ ξένας χώρας». τῷ σῷ λόγῳ Ἀπ. Εὐπόλ. 357, ἴδ. πάσχω. καὶ τὸ σὸν σπεύδουσ' ἅμα καὶ τοὐμὸν αὐτῆς ἦλθον Σοφ. Ἠλ. 251 τὸ συμφέρον σοί τε καὶ ἐμοί. Ἴδ. σπεύδω. καλόν μοι τοῦδ' ὑπερπονουμένῳ θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ γυναικός· ἢ τοῦ σοῦ ξυναίμονος λέγω; Αἴ. 1311 ἔντιμον εἶνε εἰς ἐμέ, μᾶλλον ὑπὲρ τούτου ἀγωνιζόμενος ν' ἀποθάνω ἐν φανερᾷ μάχῃ (ἐνώπιον πάντων) ἢ ὑπὲρ τῆς σῆς γυναικός· ἢ νὰ λέγω ὑπὲρ τῆς γυναικὸς τοῦ ἀδελφοῦ σου; Τὸ τοῦ (τῆς Df) σοῦ ξυναίμονος ἐξαρτ. ἐκ τοῦ ὑπὲρ γυναικὸς ὑπονοουμένου, τὸ δὲ ἐρωτηματικὸν προσέθηκα ἐκ διορθώσεως ἄλλων. Ἡ αἰτ. τὸ σὸν εἶνε αἰτ. τοῦ κατά τι (ὡς τὸ λεγόμενον, τὸ τῆς παροιμίας)· ὡς νῦν τὸ σὸν δὴ καὶ θανεῖν πολλὴ χάρις Αἰσχ. Ἀγ. 555 ὥστε τώρα (ἐπανελθόντος δηλ. τοῦ Ἀγαμέμνονος), διὰ νὰ εἴπω (καὶ ἐγὼ) τὸν λόγον σου (544), θὰ εἶμαι πολὺ εὐχαριστημένος ν' ἀποθάνω. Ὁμοίως Πλ. Σοφ. 233 B. τοιγὰρ οὖν ἐπεὶ τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά Σοφ. Αἴ. 491 τούτων οὖν ἕνεκα, ἐπειδὴ τοῦ σοῦ λέχους ἐκοινώνησα, εὐνοῶ τοῖς σοῖς πράγμασι: «εὔνους σοι καθίσταμαι» Σχ. εἶμαι πιστῶς ἀφωσιωμένη εἰς σέ (κυρ. εἰς τὰ σὰ πράγματα). Ἡ φράσις εἶνε σπανία, ἀλλ' ἐκ τούτου δὲν ἕπεται, ὅτι εἶνε καὶ πλημμελής. Δὲν λέγει ἁπλῶς φρονῶ τὰ σά, ὅπερ δὲν εἶνε σπάνιον, ἀλλ' ἐντονώτε-

ρον εὖ φρονῶ τὰ σά, ἤτοι: «μὲ τὴν καρδιά μου», ἐν πίστει καὶ εἰλικρινείᾳ, εἶμαι μὲ τὸ μέρος σου, εἶμαι ἀφωσιωμένη εἰς ἐξυπηρέτησιν τῶν συμφερόντων σου. τὰ σ' αὐτῆς ἔργα κόμιζε Ζ 490 = τὰ σὰ αὐτῆς ἔργα κόμιζε: κύταζε τὴ δουλειά σου. Ἡ γρ. τὰ σαυτῆς (ὡς κατὰ λάθος ἐξετυπώθη ἐν τῷ κομίζω) πλημμελής, διότι παρ' Ὁμ. δὲν ὑπάρχει ἡ αὐτοπαθὴς ἀντων. σύνθετος, ἀλλ' ἐν διαστάσει.

σοῦμαι, ἴδ. σεύω. προστ. σοῦσο σπεῦδε, πρβ. τὸ ἡμέτ. «κουνήσου»· ὁ Διὸς κόρος σοῦται (σεῦται χ/φα) Σοφ. Τρ. 645 σπεύδει. οὐχὶ σοῦσθ'; (= «ὁρμᾶσθε, πορεύεσθε») οὐκ ἐς κόρακας; οὐκ ἄπιτε; Ἀρφ. Σφ. 458 δὲν κρημνίζεσθε; δὲν πᾶτε 'ς τὸν διάβολο: δὲν φεύγετε;

σοφία ἡ: ἐν τοῖς ἀγαθοῖσι πάντ' ἔνεστιν σοφίας Εὐρ. Ἄλκ. 602, ἴδ. πᾶς. σοφίᾳ γὰρ ἔκ του κλεινὸν ἔπος πέφανται Σοφ. Ἀντ. 620, ἴδ. φαίνω.

σοφίζω. Παθ. οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν Ἡσ. Ἔργ. 649 οὐδὲν οὔτε ναυτιλίας πεπειραμένος (εἰδήμων) οὔτε νεῶν ἀλλότρια τοίνυν σοφίζῃ Ἀρφ. Ἱππ. 299 ἀλλότρια (οὐκ οἰκεῖα) ἐστὶ ταῦτά σου τὰ σοφίσματα (κυρ. ταῦτα, ἃ σοφίζῃ), «ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα» Σχ. χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται 721 τουτογί (πρβ. τουτουμενί Βάτρ. 965 = τουτουὶ μέν, τουτοδί Πλ. 227 = τουτὶ δέ, νυνμενί Ὄρν. 448 = νυνὶ μέν, καὶ συχν.) σόφισμα ποιεῖται. οὐδὲν σοφιζόμεσθα τοῖσι δαίμοσι Εὐρ. Βά 200 οὐδὲν σόφισμα ἡμῶν ἰσχύει ἐναντίον τῶν δαιμόνων: ἡ σοφία ἡμῶν εἶνε ἀνωφελής, ὅταν διευθύνεται ἐναντίον τῶν θεῶν. Μᾶλλον ὧδε: οὐδὲν σόφισμα εὑρίσκομεν (ζητοῦμεν νὰ εὕρωμεν) διὰ τοὺς θεούς· ὅθεν: οὐδὲν σόφισμα ζητοῦμεν νὰ ἐφαρμόσωμεν εἰς τοὺς θεούς. Περὶ τῆς συντάξεως πρβ. Μήδ. 609. Ὁ Musgrave διώρθ. οὐδ' ἐνσοφιζόμεσθα τ. ἔ. οὐδὲ μεταχειριζόμεθα τοὺς θεούς, διὰ νὰ δεικνύωμεν τὴν σοφίαν μας. πρβ. ἐγγυμνάζομαι (Πλ Φαῖδρ. 228 Ε). Τὸ νόημα εἶνε καλόν, ἀλλὰ τὸ ἐφεξῆς (203) τὸ σοφόν προϋποθέτει μᾶλλον τὸ σοφιζόμεσθα.

σόφισμα τό, τὸ σεσοφισμένον, τὸ σοφῶς, δεξιῶς ἐσκεμμένον, σοφὸν σκέμμα, ἐπινόημα· ἀριθμόν, ἔξοχον σοφισμάτων, ἐξηῦρον αὐτοῖς Αἰσχ Πρ. 475 ἐπενόησα δι' αὐτοὺς τὸν ἀριθμὸν (ἀριθμητικήν), ὅστις εἶνε ἔξοχος ἐφεύρεσις (ἐπινόημα). εἰσβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων Ἀρφ. Βατρ. 1103, ἴδ. εἰσβολή. || ταῦτ' εἶπε τὸ Θετταλὸν σόφισμα Ἀθήν. 11 Β ἤτοι ὁ ἐκ Θετταλίας σοφιστὴς (ἃ προσθέτει αὐτὸς ὁ Ἀθήναιος). Ὁμοίως Ἀρφ. Ὄρν. 431. τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι εἰς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου; Εὐρ. Ἑκ. 258 τί σοφὸν τάχα ἐπινόημα νομίζοντες ὅτι εἶνε τοῦτο, ἐξήνεγκον θανατικὴν ἀπόφασιν ἐναντίον τῆς παιδὸς ταύτης; αἵ θ' αἱματωποὶ δεργμάτων διαφθοραὶ θεῶν σόφισμα κἀπίδειξις Ἑλλάδι Φοίν. 871 «αἵ θ' αἱματηραὶ τῶν ὀμμάτων διαφθοραὶ (ἡ τύφλωσις) θεῶν εἰσιν ἐπινόημα (μηχάνημα) καὶ παραδειγματισμὸς τῇ Ἑλλάδι (= διὰ τὴν Ἑλλάδα)» Δ. Βερν. «ἐπέδειξαν γὰρ διὰ τούτου πᾶσιν, ὅτι τοιαῦθ' ἅπαντες πάσχουσιν οἱ θεοῖς ἀπειθοῦντες» Σχ. γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός Ἀπ. Εὐρ. 842 προτιμῶ νὰ ἔχω σοφὴν γνώμην καὶ χεῖρ' ἀνδρείαν καὶ ἂς εἶμαι δύσμορφος, παρὰ ὡραῖος καὶ νὰ εἶμαι κακός. ἵν' ἀμνήμων τύχη γένοιτο πολλῶν δεομένη σοφισμάτων Φοίν. 64 ἵνα λησμονηθῇ ἡ συμφορά, δεομένη πολλῶν σοφιστικῶν δικαιολογημάτων. καὶ νῦν ἐφ' ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα Θουκ. 6,77 ὡς εἰ προηγεῖτο ἀντὶ τοῦ ἔχοντες τὸ ὁρῶντες, τ. ἔ. καὶ νῦν ὁρῶντες ἐνώπιον ἡμῶν ὄντα τὰ αὐτὰ τεχνάσματα (ἐπινοήματα, φενακισμούς). Κάδμου σοφίσμαθ' Εὐρ. Βάκχ. 30 «σοφίες, κατεργαριές, τοῦ Κάδμου», ἴδ. νυμφεύω ἐν Παραρτ. ἀντὶ τοῦ ἀποδοῦναι, σοφίσματα εὑρίσκουσι καὶ παραγραφὰς καὶ προφάσεις Δημ. 35, 2 ἀντὶ τοῦ ἀποδοῦναι (ἃ ἐδανείσαντο) ἐπινοοῦσι σοφίσματα καὶ παραγρ. καὶ προφάσεις.

σοφός 3: σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ (= φύσει, οὐ διδασκαλίᾳ) Πινδ. Ὀ 2,94. καὶ τῷ (Makefield: καίτοι) μὲν εἶ σὺ Abresch: μὲν σὺ) κάρτ' ἐμοῦ σοφωτέρα Αἰσχ. Εὐμ. 851 καὶ ὡς ἐκ τούτου (τοῦ γήρατος) σὺ εἶσαι βεβαίως σοφωτέρα ἐμοῦ· ὅπου τὸ σοφωτέρα ἔχει καλῶς λεγόμενον μετά τινος περιποιήσεως, ἐξασφαλίζεται δὲ καὶ διὰ τοῦ ἐφεξῆς στίχου. φεῦ· σοφός γ' ὁ θρέψας χὠ διδοὺς σοφώτερος Εὐρ. Ἰ. Α. 710 «Δὲν πρόκειται περὶ διδασκαλίας καὶ παιδεύσεως διανοητικῆς, ἀλλὰ περὶ ἀνατροφῆς καὶ παιδαγωγίας ἠθικῆς, ὅπως ὁ ἀνατρεφόμενος μὴ ἀπομιμηθῇ τὰ «ἤθη τῶν κακῶν βροτῶν». Ἐὰν δὲ ἐν τούτῳ, ἤτοι τῇ ἠθικῇ παιδεύσει, ἦτο σοφὸς ὁ Χείρων, σοφώτερος τοῦ Χείρωνος ἦτο ὁ Πηλεύς, ὁ συνιδὼν μὲν τὴν ἰδίαν ἑαυτοῦ ἐν τῷ παιδεύειν ἀνεπάρκειαν, ἀνευρὼν δὲ καὶ ἐκτιμήσας ἐπαξίως τὴν ἀρετὴν καὶ τὴν πρὸς μετάδοσιν αὐτῆς ἱκανότητα τοῦ Χείρωνος». Δ. Βερν. οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος Ἀπ. Σοφ. 864, ἴδε ἡμέρα. δυσειδὲς σῶμα καὶ δυσώνυμον γλώσσῃ σοφὸν τίθησιν Ἀπ. Σοφ. 85, ἴδ. δυσώνυμος. καὶ γὰρ οὐδ' ἀζήμιον γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν Εὐρ. Ἠλ. 295 οὐδαμῶς ἀκίνδυνον πρᾶγμα εἶνε νὰ ἐνυπάρχῃ εἰς τοὺς σοφοὺς γνώμη λίαν σοφή: «τοῦτο δὲ ἕνεκα τῶν κρατούντων, εἰς οὓς τυραννικοὺς καὶ ἀδίκους ὄντας ἀπαρέσκει ἡ τῶν λίαν σοφῶν γνώμη, ἐντεῦθεν δὲ οὔτε ἀζήμιος οὔτε ἀκίνδυνος οὖσα εἰς αὐτούς» Δ. Βερν. ἐξ ἀξίου γοῦν τοῦ ξύλου. . πάσχειν τοῖς σοφοῖς δοκήσετε Ἀρφ. Βάτρ. 736, ἴδ. ξύλον. σοφώτερ' (εἶπε

Φοῖβος) ἢ κατ' ἄνδρα συμβαλεῖν ἔπη Εὐρ. Μήδ. 675 = εἶπεν ὁ Φοῖβος ἔπη σοφὰ συμβαλεῖν (τ. ἔ. δυσξύμβλητα) μᾶλλον ἢ κατ' ἄνθρωπον. Καὶ οὐδ. πληθ. τῶν σοφῶν (ἐξ ὀνομ. τὰ σοφά) γὰρ οὐ πένη Αἰσχ. Εὐμ. 434 τῶν σοφῶν (τῆς σοφίας) οὐκ ἀπορεῖς. σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους 'Απ. Εὐρ. 899, ἴδ. ἐπαντλέω. σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ 'Απ. Σοφ. 13 οἱ τύραννοι σοφοί εἰσι τῷ ξυνεῖναι τοῖς σοφοῖς (ὅτι τοῖς σοφοῖς ξύνεισι). σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χαἰ σοφαὶ γνῶμαι ἐμποδίζονται θαμά Σοφ. Φιλ. 431, ἴδ. ἐμποδίζω. τὸ σοφὸν δ' οὐ σοφία τό τε μὴ θνητὰ φρονεῖν· βραχὺς αἰών Εὐρ. Βάκχ. 395 τὸ δὲ σοφίζεσθαι καὶ τὸ μὴ θνητὰ φρονεῖν οὐκ ἔστι σοφία· ὁ βίος (γὰρ) βραχύς. σοφὸν δ' ἀπέχειν . . φρένα τε περισσῶν παρὰ φωτῶν 427, ἴδ. ἀπέχω. σοφόν τι τὸ μηχανόεν τέχνας ὑπὲρ ἐλπίδ' ἔχων Σοφ. 'Αντ. 365, ἴδ. μηχανόεις. νῦν δὲ τἀπ' ἐμοῦ σοφά, δάκρυα, παρέξω Εὐρ. 'Ι. Α. 1214 νῦν δὲ ἃ εἰκὸς ἀπ' ἐμοῦ προσδοκᾶν σοφά, τὰ δάκρυα, ταῦτα παρέξω. διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς 'Απ. Σοφ. 696 εἰς τὸν διψῶντα δύνασαι νὰ προσφέρῃς ὅ τι καὶ ἂν φαντασθῇς· τίποτε δὲν θὰ τὸν τέρψῃ περισσότερον παρὰ ἂν τοῦ δίδῃς νὰ πίῃ. 'Αντὶ τοῦ διδούς ὁ Steinbach ἤκασε τι δούς. ἀνέρος ὃς πόλλ' ἐδάη σοφὰ ἀνθρώποισι νόσοις φάρμακα λυγραὶς ἀπαλαλκέμεν Θεόκρ. 28, 19 ὃς πολλὰ σοφὰ φάρμακα ἔμαθε, νόσους ὀλεθρίας (= νόσοις λυγραίς, Αἰολ. αἰτ.) ἀπαμῦναι τοῖς ἀνθρώποις (ἐνν. διὰ τῶν φαρμάκων). δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν Εὐρ. Βάκ. 480 ἐὰν λέγῃ τις φρόνιμα λόγια πρὸς ἀμαθῆ, θὰ φανῇ ὅτι δὲν εἶνε φρόνιμος. οἷόν θ' ἑπτὰ (Δ. Γ. ἔπειτα) Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα 'Απ. Τίμων. 23 (π. Διογ. Λ. 1, 34) οἷόν τ' ἔγνων τὸν ἐκ τῶν ἑπτὰ σοφῶν Θάλητα, τὸ σοφὸν ἀστρονόμημα (οἷον ἂν εἴποι τις: τὸν σοφὸν ἀστρονομίσκον· πρβ. ἄλημα καὶ ἀμφίνοος). Μετ' ἀπρφ. πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς Πινδ. Π. 8, 74 ἴδ. κορύσσω. ἐκκεκόμψευσαι· πονηρῶν (Bothe: πονηρόν) γλῶσσ' ἐπίφθονον σοφή Εὐρ. 'Ι. Α. 333 «εἰς ἄκρον κομψολογίας ἐλήλακας· ἀπεχθές ἐστι χρῆμα γλῶσσα σοφὴ πονηρῶν. Κατὰ τὸν 'Αγαμέμνονα ἡ κομψὴ γλῶσσα εἶνε καὶ σοφή, ὄχι ὅμως καὶ ἡ τῶν πονηρῶν» Δ. Βερν. ἕν τί σ' ἡγοῦμαι σοφόν Εὐρ. 'Ηρ. Μ. 207 εἰς ἓν πρᾶγμα εὑρίσκω ὀρθὴν τὴν γνώμην σου.

σόως, ἴδ. σαόω.

σπανία ἡ = σπάνις ἐν Εὐρ. 'Ρήσ. 245, ἴδε σαλεύω.

σπάνιος 3 καὶ 2: δυσπρόσιτος ἔσω τε κλήθρων σπάνιος Εὐρ. 'Ι. Α. 345 «δυσπρόσιτος (ἐκτὸς τοῦ οἴκου διὰ τὸ ἀντίθ. ἔσω τε) οἴκοι τε σπάνιος (ἰδεῖν)» Δ. Βερν.

σπᾰραγμός ὁ: διώδυνος σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο Σοφ. Τρ. 777, ἴδ. διώδυνος. τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας σπαραγμοῖς ἀπαρχὰς βάλω; Εὐρ. Φοίν. 1524 τ. ἔ. ἐπὶ τίνα πρῶτον ἀπαρχὰς ἀπὸ χαίτας βάλω (ῥίψω) σπαραγμοῖς (αὐτῆς: σπαράττουσα αὐτήν); ἴτ' ἀπ' ἐμοῦ χρωτὸς σπαραγμοῖς Εὐρ. Τρ. 453 «σπαρασσόμενοι οἱ στέφανοι ἴτε ἀπ' ἐμοῦ» Σχ.

σπᾰράσσω, 'Αττ. -άττω: τίς μ' εἶσιν ἄξων πρὶν σπαράσσεσθαι κόμης; Εὐρ. 'Ι. Α. 1458, ἴδ. πρίν.

σπαργάω ὀργάω, ποι. σπαργέω· εἶμαι πλήρης, «σπαργωμένος» (ὃ λέγει ἡ συνήθεια ἐπὶ τοῦ μαστοῦ πρβ. μαζὸς σπαργῶν Εὐρ. Βάκχ. 701), σφριγῶ. οὔτε λήμματα μοχθηρὰ καὶ πλεονεξίας μεγάλας εἰς ἐφικτὸν ἡκούσας ὑπερβῆναι ῥᾴδιον ᾧ τινι μὴ πόρρωθεν ἐνδέδεται καὶ κεκόλασται τὸ φιλοκερδές· ἀλλ' οἷς ἔξεστιν ἀνέδην εἰς τὸ κερδαλέον ἀνατεθραμμένον σπαργᾷ πρὸς τὰς ἀδικίας (οὕτως ἔγραψα: ὃ γὰρ σπαργᾷ περὶ τῆς ἀδικίας) μάλα μόλις καὶ χαλεπῶς τοῦ πλεονεκτεῖν ἀπεχόμενον Πλουτ. 585C οὔτε δύναται ῥᾳδίως ὑπερβῆναι λήμματα μοχθηρὰ καὶ πλεονεξίας μεγάλας εἰς ἐφικτὸν ἡκούσας (προσιτὰς αὐτῷ), ὅστις ἔχει τὸ φιλοκερδὲς μὴ πόρρωθεν ἐνδεδεμένον καὶ κεκολασμένον· ἀλλὰ (τοὐναντίον) ἀνατεθραμμένον (τὸ φιλοκερδὲς) ἀνέδην εἰς τὸ κερδαλέον τοῖς συγκεχωρημένοις λήμμασιν (= οἷς ἔξεστιν) φέρεται μετὰ σφοδρᾶς ἐπιθυμίας (= σπαργᾷ) πρὸς τὰς ἀδικίας, ἀπεχόμενον μάλα μόλις καὶ χαλεπῶς τοῦ πλεονεκτεῖν.

σπαρτός 3 ἐσπαρμένος· ὑμᾶς θ' ὁμοίως οὐδενὶ σπαρτῶν γένει Αἰσχ. Εὐμ. 413 ὁμοίας πρὸς οὐδὲν τῶν ἐπὶ γῆς ὄντων γεννητῶν. ἤξετ' (ἀχεῖτ' Fix) εὐγαθεῖ κελάδῳ ἐμὰν πόλιν ἐμά τε τείχη, Σπαρτῶν ἵνα γένος ἐφάνη, χαλκασπίδων λόχος Εὐρ. 'Ηρ. Μ. 792 θὰ ἔλθητε μετὰ εὐθύμου κρότου εἰς τὴν πόλιν μου καὶ τὰ τείχη μου, ἐκεῖ ὅπου ἐφάνη τὸ γένος τῶν Σπαρτῶν, τῶν χαλκασπίδων ἀνδρῶν ὁ λόχος. ἔνθ' ὁ γηγενὴς Σπαρτῶν στάχυς ἔβλαστεν 5 ὅπου ἀνεβλάστησεν ὁ ἐκ γῆς γεννηθεὶς στάχυς τῶν Σπαρτῶν. γῆν, ἥ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν Σπαρτῶν ἀνῆκεν Φοίν. 940 «εἰκονικώτατα παρέστησεν ὁ ποιητὴς τὴν γενεὰν τῶν σπαρτῶν, στάχυν μέν, ὡς ἐκ τῆς γῆς ἀναδοθέντας, χρυσοπήληκα δὲ ὡς χρυσῆν πήληκα, ἤτοι: κόρυν ἢ περικεφαλαίαν φέροντας» Δ. Βερν.

σπάω ἕλκω, τραβῶ· σπάσω Λυκόφρ. 484, ἐπι- Σοφ. Αἴ. 769, ἀπο 1024, δια- 'Ηρ. 7, 236. ἔσπασα καὶ ἄπ-. ἔσπακα μτγν. ἀπὸ τοῦ 'Αριστοτ., ἀν- καὶ 'Αττ. πεζ., κατεσπακώς 'Απ. 'Αντιφάν. 204. Μέσ. σπῶ ἐμαυτῷ· σπάσομαι Αἰσχύλ. 'Επτ. 1027 (αὕτη εἶνε καὶ ἡ πρώτη χεὶρ τοῦ Med., ἀλλὰ διώρθ. ὁ Well. πίσονται συμφώνως καὶ πρὸς τὸ σχόλ. «γεύσονται») 'Ιπποκρ. 6, 534, δια- 'Αρφ. Βάτρ. 477 καὶ μτγν. πεζ. ἐσπᾰσάμην. Πρκ. μέσ. καὶ παθ. ἔσπασμαι, δι-. παθ. ἐσπάσθην ποιητ. καὶ 'Ηρ. 6, 134. ἀπ-, δι-, κατ- 'Αττ. πεζ.

σπασθήσομαι Γαλην. 9, 186, ἀλλὰ δια- 'Αττ. πεζ. ἀντίσπαστος Σοφ. Τρ. 770, -έον 'Ιπποκρ. 6, 654. ὡς ἕκαστος ἔσπασεν τύχης πάλον Αἰσχ. 'Αγ. 345 κυρ. εἵλκυσεν, ἔσυρεν, ὅθεν: ὡς ἕκαστος ἔλαχεν: ἀναλόγως τοῦ κλήρου τῆς τύχης, ὃν ἔλαβεν ἕκαστος. σπᾶτ' ἀνδρείως 'Αρφ. Εἰρ. 498 ἕλκετε ἀνδρικῶς, τραβᾶτε σὰν ἄνδρες. σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς ἔγνων Σοφ. 'Αντ. 1003. «σπαράττοντας ἀλλήλους φονικοῖς ὄνυξι» Σχ. 'Ομοίως 258. πρβ. Ο. Τ. 1243. Κάλχας δ' ὁ μάντις εἰς κανοῦν χρυσήλατον ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας κολεῶν ἔσωθεν, κρᾶτά τ' ἔστεψεν κόρης Εὐρ. 'Ι. Α. 1565 «Κάλ. δ' ὁ μάντις σπάσας τῇ χειρὶ αὐτοῦ ἔσωθεν τοῦ κολεοῦ ξίφος ὀξὺ (ἀφ' οὗ ἔσυρε ἀπὸ μέσα ἀπὸ τὸ θηκάρι τὸ ξίφος) ἔθηκεν αὐτὸ εἰς κανοῦν χρυσήλ. καὶ ἔστεψε τὴν κεφαλὴν τῆς κόρης» Δ. Βερν. Τὸ κολεῶν ἔσωθεν συναπτέον τῷ σπάσας. — ἢ καὶ νεοσσὸν τόνδ', ὑπὸ πτερῶν σπάσας; Εὐρ. 'Ανδρ. 441 (θὰ φονεύσῃς) λοιπὸν καὶ τὸν νεοσσὸν τοῦτον, ἀφ' οὗ τὸν ἀποσπάσῃς ἀπὸ κάτω ἀπὸ τὰ πτερὰ τῆς μητρός του; ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην Σοφ. Τρ. 690 τὸ ἔχρισα ἐντὸς τῆς οἰκίας εἰς τὰ ἐνδότερα αὐτῆς κρυφὰ μὲ μαλλίον, τὸ ὁποῖον ἀπέσπασα ἀπὸ ἓν τῶν ἰδικῶν μας προβάτων. ἐσπᾶτο πέδονδε καὶ μετάρσιος 786 σπασμωδικῶς ἄλλοτε μὲν ἐκυλίετο κατὰ γῆς, ἄλλοτε δ' ἐτινάσσετο ἐπάνω. τοὺς πόδας ἑστῶτες ἐσπάσθημεν Εὐρ. Κύκλ. 635 ἐν ᾧ ἱστάμεθα ἐξηρθρώθημεν (διεστράφημεν) τοὺς πόδας. Πέργαμον. . ., λαιμοτόμου κεφαλᾶς σπάσας, πόλισμα Τροίας 'Ι. Α. 775 «σπάσας (ὁ χάλκασπις ῎Αρης) ἀπὸ λαιμοτόμου τῆς κεφαλῆς τὸ πόλισμα Τροίας: τοὺς πολίτας τῆς Τροίας ἀποκεφαλίσας (τῆς μὲν γεν. λαιμοτόμου λαμβανομένης κατηγορηματικῶς, τοῦ δὲ κεφαλῆς ἑνικῶς κειμένου διὰ τὸ πόλισμα Τροίας)» Δ. Βερν. ὥστ' ἐν γάλακτι (τὸν δράκοντα) θρόμβον αἵματος σπάσαι Αἰσχ. Χο. 531 ὥστε νὰ ἐκμυζήσῃ ἐν τῷ γάλακτι θρόμβον αἵματος. συνεκθανεῖν σπῶντα χρὴ τῷ πώματι Εὐρ. Κύκ. 571, ἴδ. συνεκθνήσκω. ἔσπασεν ἄμυστιν ἑλκύσας 417, ἴδ. ἄμυστις. Καὶ μτφ. 'Ομηρικὸν ὅς τ' ἀπὸ ῥεῦμα ἔσπασας οἰκείοις, Στησίχορ', ἐν καμάτοις 'Ανθ. 9,184 καὶ σύ, Στησίχορε, ὃς ἀπέσπασας 'Ομηρικὸν ῥεῦμα (οἷον ἐκ τοῦ 'Ομηρικοῦ ποταμοῦ καὶ ἔστρεψας αὐτὸ ὥστε ῥεῖν) ἐν τοῖς οἰκείοις πόνοις· τ. ἔ. εἶσαι ἄλλος ῞Ομηρος ἐν τῷ σῷ εἴδει. ἵλατε, πάσης ἀρχὴν οἳ λυρικῆς καὶ πέρας ἐσπάσατε Αὐτ. στ. 10 ἵλεῳ (εὐμενεῖς) ἔστε (ὑμεῖς), οἳ ἐξεμυζήσατε(;), ἐξηντλήσατε, τὴν ἀρχὴν καὶ τὸ πέρας πάσης λυρικῆς ποιήσεως. Κατὰ τὸν Wilamow. τὸ ἐσπάσατε ἐνταῦθα εἴρηται κατὰ μτφ. ἐκ τοῦ σπᾶν κλῆρον ἢ δίκτυον, παραφράζει δέ: οἳ τὴν λυρικὴν πᾶσαν εὕρετε καὶ ἐτελειώσατε. 'Ο Meineke διώρθ. ἐστάσατε τ. ἔ. ὑμεῖς καθιδρύσατε (κατεστήσατε) τὴν ἀρχὴν καὶ τὸ τέλος πάσης λυρικῆς ποιήσεως: ὑμεῖς ἔστε τὸ Α καὶ τὸ Ω πάσης λυρικῆς ποιήσεως: ὑμεῖς μὲν εὕρετε, ὑμεῖς δὲ ἐτελειώσατε τὴν λυρικὴν ποίησιν. ῎Αλλως· ἀλλά σ' ἔσπασεν πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τὰ νῦν ξύνει Σοφ. 'Ηλ. 561 ἀλλά σε παρέσυρε πειθὼ ἐκ μέρους κακοῦ ἀνδρός, μὲ τὸν ὁποῖον τώρα συζῇς. (ἡ μήρινθος) οὐκ ἔσπασεν ταύτῃ γε 'Αρφ. Σφ. 175 κατὰ λέξιν: ἡ μήρινθος (ὡς Θεσμοφ. 928) κατὰ τοῦτον τοὐλάχιστον τὸν τρόπον δὲν ἔσυρε τίποτε, (τὸ ψάρι) δὲν ἔπιασε τὸ δόλωμα, δὲν ἐπέτυχε· ἴδ. μήρινθος. Τὸ ὑπὸ Herw. μνημονευόμενον ἐκ τοῦ Θεοφυλ. Σιμ. 'Ιστ. 6, 5, 11 καὶ μέγιστον τάραχον ἔσπασε = ἐταράχθη, δύναται νὰ παραβληθῇ πρὸς τὸ καθωμιλημένον: «ἐτράβηξε τὸν διάβολό του».

σπεῖο ἀόρ. πρ. τοῦ ἕπομαι.

σπείρω, σπερῶ, ἔσπειρα, ἔσπαρκα Πολύαιν. 2, 1. Παλ. Δ. Μέσ. σπείρασθαι μτβ. 'Απολλ. 'Ρ. 3, 1028. Παθ. ἐσπάρην (διεσπάρθησαν Ξεν. 'Αν. 4, 8, 17 εἶνε πληυ. Γρ. ἀντὶ τῆς -άσθησαν). σπαρήσομαι Παλ. Δ., δια- Διόδ. Σ. 17,69. Γαλην. 3,637. ἔσπαρμαι, δι-. σπαρτός Σοφ. Ο. Κ. 1534, -τέον μτγν. ματρὸς ἁγνὰν σπείρας ἄρουραν Αἰσχ. 'Επτ. 738, ἴδ. ῥίζα. ἥδ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' ἔρον Εὐρ. 'Ιππ. 449 «τὸ σπείρουσα ληπτέον ἀπολύτως: σπείρουσα τὰ πάντα, ἤτοι: αἰτία πάσης σπορᾶς· τὸ δὲ διδοῦσ' ἔρον, διότι ἄνευ ἔρωτος οὔτε σπορὰ οὔτε προκοπὴ σπορᾶς. 'Εὰν δὲ πρωθυστέρως ἐτάχθη, τούτου οὐδ' ἐφρόντισε κἂν ὁ Εὐριπ.» Δ. Βερν. μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ Εὐρ. Φοίν. 18, ἴδ. ἄλοξ. νειὸν σπείρειν ἔτι κουφίζουσαν ἄρουραν 'Ησ. ῎Εργ. 463 νὰ σπείρῃς τὸ νέον χωράφι, ἐν ᾧ ἡ γῆ εἶνε ἀκόμη ἐλαφρὰ (ἐν ᾧ αἱ βῶλοι εἶνε ἀκόμη ἀραιαί). Πρβ. Οὐεργιλ. Γεωργ. 1, 44 κέ. σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδόν, Βερέκυνθα χῶρον 'Απ. Αἰσχ. 158 σπείρω ἄρουραν, ἣν ἵνα διέλθῃ τις χρειάζεται δώδεκα ἡμέρας, τὸν Βερ. χῶρον. ἔσπειρεν ἡμῖν παῖδα Εὐρ. Φοίν. 22 = ἐπαιδοσπόρησεν. οὐκ αἰδῇ θεοὺς Κάδμον τε τὸν σπείραντα γηγενῆ στάχυν; Εὐρ. Βάκ. 263 δὲν σέβεσαι τοὺς θεοὺς καὶ τὸν Κάδμον, ὅστις ἔσπειρε τὸν ἐκ τῆς γῆς γεννηθέντα στάχυν; (κατὰ βραχυλογίαν ἀντί: ὅστις ἔσπειρε τοὺς ὀδόντας τοῦ δράκοντος, ἐξ ὧν ἀνεβλάστησεν ὁ στάχυς τῶν Σπαρτῶν). Πρβ Φοίν. 939. καὶ Βάκ. 1025: ὃς (γέρων) τὸ γηγενὲς δράκοντος ἔσπειρ' ὄφεος ἐν γαίᾳ θέρος: ὃς ἔσπειρεν ἐν τῇ γῇ τοῦ γηγενοῦς ὑπερμεγέθους (= δράκοντος) ὄφεως τοὺς ὀδόντας (οἷον βλάστημά τι θεριζόμενον). Τὸ δράκοντος εἶνε τὸ γένος, τὸ δὲ ὄφεος τὸ εἶδος· πρβ. σῦς κάπρος, ταῦρος βοῦς κττ. 'Η διόρθ ῎Αρεος ἀντὶ τοῦ ὄφεος περιττή. μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ σπείρῃ ματαίαν βάξιν εἰς πᾶσαν πόλιν Σοφ. 'Ηλ. 641 ἵνα μὴ φθόνῳ καὶ λαλιᾷ πολλῇ χρωμένη διασπείρῃ κε-

νὴν φήμην εἰς πᾶσαν πόλιν. τοιόνδ' εὑρόντες ἀλεξίκακον τῆς χώρας τῆσδε καθαρτήν, πέρυσιν καταπρούδοτε καινοτάταις σπείραντ' αὐτὸν διανοίαις 'Αρφ. Σφ. 1044 καὶ ὅμως τοιοῦτον ἀλεξίκακον ἄνδρα εὑρόντες καὶ καθαρτὴν ταύτης τῆς χώρας, πέρυσιν ἐπροδώσατε αὐτὸν ἐξευτελιστικῶς («ὅτι διδάξας τὰς πρώτας Νεφέλας ἡττήθη» Σχ.), ἐν ᾧ διέσπειρεν εἰς τὸν τόπον νεωτάτας ἰδέας. μὴ σπεῖραι πολλοῖς τὸν παρόντα δαίμονα· σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων 'Απ. Σοφ. 592 μὴ διάσπειρε (διαδίδου) πολλοῖς τὴν παροῦσαν συμφοράν· σιγωμένην (ἐν σιωπῇ) γὰρ πρέπει θρηνεῖσθαι. σπείρων θεοκτίσταν φλόγα 'Απ. Τραγ. (ἢ Λυρικοῦ) ἀδ. 85, ἴδ. θεόκτιστος.

σπένδω ἐκχέω, κάμνω σπονδήν. ὑπ. -δησθα δ 591, σπείσω μτγν., ἀλλὰ κατα- Εὐρ. 'Ορ. 1187. 'Ηρ. 2,151. ἔσπεισα (σπείσασκε θ89). κατεσπεικώς Πλουτ. Σερτ. 14. Μέσ. κάμνω συνθήκην, συμφωνίαν (οὔτε παρ' 'Ομήρῳ οὔτε παρ' 'Ησιόδῳ). σπείσομαι, ἐσπεισάμην. Πρκ. μέσ. καὶ παθ. ἔσπεισμαι. 'Αόρ. παθ. ἐσπείσθην μτγν. Πλουτ. 'Ρωμ. 19 καὶ 'Ανδ. κατ- 'Ανθ 7,27. σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν Εὐρ. Μήδ. 1140 ὅτι σὺ καὶ ὁ σύζυγός σου ἔχετε διαλύσῃ τὸ πρὶν νεῖκος καὶ εἰρηνεύσῃ. Μαντινῆς καὶ οἷς ἔσπειστο Θουκ. 3,111 Μαντινῆς καὶ οὗτοι, οἷς («μὲ τοὺς ὁποίους») σπονδαὶ ἐγεγένηντο. ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς 3, 24 ἐζήτουν σπονδὰς ποιεῖσθαι, ὅπως ἀναιροῖντο τοὺς νεκρούς· ἴδ. ἀναιρέω. ὁ δὲ τῇ πρεσβείᾳ σπένδεται Αἰσχίν. 3, 63 ὁ δὲ (Δημοσθένης) συνομολογεῖ συνθήκην μὲ τοὺς πρέσβεις. ἐπέδειξεν αὐτόν, ὅτι περὶ πλείστου ποιοῖτο, εἴ τῳ σπείσαιτο καὶ εἴ τῳ συνθοῖτο καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδαμῶς ψεύδεσθαι Ξεν. 'Αν. 1, 9, 7 τὸ εἴ τῳ σπείσαιτο ἀθετεῖται ὑπὸ τοῦ Hug, πρὸς ὃν ἀντιπαρατηρεῖ Πανταζίδης τάδε: «δὲν εἶνε ὅλως ταυτόσημον (τὸ σπείσαιτο) πρὸς τὸ συνθοῖτο ἢ ὑπόσχοιτο· ἀλλὰ καὶ τὰ τρία ῥήματα σημ. τρεῖς διαφόρους περιστάσεις, καθ' ἃς γίνεταί τις συμφωνία· καὶ ὑπισχνεῖται μέν τις, ὅταν ἀναλαμβάνῃ νὰ ἐκπληρώσῃ αἴτησίν τινα· συντίθεται δέ, ὅταν πρός τινα συμφωνῇ νὰ πράξῃ τι ἀμοιβαίως εἴτε ἐν εἰρήνῃ εἴτε ἐν πολέμῳ, εἴτε μεθ' ὅρκου ἢ σπονδῶν ἢ καὶ ἄνευ τούτων. σπένδεται δέ, ὅταν πόλεμος διακόπτεται ἢ καταπαύεται ὑπὸ ὅρους διὰ σπονδῶν κυρουμένους. Δὲν εἶνε λοιπὸν περιττὸν τὸ εἴ τῳ σπείσαιτο». κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς, Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασι Εὐρ. 'Ορ. 1680 κἀγὼ τοιαῦτα φρονῶ (οὕτω διάκειμαι)· φιλιοῦμαι δὲ ταῖς συμφοραῖς («φιλίως καὶ ἀποδέκτως τὸ συμβὰν δέχομαι»), Μενέλαε, καὶ τοῖς σοῖς, Λοξία, προστάγμασι (χρησμοῖς). σπεῖσον ἀγαθοῦ δαίμονος 'Αρφ. 'Ιππ. 106 ἐνν. σπονδὴν (ἴδ. 'Αθήν. 693Β κέ)· ἄλλοι ἐνν. κρατῆρα· ἴδ. ἀγαθός. εἴη δὲ τρίτον σωτῆρι πορσαίνοντας 'Ολυμπίῳ Αἴγιναν κάτα σπένδειν μελιφθόγγοις ἀοιδαῖς Πίνδ. 'Ι. 6 (5), 7 εἴη δὲ ἡμῖν τρίτον κρατῆρα παρέχοντας τῷ σωτῆρι Διὶ σπένδειν αὐτὸν κατὰ τὴν Αἴγιναν ᾠδαῖς μελιφθόγγοις χρωμένους: εἴθε ἐν Αἰγίνῃ ἑτέραν 'Ολυμπιακὴν νίκην ἑορτάσαιμεν. «Τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον.. τὸν μὲν γὰρ πρῶτον Διὸς 'Ολυμπίου ἐκίρνασαν, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος» Σχ. ἴδ. καὶ Σουΐδαν (ἐν λ. τρίτος κρατήρ).

σπέρμα τό: σπέρμα πυρὸς σῴζων ε 490 διατηρῶν, διασῴζων (τ. ἔ. βουλόμενος διασῴζειν) ἔναυσμα πυρός. σπέρμα σεμνᾶς μέγα ματρὸς εὐνὰς ἀνδρῶν ἄγαμον ἀδάματον ἐκφυγεῖν Αἰσχ. 'Ικ. 147 ἵνα τὸ σπέρμα τῆς σεμνοτάτης μητρὸς ἄγαμον ἀδέσποτον ἐκφύγῃ τὰς εὐνὰς τῶν ἀνδρῶν. τοὐμὸν δ' ἐγώ, κεἰ σμικρόν ἐστιν, σπέρμ' ἰδεῖν βουλήσομαι Σοφ. 'Ο. Τ 1077 ἐγὼ δὲ τὸ ἐμὸν γένος, καὶ εἰ σμικρόν ἐστιν, ἐπιθυμῶ ἰδεῖν. Τὸ βουλήσομαι = ἐθελήσω, τ. ἔ. πάντως θὰ ἴδω, θ' ἀποφασίσω νὰ ἴδω. 'Ομοίως Αἴ. 681. Ο. Κ. 1289. δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου Αἰσχ. Χο. 235, ἴδε δακρυτός. σπέρματός τ' ἀποφθοραὶ παίδων Εὐμ. 187, ἴδ. χλοῦνις. μνήμην παλαιῶν σπερμάτων ἔχουσα Σοφ. Ο. Τ. 1246 μεμνημένη τοῦ πάλαι σπαρέντος (υἱοῦ, τοῦ Οἰδίποδος). Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα Θουκ. 5,16 «ἀπόγονον» Σχ. ὁ τὸ σπέρμα παρασχών, οὗτος τῶν φύντων [κακῶν] αἴτιος Δημ. 18, 159 ὁ παρασχὼν τὸ σπέρμα, οὗτός ἐστιν αἴτιος τῶν ἐκ τούτου γενομένων. Γενικῶς. 'Ορθῶς λοιπὸν τὸ κακῶν ὀβελίζεται καὶ ἐν τοῖς χ/φοις.

σπέρρω Αἰολ. = σπείρω.

σπέρχω ὠθῶ, ἐπείγω, ἐπισπεύδω, ἐπ. ποιητ. καὶ νέον 'Ιων., ἐν συνθ. καὶ 'Αττ. πεζ., ἀλλὰ σπαν., μόνον ἐνεστ. καὶ παρατ. ἔσπερχον Λουκ. Τραγῳδ. 236. ἐπέσπερχον Θουκ. 4,12. Μέσ. ἐπείγομαι, «βιάζομαι», ταράττομαι· ἐπ. ποιητ. καὶ νέ. 'Ιων., μόνον ἐνεστ. παρατ. ('Ηρ. 5, 33. σπερχοίατο γ 283) καὶ σπερχθείς Πίνδ. Ν. 1, 40. 'Ηρ. 1, 32. Τὸ περισπερχέω (παρὰ τὸ περισπερχής) 'Ηρ. 7, 207 ἀγανακτῶ, εἶνε ἀμφίβολον. σπερχθεῖσα θυμῷ Πίνδ. Ν. 1, 40 ἐξοργισθεῖσα, «ταραχθεῖσα τῇ ψυχῇ καὶ ὑπερζέουσα τῷ θυμῷ» Σχ.

σπέσθαι ἀόρ. τοῦ ἕπομαι.

σπεύδω ἀμτβ. καὶ μτβ. ὁμαλόν· σπεύσω, ἔσπευσα, ἔσπευκα καὶ ἐσπευκώς Παυσ. 7, 15, 5. Πλουτ. περὶ τοῦ Σωκρ. δαιμ. 13. Μέσ. ἐπὶ τῆς αὐτῆς σημ. ἐπ. ποιητ. σπεύσομαι Ο 402. Παθ. ἔσπευσμαι μτγν. πεζ. σπευστός 'Α. Β. 1, 63, 3, -στέον 'Αρφ. Λυσ. 320. μὴ βίον ἀθάνατον σπεῦδε Πίνδ. Π. 3, 62 «μὴ ἐπ' ἀθάνατον σπεῦδε βίον» Σχ. εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας Εὐρ. 'Ικ. 161 ἐπὶ τὴν εὐψυχίαν ἔσπευσας, δέον ἐπὶ τὴν εὐβουλίαν: ἤκουσας μᾶλλον τὴν εὐψυχίαν σου ἢ τὴν εὐβουλίαν. τί σοί ποτε τᾶς ἀπλήστου

(Δ Γ. ἀπλάστου) κοίτας ἔρος, ὦ ματαία, σπεύσει θανάτου; τελευτᾶν; (Δ. Βερν.: σπεύσει θανάτου τελευτάν) Εὐρ. Μήδ. 151 «τί ποτε (= σὰν τί τάχα) παρέξει σοι ἐπισπεύδων ὁ ἔρως τῆς ἀκορέστου κοίτης τοῦ θανάτου (ἤτοι τοῦ Ἅιδου) ὦ μελέα (ἤτοι: ὦ τάλαινα); τελευτάν; (ἀπὸ κοινοῦ τὰ προρρηθέντα, ἤτοι: τὸ τελευτὰν σοι παρέξει ἐπισπεύδων ὁ τῆς ἀκορέστου κοίτης τοῦ θανάτου σὸς ἔρως;)» Δ. Βερν. πάρεστι δ' ἔργον ὡς ἔπος, σπεῦσαί τι τῶν βούλιος φέρει φρήν Αἰσχ. Ἰκ. 605 τὸ ἔργον εἶνε δι' αὐτὸν ἕτοιμον (πρόχειρον), ὡς ὁ λόγος («ἅμα τῷ λόγῳ ἡ πρᾶξις» Σχ.), ὥστε νὰ ἐπισπεύσῃ (ταχέως νὰ πράξῃ τι) ἐξ ἐκείνων, τὰ ὁποῖα φέρει ἡ βουλευομένη φρὴν αὐτοῦ. ἐγὼ γὰρ εἰς τοὺς πλουσίους σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς Ἀρφ. Ἱππ. 926 ἐγὼ γὰρ σπουδάσω, ὅπως ἂν σύ (ὁ κατὰ πρόληψιν συνετάχθη τῷ σπεύσω) ἐγγραφῇς εἰς τοὺς πλουσίους. ταμὰ σπεύδεις φίλα Εὐρ. Ἡρ. Μ. 1409 ἡ ἐπιθυμία σου συμβιβάζεται μὲ τὴν ἰδικήν μου. πᾶσα δὲ ζητεῖ πόλις τὴν ἀθλίως σπεύσασαν ἀθλίαν ὁδόν Ἴων. 1226 πᾶσα ἡ πόλις ζητεῖ τὴν ἀθλίως ἐλθοῦσαν μετὰ σπουδῆς ταύτην τὴν ἀθλίαν ὁδὸν (ἀπ' Ἀθηνῶν εἰς Δελφούς, ὅπως δηλ. ἐκτελέσῃ τὸν φόνον τοῦτον). Διάφορον: δῆλος ἦν ὡς σπεύδων πᾶσαν τὴν ὁδόν Ξεν. Ἀν. 1, 5, 9 καθ' ὅλην τὴν ὁδὸν ἐφαίνετο (εἰς ὅλους) ὡς ἄνθρωπος σπεύδων (βιαζόμενος) σπεύδει δ' ἀσπούδαστ' ἐπὶ σοὶ δαίμων Εὐρ. Ἰ. Τ. 201 «σπεύδει δ' ἀσπούδαστα (= ἃς οὐ χρῆν αὐτὸν σπεύδειν σπουδάς, ἤτοι: ἀπαισίους, κακάς) ἐπὶ σοὶ (Ὀρέστα) ὁ δαίμων (ἤτοι: ἡ ποινή, ἡ Νέμεσις)» Δ. Βερν. Δημοκρίτου σπεύσαντος Ἡρ. 8, 46 ἐνν. αὐτούς: τοῦ Δημ. παρακινήσαντος αὐτούς. μηκέτι μακροτέραν σπεύδειν ἀρετάν Πινδ. Ἰ. 3, 31 μηκέτι σπεύδειν ἐπὶ τὴν ἀρετὴν διὰ μακροτέρας ὁδοῦ. σπεύσω βραδύπουν ἤλυσιν ἄρθρων προτιθεῖσα Εὐρ. Ἑκ. 66, ἴδ προτίθημι. τοιάδε σπεύδων χάριν πέπονθα τὴν σὴν πολέμιόν τε σὸν κτανών Αὐτ. 1175 «τοιάδε πέπονθα, τῆς σῆς χάριτος σπουδὴν ἔχων (= σοὶ σπουδάζων χαρίζεσθαι) πολέμιόν τε τὸν σὸν κτανών» Δ. Βερν. Καὶ μετ' ἀπρφ. σπεύσατε ..Τεῦκρον ἐν τάχει μολεῖν Σοφ Αἴ. 804 ὅπερ δυνατὸν νὰ σημαίνῃ καί: σπεύσατε, ὅπως ὁ Τεῦκρος ἔλθῃ ταχέως, καὶ: ἐπισπεύσατε (βιάσατε) τὸν Τεῦκρον νὰ ἔλθῃ ταχέως. σπεύδομεν αἴδ' (Döderlein: σπευδόμεναι δ') ἀφελεῖν τινα τάσδε μερίμνας Αἰσχ. Εὐμ. 361 ἡμεῖς ἐδῶ σπεύδομεν ν' ἀπαλλάξωμέν τινα (δηλ. τὸν Δία καὶ τοὺς ἄλλους θεούς) τούτων τῶν μεριμνῶν. κοὐ σπεύδουσιν εἰς τὰ πράγματα Εὐρ. Ἴων. 599 καὶ δὲν σπεύδουν νὰ ἐκφέρουν κρίσεις περὶ τῶν πραγμάτων. καὶ τὸ σὸν σπεύδουσ' ἅμα καὶ τοὐμόν Σοφ. Ἠλ. 251 καὶ διὰ τὸ ἰδικόν σου καλὸν καὶ διὰ τὸ ἰδικόν μου συγχρόνως φροντίζουσα. εἰς γὰρ δή τιν' ἥκομεν λόγον, ὑμῖν τ' ὄνησιν, ὦ ξένοι, σπεύδουσ' (Musgr.: σπουδῆς) ἅμα κἀμοί Εὐρ. Ἰ. Τ. 578 «τὸ μὲν λόγον = λογισμόν, τὸ δὲ ὑμῖν. . κἀμοί = τήν θ' ὑμετέραν καὶ τὴν ἐμὴν ἅμ' ὄνησιν (= ὄφελος) σπεύδουσα» Δ Βερν. ἤτοι: ἐπισπεύδουσα τὴν ὑμετέραν καὶ τὴν ἐμὴν ἅμ' ὄνησιν ἥκω (= ἥκομεν) εἰς δή τινα λογισμόν. ὧν ἐπίνοιαν σπεύδεις κατέχων πράξεις Μήδ. 761, ἴδ. ἐπίνοια. ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα ι 250, ἴδε πονέω. σπευδομένα θυσίαν Αἰσχ. Ἀγ. 157 ἐπισπεύδουσα δι' ἑαυτὴν θυσίαν· ἴδ. σύμφυτος.

σπλάγχνον τό, συνήθ. πλ. σπλάγχνα, τὰ ἐντόσθια, ἰδίως τὰ εὐγενέστερα, καρδία, ἧπαρ, πνεύμων· καὶ μτφ. ἡ καρδία, ἡ ψυχή· «τὰ μέσα, ἐν τῇ φράσει: εἶνε κακὰ τὰ μέσα του (= ἔχει κακὴν ψυχήν, εἶνε κακῆς διαθέσεως ἄνθρωπος), ἤτοι: ὁ ἔσω ἄνθρωπος, τὸ ἀληθὲς καὶ πραγματικὸν αὐτοῦ ἦθος» Δ. Βερν. ἑρμηνεύων τὸ Εὐρ. Μηδ. 220 ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν). ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς Ἴαμος ἐς φάος αὐτίκα Πινδ. Ὀ. 6, 43 Ἴαμος δ' αὐτίκα ἦλθεν εἰς φῶς (ἐγεννήθη) ἐκ τῶν σπλάγχνων (κυρ. ὑποκάτω ἀπὸ τὰ σπλάγχνα) καὶ ἐξ ὠδῖνος ἐπεράστου. δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν Αἰσχ. Ἑπτ. 1022 μεγάλην δύναμιν ἔχει τὸ κοινὸν σπλάγχνον, ἐξ οὗ ἐγεννήθημεν. σπλάγχνων ἀπέχεσθαι Ἀρφ. Σφ 654 = ἀπέχεσθαι θυσιῶν (ἔδει τὸν ἀνδροφόνον). σπλάγχνα δ' οὔτοι ματάζει Αἰσχ Ἀγ. 984, ἴδ. ματάζω. σπλάγχνα δέ μου κελαινοῦται πρὸς ἔπος κλυούσῃ Χο. 412 ἡ δὲ καρδία μου ταράσσεται πρὸς τὸν σὸν λόγον, ἐπὰν ἀκούσῃ αὐτοῦ: ἡ καρδία μου γίνεται μαύρη ἀπὸ τὰ λόγια σου, ὅταν τὰ ἀκούω. μομφὰς οὐχ ὑπὸ σπλάγχνοις ἔχειν Εὐρ. Ἄλκ. 1012 τὰς μομφὰς (τὰ παράπονα) νὰ μὴ τὰ φυλάττῃς μέσα σου (μέσα 'ς τὴν καρδιά σου). σπλάγχνον εὔτονον (ἔντονον) Ἱππ. 118 «τὸ ἔντονος εἶνε αὐτὸ τοῦτο ἐντονώτερον τοῦ εὔτονος, διότι ἐκεῖνο μὲν = ὁ ἐντεταμένην ἔχων τὴν δύναμιν, τὸ δ' εὔτονος = ὁ εὖ τόνου καὶ δυνάμεως ἔχων· ὅθεν καὶ σπλάγχνον ἔντονον ὁρμήματα ἰσχυρὰ καὶ ἀκάθεκτα, αἰσθήματα καὶ φρονήματα ἐξημμένα καὶ ὑπερβολικά, ἐν ᾧ τὸ σπλάγχνον εὔτονον = φρονήματα καὶ αἰσθήματα ζωηρά, ἰδ. ἐπὶ νέου θρασέος ἢ ἄφρονος» Δ. Βερν.

σπλήν ὁ: οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν, παρὰ σοῦ πυθέσθαι ποῖ μ' ἄγεις; Ἀρφ. Θεσμ. 3 εἶνε δυνατόν, πρὶν βγάλω τὰ ἔντερά μου (ἀπὸ τὸ τρέξιμον), νὰ μάθω παρὰ σοῦ ποῦ με ὁδηγεῖς;

σποδέω «παίω» Ἡσ., συντρίβω· στρατοῦ χειμῶντος καὶ κακῶς σποδουμένου Αἰσχ. Ἀγ. 675 κακῶς διακειμένου, κατασυντετριμμένου στρατοῦ, «διασκεδασθέντος δίκην σποδοῦ» Σχ. σποδούμενος πρὸς πέτραις φίλον κάρα Εὐρ. Ἱππ. 1238 τυπτόμενος τὴν κεφαλὴν πρὸς ταῖς πέτραις. κἄπειτ' ἔφλα με κἀσπόδει

κάπνιγε κάπέτριβεν 'Αρφ. Νεφ. 1376 καὶ ἔπειτα μὲ ἐκοπάνιζε καὶ ἐκυλοῦσε μέσα εἰς τὴν σκόνιν καί με ἔσφιγγε δυνατὰ καὶ (μὲ τοὺς γρόνθους του) μοῦ ἔτριβε (ξετίναζε) τὴν προβειά. συντρίψω γὰρ αὐτοῦ τοὺς χόας, καὶ τοὺς καδίσκους συγκεραυνώσω σποδῶν 'Απ. Κρατίν. 187 ('Αθήν. 494 C) καὶ τοὺς καδίσκους ὡσὰν διὰ κεραυνοῦ θὰ ἐξαφανίσω: «θὰ τοὺς κάμω σκόνι καὶ στάκτη» (ἐν Λέσβῳ: «άχλιά, ἤτοι: αἰθάλην, τσὶ σκούν(ι)»).

σποδός ἡ, τέφρα ὑφ' ἣν ὑπάρχουσιν ἔτι ζώπυρα πυρός· νῦν λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου Αἰσχ. Χο. 682 νῦν αἱ πλευραὶ τοῦ χαλκοῦ λέβητος κρύπτουσι τὴν σποδὸν ἀνδρὸς καλῶς θρηνηθέντος. ἀμφὶ σποδὸν κάρα κεχύμεθα Εὐρ. Ἱκ. 826 = περικεχύμεθα σποδὸν τῇ κεφαλῇ: ἔχομεν περιχύσῃ τὴν κεφαλήν μας μὲ σποδόν. μέγιστον σῶμα δειλαίας σποδοῦ Σοφ. 'Ηλ. 758 (φέρουσι) τὸ μέγιστον σῶμα, τὸ ὁποῖον κατήντησεν ἀθλία σποδός· κυρ. τὸ συναποτελούμενον ἐξ ἀθλίας σποδοῦ. 'Ανώμαλος ἡ σύνταξις.

σπονδή ἡ: σπονδὰς ποιήσασθαι Πλ. Συμπ. 176 A = σπείσασθαι. τὰς τρίτας σπονδὰς ποιήσαντες Ξεν. Κ. Π. 2, 3, 1 = σπείσαντες τὰς τρίτας σπονδάς. 'Εν τοῖς Ἑλλ. συμποσίοις προσεφέροντο τρεῖς σπονδαί, περὶ ὧν ἴδε Σχ. Πινδ. 'Ι. 5(6),10, ἐν τῷ σπένδω. Περὶ δὲ τῆς διαφορᾶς τοῦ σπονδὰς ποιεῖν καὶ τοῦ σπονδὰς ποιεῖσθαι ἴδ. ποιῶ σελ. 1008 a. τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε σπονδὰς ποιῆσαι 'Αρφ. 'Αχ. 58 ἡμῖν παρασκευάσαι σπονδάς, τ. ἔ. διαλλάξαι ἡμᾶς. ἔστ' οὖν ὅπως ἂν ὥσπερ ἐκ σπονδῆς θεοῦ κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα δαλοῦ; Εὐρ. Κύκ. 469 ὁ κορυφαῖος τοῦ χοροῦ τῶν Σατύρων ἐρωτᾷ, ἂν δύναται καὶ αὐτὸς νὰ βοηθήσῃ εἰς τὴν ἐκτύφλωσιν τοῦ Κύκλωπος, ὡσὰν μετὰ προηγηθεῖσαν συμφωνίαν τοῦ Βάκχου: ὡσὰν εἰ εἶχαν κλείσῃ προηγουμένως συμφωνίαν ἐκ τοῦ Βάκχου προερχομένην· διότι ὁ 'Οδυσσεὺς ἐν στ. 429 κέ. εἶχε προτείνῃ εἰς αὐτοὺς νὰ τοὺς ἀπαλλάξῃ τοῦ Κύκλωπος καὶ μεταφέρῃ πρὸς τὸν Βάκχον.

σπορά ἡ: ναιετῶν παρ' ὑγρῶν 'Ισμηνοῦ ῥείθρων ἀγρίου τ' ἐπὶ σπορᾷ δράκοντος Σοφ. 'Αντ. 1123 κατοικῶν ἐκ τοῦ μέρους («ἀπὸ τὸ μέρος») τῶν ὑγρῶν ῥείθρων τοῦ 'Ισμηνοῦ καὶ «παρὰ τὸν τόπον, ἐν ᾧ ἐσπάρησαν οἱ ὀδόντες τοῦ δράκοντος» Σχ. φονεύσεις, φίλαν πατρίδα δεκέτεσι σποραῖσιν ἐλθόντ' ἐμάν; Εὐρ. 'Ηλ. 1152 θὰ μὲ φονεύσῃς, ἐλθόντα εἰς τὴν φίλην πατρίδα μέσα σὲ δέκα χρόνια;

σπορητός ὁ: διοσδότῳ γάνει σπορητός Αἰσχ. 'Αγ. 1390, ἴδ. λόχευμα.

σπουδάζω (παρὰ τὸ σπουδή) σπουδαίως ἀσχολοῦμαι περί τι, ἐπιμελοῦμαι· σπουδάσομαι (-άσω μτγν.), ἄλλως ὁμαλόν. ἐσπούδασα, ἐσπούδακα. Μέσ. σπάν. διεσπουδαζόμην 'Αρρ. 'Αν. 7, 23, διασπουδάσομαι Δί. Κάσσ. 52, 20. Παθ. ἐσπουδάσθην καὶ σπουδασθήσομαι μτγν. ἐσπούδασμαι, δι- (ὁ καὶ μέσον). σπουδαστός -τέος. πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν Εὐρ. Ἑκ. 816 «τὴν δὲ πειθώ, τὴν μόνην ἐν ἀνθρ. τύραννον, οὐδέν τι μᾶλλον (= πλέον τῶν ἄλλων μαθημάτων) σπουδάζομεν μανθάνειν ἐς τέλος (= τελείως, κατὰ βάθος)» Δ. Βερν. ἤν τίς τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε ἐσπουδάκατον 'Αρφ. Σφ. 694, ἴδε πρίων. φαίνεται γὰρ ἀπρεπὲς σπουδάζοντα τοῖς πράγμασι τοῖς ὀνόμασι παίζειν Διον. 'Αλ. π. Λυσ. 14 διότι φαίνεται ἀπρεπές, ἐν ᾧ τις ἀσχολεῖται σπουδαίως εἰς τὰ πράγματα, νὰ παίζῃ μὲ τὰς λέξεις. πέλας πᾶν ὅ τι σπουδάζεται Εὐρ. Ἱκ. 761 πρόχειρον εἶνε πᾶν ὅ τι μετὰ σπουδῆς ἐπιδιώκεται. ὡς ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται σῴζειν, τὸ δ' αὐτοῦ σπουδάσας διέπτατο Εὐρ. 'Ηρ. Μ. 507 διότι ὁ χρόνος δὲν γνωρίζει νὰ διασῴζῃ (ἐκπληρῶν) τὰς ἐλπίδας τῶν ἄλλων, ἀλλά, ἀφ' οὗ ταχέως τελειώσῃ τὸ ἴδιον αὐτοῦ ἔργον (ὅπερ φροντίζει νὰ ἐκπληροῖ), πετᾷ ἐκ τοῦ μέσου ἡμῶν καὶ φεύγει. Τὸ ἴδιον ἔργον τοῦ χρόνου εἶνε νὰ ἔρχηται καὶ παρέρχηται αἰωνίως. Οὐδεμία δ' ἀνάγκη ἀντὶ τοῦ ἁρμοδίου διέπτατο νὰ γράψωμεν ἐνταῦθα ἐκ τοῦ στ. 509 τὸ ἀνάρμοστον ἀφείλετο. πᾶσα ἡ τοιαύτη σπουδὴ οὐκ ἐπὶ τούτοις ἐστὶν ἐσπουδασμένη Πλ. Λῦσ. 219E πᾶσα ἡ τοιαύτη σπουδὴ ἀποβλέπει (κυρ. διευθύνεται ἐπιμελῶς) ὄχι εἰς ταῦτα. προοίμια θαυμαστῶς ἐσπουδασμένα Νόμ. 722D σπουδῇ ἐπεξειργασμένα. τοῖς μάλιστα ἐσπουδασμένοις σίτοις καὶ ποτοῖς χρῆσθαι Ξεν. Κ. Π. 4, 2, 38 τοῖς μετὰ μεγίστης ἐπιμελείας (σπουδῆς) παρεσκευασμένοις. αἱ ἐσπουδασμέναι παιδιαί 'Αριστοτ 'Ρητ. 1, 11, 15 (1371a 3) αἱ μετὰ σπουδῆς (σπουδαίως) γιγνόμεναι, αἱ σπουδαῖαι παιδιαί. εἰ ταῦτα ἐσπουδασμένα ἐν γράμμασιν ἐτέθη Πλ 'Επ. 344C ἐὰν οὗτοι οἱ σπουδαῖοι στοχασμοί του ἐναπετέθησαν (ἐγγράφως ἐνεπιστεύθησαν) εἰς τὸν χάρτην. Οὕτω πως θὰ εἴπωμεν σήμερον ἡμεῖς. ἡ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν 'Αριστοτ. Ποι. κ. 5 ἐπειδὴ δὲν ἐξητάζετο ἐξ ἀρχῆς ὡς σπουδαῖόν τι, ἔμεινεν ἐν τῷ σκότει. ἄχρι τοῦ θορυβῆσαι καὶ ἐπαινέσαι σπουδάζετε Δημ. 8, 77 ἡ προθυμία, ὁ ζῆλός σας, φθάνει μόνον μέχρι ἐπιδοκιμασίας, δὲν προχωρεῖ περαιτέρω. ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχηλῶν σε Πλ. Φαῖδρ. 236 B σπουδαιολογεῖς (λαμβάνεις τὸ πρᾶγμα σπουδαίως), διότι σοῦ ἐπείραξα τὸν ἐρώμενον διὰ τῶν σκωμμάτων μου (σκώπτων σε). τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστή, ἡ τῆς τραγῳδίας ποίησις; ἐφ' ᾧ ἐσπούδακεν; πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχείρημα καὶ ἡ σπουδή, ὡς σοὶ δοκεῖ, χαρίζεσθαι τοῖς θεαταῖς μόνον ἢ καὶ δια-

μίχεσθαι κέ; Γοργ. 502B συνήθως συντάσσουσιν ὧδε: τί δ' ἔστιν ἐκεῖνο, ἐφ' ᾧ ἡ σεμνὴ αὐτη . . ποίησις ἐσπούδακεν; Ἀλλ' ἡ σύνταξις αὐτη εἶνε δύσκολος, καὶ ἄλλως καὶ διότι δὲν ὑπάρχουσιν ὅμοια πρβγ. Ἄλλοι δέ: τί δὲ δὴ ἡ σεμνή... ἐπὶ τούτῳ, ὃ ἐσπούδακεν; Ἀλλὰ καὶ ταῦτα δύσκολα. Ὁ Cobet καὶ ἄλλοι ἐκβάλλουσι τὸ ἐφ' ᾧ ἐσπούδακεν. Τοῦτο εἶνε εὔκολον, ἀλλὰ πῶς ἐπεισῆλθε, δυσκόλως ἀποδεικνύεται, καὶ ἄλλως καὶ διότι ἐν τῇ ἀποκρίσει τοῦ Καλλικλέους τὸ ὥρμηται ἐπαναλαμβάνει ὡς φαίνεται τὸ ἐσπούδακε. Εἶνε δὲ καὶ ἡ φράσις γνησίως Πλατωνική, ἴδε Φαῖδρ. 276B. Ἴσως τὸ ἐφ' ᾧ ἐσπούδακε συναπτέον πρὸς τὰ ἑπόμενα, ἤτοι: ἐν τούτῳ (ἤ: τούτου), ἐφ' ᾧ ἐσπούδακεν (ἡ τῆς τραγ ποίησις), πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχείρημα κέ. Τὸ δὲ ὡς σοὶ δοκεῖ συναπτέον πρὸς τὰ ἡγούμενα: τούτου τοῦ (ὑπὸ τῆς τραγῳδίας σπουδαζομένου) πράγματος (κυρ. τούτου, εἰς ὃ σπουδαίως ἀσχολεῖται ἡ τραγῳδία) πότερόν ἐστι, κατὰ τὴν σὴν γνώμην, τὸ ἔργον καὶ ἡ σπουδή. Μᾶλλον ἐξαλειπτέον φαίνεταί μοι τὸ αὐτῆς. σφόδρα ἐσπούδασεν ἐφ' οἷς ἠδικημένῳ μοι συνήδει Δημ. 21, 2 (ὁ δῆμος) ἔδειξε μέγα ἐνδιαφέρον διὰ τὴν ἐνώπιόν του διαπραχθεῖσαν πρὸς ἐμὲ ὕβριν. οὐ ῥᾴδιον τὰ τοιάδε φαύλως παραινεῖν σπουδάσαντ' ἄνευ πόνου Εὐρ. Ἡρ.Μ. 88 δὲν εἶνε εὔκολον νὰ συμβουλεύῃ τις τὰ τοιαῦτα ἐκ τοῦ προχείρου μὲ βίαν καὶ σπουδὴν (ἄνευ κόπου). || πρός τινα σπουδάζω = διαπραγματεύομαι (ὁμιλῶ) μέ τινα περὶ σπουδαίων ὑποθέσεων· τὸ δ' αὐτοῦ σπουδάσας διέπτατο Εὐρ. Ἡρ. Μ. 507 ἀφ' οὗ ταχέως τελειώσῃ τὸ ἴδιον αὐτοῦ ἔργον (ὁ χρόνος), πετᾷ ἐκ τοῦ μέσου ἡμῶν καὶ φεύγει. εἰκότως δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρώπων Ξεν. Πολ. Λακ. 10, 3 ὅπου ἀντὶ τοῦ μάλιστα τῶν ἀνθρώπων ἔγρ. ὁ Df μάλιστ' ἀνθρώπων, ἐν οἷς πάλιν ὀρθοτέρα φαίνεται ἡ γρ. τοῦ Στοβαίου τῶν ἀνθρωπίνων: ὁ ἀγὼν οὗτος τυγχάνει μεγίστης τῶν ἐν ἀνθρώποις σπουδῆς καὶ τιμῆς. πρὸς δὲ δόξης (κτῆσιν ἐσπούδασεν) ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων Δημ. 22, 76 πρὸς ἀπόκτησιν δόξης κατέγινεν ὅπως πρὸς οὐδὲν ἄλλο πρᾶγμα. τί γὰρ ἐγὼ σεμνύνομαι; ἐπὶ τίνος σπουδαστέον μοι μᾶλλον ἢ τέκνου πέρι; Εὐρ. Ἰ. Α. 901 ἃ κάλλιστα διώρθ. ὁ Δ. Βερναρ. ὧδε: τί γὰρ ἐγὼ σεμνύνομαι ἔτι; τίνος σπουδαστέον μοι μᾶλλον κέ. περὶ τίνος μᾶλλον ἢ περὶ τοῦ τέκνου χρή με σπουδάζειν;

σπουδαίως: στήσαντα σπουδαίως τὸ πρόσωπον Ξεν. Κ Π. 1, 3, 9 ἴδ. ἵστημι.

σπουδή: σπουδὴ δὲ καὶ τοὐδ' οὐκ ἀπαρτίζει πόδα Αἰσχ. Ἑπτ. 361, ἴδ. ἀπαρτίζω. σπουδὴν τὴν ἐμὴν μὴ θωμάσῃς τῆς ἐνθαῦτα ἀπίξιος Ἡρ. 5, 49 μὴ θαυμάσῃς ὅτι ἔσπευσα ἀφικέσθαι ἐνταῦθα. σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα Αἰσχ. Ἑπτ. 572 (ἡ πατρίς σου) ὑπὸ τῆς σῆς προθυμίας κυριευθεῖσα διὰ τοῦ δόρατος. ἐννέπειν ὅτου χάριν σπουδὴν ἔθου τήνδε Σοφ. Αἴ. 13 λέγειν τίνος ἕνεκα ταύτην τὴν σπουδὴν ἐποιήσω (κατέβαλες τόσον ζῆλον). τὴν προκειμένην σπουδὴν ἔχοντες Εὐρ. Ἰ. Τ. 1434 ἔχοντες τὴν περὶ ἧς ὁ λόγος φροντίδα ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ λοιπόν ἐστι χωρίον τὸ πρὸς πόλιν, τὸ σιμόν, οἷ σπουδὴν ἔχω Ἀρφ. Λυσ. 288 ἐκ τῆς ὁδοῦ (ἣν ἔχω διανύσει) λείπεταί μοι αὐτὸ (ἀκριβῶς) τὸ χωρίον, τὸ πρὸς τὴν ἀκρόπολιν, τὸ ἀνάντες, οἷ σπεύδω. οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων Εὐρ. Μηδ. 557 «οὐ σπουδάζων πλείονα τέκνα ποιῆσαι» Σχ. ὡς ἐπ' (ἐπί τι;) ἀξιόχρεων τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι τὴν ἐπιχείρησιν παρεσκευάζετο Θουκ. 4, 30 ἴδ. ἀξιόχρεως. οὔ τί που σπουδὴν ποιῇ, ὁτιή σε παίζων Ἡρακλέα ἐνεσκεύασα; Ἀρφ. Βάτ. 522 «οὐδαμῶς σπουδὴν ποιῇ, ἤγουν ἀληθὲς τοῦτο ἐνόμισας, ὅτι σε παίζων Ἡρακλέα ἐσκεύασα; ἐποίησα παίζων σχῆμά σε παραπλήσιον ἔχειν τῷ τοῦ Ἡρακλέους διὰ τὴν λεοντῆν καὶ τὸ ῥόπαλον»; Σχ. Βεβαίως δὲν τὸ ἐκλαμβάνεις ὡς σπουδαῖον, ὅτι παίζων σὲ ἐνέδυσα ὡς Ἡρακλέα; εἰ δ' ἐτεὸν δὴ τοῦτον (μῦθον) ἀπὸ σπουδῆς ἀγορεύεις Μ 233 σπουδάζων (μὲ τὰ σωστά σου) λέγεις τοῦτον τὸν λόγον. σπουδαὶ λόγων κατατεινομένων Εὐρ. Ἑκ. 130 «ἅμιλλαι (ἀγῶνες) λόγων ἐνστατικῶς (φιλονείκως) λεγομένων» Σχ. ἥκεις δὲ ποίαν προστιθεὶς σπουδὴν λόγου; Εὐρ. Βάκχ. 663 τίνος δ' ἕνεκα ἦλθες τόσον κατεσπευσμένως, ἵνα μοι φέρῃς εἰδήσεις; ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν Θουκ. 6, 31 ἐν ᾧ (οἱ ἐκ τοῦ πεζοῦ στρατεύματος) ἔδειξαν ἀντιζηλίαν πρὸς ἀλλήλους ἐν τῇ φιλοτίμῳ ἐκφροντίσει τῶν ὅπλων καὶ τῶν στολῶν. Ἀλλὰ ὀρθότερον τὸ σπουδῇ πρὸς ἀλλήλους = ἁμίλλῃ. ὧδε σὺν σπουδῇ ταχύς Σοφ. Φιλ. 1223 σὺν τοσαύτῃ σπουδῇ ταχύς, οὕτω ταχέως σπεύδων. οὕτως ἐπὶ μεγάλης σπουδῆς Πλ. Συμπ. 192C μὲ τόσον πολὺν (μέγαν) ζῆλον (ἐνθουσιασμόν). τύχη . . . θαυμάσαι μὲν ἀξία, σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία Σοφ. Ο. Τ. 778 ἀξία μὲν θαυμασμοῦ, ἀλλ' ὄχι ὅμως ἀξία τοῦ ἐμοῦ ζήλου («τοῦ ἐνδιαφέροντός μου»). ἔπειθ' ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται Ἀρφ. Ἱππ. 1370 ἔπειτα ὁπλίτης, οὗ τὸ ὄνομα ἐτέθη (ἐγράφη) ἐν τῷ καταλόγῳ (πρβ. ἐκ καταλόγου στρατεύεσθαι Ξεν. Ἀπ. 3, 4, 1. Θουκ. 6, 31. Λυσ. 14, 7) οὐδεὶς ἕνεκα φιλικῶν ἐπιρροῶν (ὡς λέγομεν σήμερον) δὲν θὰ μεταγραφῇ εἰς ἄλλον τόπον (πρβ. Εἰρ. 1180). Τὸ ἀντίθετον εἶνε τὸ εὐθὺς κατ. ἀλλ', ὥσπερ ἦν τὸ πρῶτον, ἐγγεγράψεται θὰ μένῃ ἐγγεγραμένος ἐν ᾧ τόπῳ εὑρίσκετο ἐξ ἀρχῆς. σπουδῇ χαριεντίζεται Πλ. Ἀπολ. 24C παίζει ἐν σπουδαίοις, ἐν οὐ παικτοῖς. Ὀξύμωρον, «ἄσχημα χωρατὰ κάμνει» (Σ. Μωραΐτης). πάσῃ σπουδῇ μανθάνειν Νόμ. 952A

μετὰ πάσης ἐπιμελείας (ἀφοσιώσεως, ζήλου) μανθάνειν.

σταγὼν -όνος ἡ: πηγαὶ κατεσβήκασιν οὐδ' ἔνι σταγών Αἰσχ.'Αγ. 878, ἴδ. ἐπίσσυτος. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες Χο. 184, ἴδε δύσχιμος. ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγών 'Αγ. 1110 δηλ. σταγὼν αἵματος. ἀλλὰ νόμος μὲν φονίας σταγόνας χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν αἷμα Χο. 399 ἀλλὰ νόμος εἶνε, αἱ αἱματηραὶ σταγόνες αἱ χυθεῖσαι κατὰ γῆς νὰ ζητῶσιν ἄλλο ἀκόμη αἷμα.

σταδαῖος 3 Αἰσχ. Ἑπτ. 499. Τὸ χωρίον: Ζεὺς πατὴρ ἐπ' ἀσπίδος σταδαῖος ἧσται εἶνε τοποθετημένος (ἱδρυμένος) ὄρθιος.

σταδιοδρομέω. Τὸ Εὐρ. ἐν Ἡρ. Μ. 863 σταδια(ο)δραμοῦμαι ὀρθῶς ὁ Ἑρμᾶννος διώρθ. στάδια δραμοῦμαι, διότι τὸ κακοσύνθετον ὑποθέτει ἐνεστῶτα σταδιατρέχω!! Ἴδε τὸ χωρίον ἐν τῷ στάδιον.

στάδιον τό: δέομαι ὑμῶν τουτὶ πάνυ μικρόν, τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίοισιν ἄριστον Ἀρφ. Νεφ. 430 νὰ εἶμαι πρῶτος (νὰ προτρέχω) τῶν ἄλλων Ἑλλήνων ἐν τῷ λέγειν κατὰ ἑκατὸν στάδια· ἢ ἐκ τοῦ ἐναντίου: νὰ ἀφίνω ὀπίσω ἑκατὸν στάδια τοὺς ἄλλους Ἕλληνας, ὡς εἰ ἦτο δυνατὸν νὰ μετρῆται ἡ εὐγλωττία διὰ σταδίων· πρβ. Ἀπ. Εὐπόλιδ. 94 (ἐν σελ. 60a). οἷα ἐγὼ στάδια δραμοῦμαι στέρνον εἰς Ἡρακλέους Εὐρ. Ἡρ. Μ 863 (πάντα ταῦτα δὲν ἔχουν τοιαύτην ὁρμὴν) ὁποίαν ἔχουν τὰ τρεξίματα, τὰ ὁποῖα θὰ τρέξω εἰς τὸ στέρνον τοῦ Ἡρακλέους.

σχῆμα τό, ἐξωτερικὴ κατάστασις, μορφή, κάλλος, καλλωπισμός· ἀλλὰ καὶ τὸ ψιλόν, κενὸν σχῆμα, περιέχον ἄνευ περιεχομένου· ἀλλ' οὖν ἔχει τι σχῆμα (=ὑπό τι εὐσχημόν ἐστι) κἂν ἄπωθεν ᾖ ἀνὴρ ὁ χρηστός, δυστυχοῦντας ὠφελεῖν Εὐρ. 'Ι. Α. 983 βεβαίως εἶνε κάπως εὔμορφον πρᾶγμα, καὶ ἂν δὲν εἶνε συγγενὴς ὁ χρηστὸς ἀνήρ, νὰ ὠφελῇ τοὺς δυστυχοῦντας. Ὁμοίως Τρ. 470. Ἀσιάτιδος γῆς σχῆμα Ἀνδ. 1 κόσμημα (δόξα) τῆς Ἀσιατικῆς γῆς. ὦ σχήματ' οἴκων Ἑκ. 619 «ὦ ρημασμένα σπίτια διὰ τὸν θάνατον τῶν ἐνοίκων» Δ. Βερν. Ὁμοίως Ἄλκ. 911. ὦ σχῆμα πέτρας δίπυλον Σοφ Φιλ. 952 ὦ ρημάδι (ποῦ νὰ ρημάξῃς) δίθυρη σπηληά σύ (Δ. Βερν.), κυρ. σπήλαιον, ποῦ δὲν ἔχεις νὰ δείξῃς τίποτε ἄλλο παρὰ δύο πόρταις: ὦ ξηρὸν (καὶ ἄθλιον) σπήλαιον: μορφὴ ἄνευ ὑποστάσεως. γέροντες οὐδέν ἐσμεν πλὴν ὄχλος καὶ σχῆμα Ἀπ. Εὐρ. 25 τίποτε ἄλλο δὲν εἴμεθα παρὰ βάρος (μτφ.) ἄχρηστον (κυρ.ἐνόχλησις, ὀχληροὶ) σαβοῦρρα καὶ μορφὴ κενὴ (ἄνευ ὑποστάσεως). Περιττὴ λοιπὸν ἡ διόρθ. ψόφος ἀντὶ τοῦ ὄχλος. ἔμοιγ' εἴη τέκνα ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι, μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα Ἀπ. Εὐρ.360,25 (Λυκ. κ. Λεωκρ.§ 190) ἐγὼ τοὐλάχιστον εὔχομαι νὰ ἔχω τέκνα, τὰ ὁποῖα καὶ νὰ μάχωνται καὶ νὰ διακρίνωνται μεταξὺ τῶν ἀνδρῶν καὶ νὰ μὴ εἶνε κενὰ εἴδωλα (κεναὶ σκιαί), ἀνωφελῶς ἐν τῇ πόλει γεννημένα. ἦν δὲ τοῦτο μὲν σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς Θουκ. 8, 89 ἡ ἀξίωσις αὕτη ἦτο δι' αὐτοὺς μορφὴ πολιτεύματος ἐν λόγοις μόνον ὑφισταμένη. Ἄλλοι: τοῦτο τὸ μέρος τοῦ λόγου των ἦτο δι' αὐτοὺς τὸ ἐξωτερικὸν τὸ προωρισμένον διὰ τὴν δημοσιότητα. ἡμεῖς δὲ τοῦ ξύμπαντος προύστημεν, δικαιοῦντες ἐν ᾧ σχήματι μεγίστη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη οὖσα καὶ ὅπερ ἐδέξατό τις, τοῦτο ξυνδιασῴζειν 6, 89 ἡμεῖς δὲ συμπάσης τῆς πόλεως προέστημεν, κρίνοντες καθῆκον ἡμῶν νὰ συντελῶμεν εἰς τὴν σωτηρίαν (διατήρησιν) ἐκείνου τοῦ πολιτεύματος, ἐν τῷ ὁποίῳ ἡ πόλις ἔγινε μεγίστη καὶ ἐλευθερωτάτη καὶ τὸ ὁποῖον παρελάβομεν (παρεδόθη ἡμῖν). Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος Αἰσχ. Ἑπτ. 475 «περιφραστικῶς: ὁ Ἱππομ. μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα» Σχ. Πρβ. τὰ κοινόλεκτα: «τὸ κορμί, ἡ κορμαριά, τοῦ Ἱππομ.». σχῆμα μὲν γὰρ Ἑλλάδος (=Ἑλληνικῆς) στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί Σοφ.Φιλ. 223 κυρ. τὸ σχῆμα μὲν γὰρ τῆς Ἑλλ. στολῆς τῆς ἐμοὶ προσφιλεστάτης ὑπάρχει (ὑμῖν): ὁ τρόπος, καθ' ὃν εἶσθε ἐνδεδυμένοι, εἶνε Ἑλληνικός, ἢ: τὸ ἐξωτερικόν, ἡ μορφή, τῆς Ἑλλ.στολῆς ὑπάρχει ὑμῖν. Πρβ. τὸ ἐφεξῆς. τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι; Εὐρ. Βάκ. 832 τὸ δεύτερον δὲ εἶδος (κυρ. ποῦ θὰ φαίνεται, ποῦ θὰ κτυπᾷ 'ς τὰ μάτια, article de toilette) τοῦ καλλωπισμοῦ μου ποῖον θὰ εἶνε; μορφῆς σχήματα Εὐρ. 'Ι. Τ. 292, ἴδ. πάρειμι. ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου Εὐρ. Μηδ. 1039, ἴδ. ἀφίστημι. σχήματα πρὸς τὸν αὐλὸν ὀρχεῖσθαι Ξεν. Συμπ. 7, 5 (ἴδ. Ἡρ 6, 129) σχήματα ὀρχηστικὰ ὀρχεῖσθαι πρὸς τὸν ἦχον τοῦ αὐλοῦ, ἴδ. Ξεν. Συμπ. 2, 16. ἐπεί μ' ἂν ἐν μέσῃ τῇ γαστέρι πηδῶντες ἀπολέσαιτ' ἂν ὑπὸ τῶν σχημάτων Εὐρ. Κύκλ. 221 ἐπειδὴ πηδῶντες ἐν τῷ μέσῳ τῆς γαστρός μου ἠθέλατε μὲ καταστρέψῃ μὲ τὰ διάφορα σχήματα, τὰ ὁποῖα θὰ ἐλαμβάνετε (χορεύοντες). Καὶ ἐν.καὶ δὴ γὰρ σχήματος ἀρχὴ Ἀρφ. Σφ.1485 ἰδοὺ ἡ ἀρχὴ τοῦ χοροῦ τούτου.

σχηματίζω: λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην Εὐρ. Μηδ. 1161 συγυρίζει τὴν κόμην της δίδουσα εἰς αὐτὴν σχῆμά τι. Ἐπὶ χορευτικῶν κινήσεων· πρβ διὰ τῶν σχηματιζομένων ῥυθμῶν μιμοῦνται (οἱ ὀρχησταὶ) ἤθη Ἀριστοτ. Ποι. κ. 1 μιμοῦνται διὰ τῶν ῥυθμῶν, οὓς ἐκτελοῦσι (ῥυθμικῶς) διὰ τῶν σχημάτων τοῦ σώματος. οὐ σεμνύνεται ἐσχηματισμένη ὥς ὑπερήφανόν τι διαπραττομένη Πλ. Γοργ. 511D δὲν σοβαρεύεται διὰ τοῦ σχήματός της, ὡς νὰ κατορθώνῃ ὑπερήφανόν τι καὶ σπουδαῖον ἔργον.

σχίζω: ἀνὰ βωλακίας (ἀναβωλακίας, ὃ ἴδ.) δ' ὀρόγυιαν σχίζε νῶτον γᾶς Πινδ. Π. 4, 228 ἔσχιζε δὲ ἀνὰ ὀργυιὰν (τ. βάθος μιᾶς ὀργυιᾶς) τὸ νῶτον τῆς βωλακίας γῆς. ἤδη μοι βιότου σχιζόμεναι σελίδες Ἀνθ. 11, 41 ἤδη μοι αἱ τοῦ (βιβλίου τοῦ) βίου σελίδες σχίζονται, τ. ἔ. εἶνε περασμέναι κατὰ τὸ ἥμισυ. Ἄλλοι ἀντὶ τοῦ βιβλίου ἐνν. φύλλον, οὗ ἐτελείωσεν ἡ μία σελὶς καὶ ἤρχισεν ἡ ἄλλη. Ἄλλοι δὲ ἄλλως. Ὁπωσδήποτε τὸ νόημα εἶνε: ἤδη διῆλθον τὸ ἥμισυ τοῦ βίου μου. σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε Αἰσχ. Ἀγ. 628 ὅταν ταῦτα (δηλ. τὸ ἀληθὲς καὶ τὸ κεδνὸν) ἀποχωρισθῶσι, δὲν κρύπτονται εὔκολα.

σχισμός ὁ: ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί Αἰσχ. Ἀγ. 1147 ἐμὲ δὲ περιμένει (κυρ. εἰς ἐμὲ ἀπομένει· σχεδὸν = πέπρωταί μοι) σχίσιμον διὰ διστόμου μαχαίρας.

σχοίατο, σχοίην, ἴδ. ἔχω.

σχοινοτενής 2, καὶ παρὰ Πινδ. θηλ. σχοινοτένεια (πρβ. ἡδυέπεια, θεσπιέπεια, ἠριγένεια κττ.)· πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων Πινδ. 'Απ. 79 (Στράβ. 10, 469. 'Αθήν. 467Α κἑ.) πρότερον μὲν συχνὴ ἦν ἡ σχοινοτενὴς ᾠδὴ τῶν διθυράμβων καὶ τὸ σὰν τὸ ἐκ τῶν στομάτων παρ' ἀνθρώποις τραχὺ ἐκπεμπόμενον. Τὸ γὰρ Δωρικὸν σὰν τραχύτερον ἀπηγγέλλετο τοῦ σίγμα, ᾧ προοίμιον ἦν. Ταῦτα δὲ ἐποίησεν ὁ Πίνδαρος πρὸς τὰς ἀσίγμους ᾠδάς· ἴδ. 'Αθήν. ἔνθ. ἀνωτ.

σχολάζω: μή νυν σχόλαζε· μηχανῆς δ' ἔστω κράτος Αἰσχ. 'Ικ 213 μὴ οὖν βράδυνε· ἔστω δέ σοι ἐξουσία τῆς μηχανῆς (ἥν σοι προέτεινα): χρῶ τῇ μηχανῇ, ἤτοι: τῇ πρὸς τοὺς θεοὺς καταφυγῇ. Περιτταὶ αἱ διορθ. ἔφθασεν ἑσπέρα γενομένη, πρὶν τοῖς φίλοις αὐτὸν σχολάσαι καὶ συγγενέσθαι Ξεν. Κ. Π. 7, 5, 39 πρὶν εὕρῃ καιρὸν καὶ συνομιλήσῃ μὲ τοὺς φίλους του. σχολάζουσαν φιληκοΐαν περιμένουσα [Πλουτ.] 172 D περιμένουσα φιληκόους ἀκροατὰς εὐκαιροῦντας. οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα Ξεν. 'Απομν. 3, 6, 6 οὐδὲ διὰ (νὰ ἐξετάσω) ταῦτα ἔλαβον (εὗρον) ἀκόμη καιρόν.

σχολή ἡ, ἀργία, ἡσυχία· μὴ σχολὴν τίθει Αἰσχ. 'Αγ. 1043 μὴ βράδυνε. οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴν πάρα τρίβειν 1039 οὐ πάρεστί μοι σχολὴ ἔξω (τῆς οἰκίας) διατρίβειν τὸν χρόνον (παρὰ τῇδε). δὲν ἔχω καιρὸν νὰ χάνω ἔξω. μακραί τε λέσχαι καὶ σχολὴ τερπνὸν κακόν Εὐρ. 'Ιππ. 384, ἴδ. προτίθημι. σχολῆς τὸ δῶρον Εὐρ. Τρ. 911 «ἀργίας χρεία εἰς τὸ συγχωρῆσαι αὐτῇ εἰπεῖν» Σχ. σχολὴ πόνων 'Ηρ.Μ.725 κατάπαυσις (ἀνάπαυσις) πόνων. σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί (ὃ ἴδε) μοι Αἰσχ. Πρ. 844. τῆς αὐτῆς ἐννοίας τὸ οὐ κάμνω σχολῇ Εὐρ. Ἴων 276 δὲν πάσχω ἀπὸ ἔλλειψιν χρόνου. ἡγούμην,ἐπεὶ ἀπὸ τούτου σχολάσαις, τότε σε καὶ ἀμφ' ἐμὲ ἕξειν σχολήν Ξεν. Κ. Π. 7, 5,52 ἐνόμιζον, ὅτι, ἀφ' οὗ ἤθελες εὕρῃ καιρὸν ἀπὸ ταύτην τὴν ἀσχολίαν, τότε θὰ εὐκαιρήσῃς νὰ κυτάξῃς καὶ ἐμέ. τὸ τῶν φυλάκων ἔργον σχολῆς τῶν ἄλλων (= ἀπὸ τῶν ἄλλων) πλείστης ἂν εἴη δεόμενον Πλ. Πολ. 374Ε θὰ χρειάζεται πλείστην ἀπαλλαγὴν ἀπὸ τῶν ἄλλων ἐργασιῶν. τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει Πλ. 'Απολ. 36D δεομένῳ σχολῆς ἀπολαύειν, ἵνα παρακελεύηται ὑμῖν, ἵνα παρορμᾷ ὑμᾶς εἰς ἀρετήν. ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου αὐτ 23Β ἕνεκα ταύτης τῆς ἀσχολίας οὐ γέγονέ μοι σχολὴ πρᾶξαί τι τῶν τῆς πόλεως ἄξιον λόγου. οὐδενὶ τοιαύτην σχολὴν παρέλιπον, ὥσθ' ἑτέρῳ συναχθεσθῆναι Ἰσοκ. 4, 112 εἰς κανένα δὲν ἀφῆκαν τόσον καιρόν, ὥστε (νὰ δυνηθῇ) νὰ συλλυπηθῇ ἄλλον τινά. μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς Πινδ. Ν. 10, 46 = τὸ ἀριθμῆσαί ἐστι μακροτέρας σχολῆς: ἀπαιτεῖ μακρότερον χρόνον. τὰ τῆς θεοῦ πρᾶσσ', ἐπεὶ σχολή (Δ. Γ. ἐπὶ σχολῆς), καλῶς Εὐρ. 'Ι. Τ. 1220 «ἐπεὶ σχολή ἐστιν, ἤτοι: ἀφ' οὗ, καθὼς εἶπες, θὰ ἀργήσῃς, ἀφ' οὗ ὑπάρχει σχολή, ἄργησε, ἀλλὰ πρᾶσσε καλῶς τὰ τῆς θεοῦ» Δ.Βερν. σχολῇ οὐ μόνον =ἠρέμα, βραδέως, οἷον ὡς ἐδόκει αὐτῷ σχολῇ γίγνεσθαι Θουκ. 5, 10 ἐπειδὴ ἐνόμιζεν ὅτι ἡ διαταγή του ἐκτελεῖται βραδέως· ἀλλὰ καί = μόλις καὶ μετὰ βίας, ὅπερ συχνάκις = οὐδαμῶς: Σοφ. Ο. Τ. 434. 'Αντ. 390. ὡς ἂν σχολὴν λύσωμεν ἄσμενοι πόνων Εὐρ. 'Ηρ. Μ. 725 = ὡς ἂν τάχιστα τῶν πόνων ἄσμενοι ἀπαλλαγῶμεν. εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσι μηδὲ σαφεῖς, σχολῇ αἵ γε ἄλλαι (ἐνν. εἰσὶ) Πλ. Φαίδων 65Β δυσκόλως, ἀκόμη ὀλιγώτερον εἶνε βεβαίως αἱ ἄλλαι.

σχόμενος, σχοῦ, σχῶ, ἴδ. ἔχω.

σῷ, ἴδ. σῶς.

σώεσκον, ἴδ. σώω.

σῴζω (τ. ἔ. σωΐζω παρὰ τὸ σῶς, τὸ δὲ σωΐζω μαρτυρεῖ ὡς εὑρισκόμενον ὁ 'Ηρῳδιαν. Ι 444. μόνον σῴζων Ὅμ. ε 490, ἀνθ' οὗ ὁ Bekk. καὶ ἄλλοι σώων, οὐδαμοῦ δὲ εὕρηται τοῦ 'Ησι. Τὸ ἐσαώθην (=ἐσώθην) ἐγένετο ἐκ τοῦ σαόω (ἴδ. κατ.). 'Εν δὲ τῷ ἐνεργ. τὸ μὲν ἔσωσα ἐκ τοῦ σαόω, τὸ δὲ ἔσῳσα ἐκ τοῦ σῴζω. Μέλλ. σωῶ ἀντὶ τοῦ σῳῶ (τ. ἔ. σωϊῶ, ὡς νομιῶ) 'Αττ. 'Επιγρ., σώσω Σοφ. Φιλ. 1391 κἀλλ. ἔσῳσα 'Επιγρ., ἐν δὲ τοῖς ποιηταῖς καὶ συγγραφεῦσι γράφουσι συνήθως ἔσωσα καὶ σέσωκα. Τὸ ὑπογεγραμμ. ι πρέπει νὰ τίθεται ἐν τοῖς χρόνοις τοῖς ἀσφαλῶς ἐκ τοῦ σῴζω παραγομένοις. Μέσ. σῴζω ἐμαυτῷ· σώσομαι ποιητ., πεζ. δια-· ἐσωσάμην ποιητ., δι-, ἀν-πεζ. Παθ. ἐσώθην (-ώσθην 'Ησύχ.), σωθήσομαι. Πρκ διασεσῳμένους 'Επιγρ., ὅπερ προῆλθεν, ὡς φαίνεται, ἐκ τῆς ἀναμείξεως τῶν δύο ῥιζῶν. σέσωται, σεσωμένος μαρτυρεῖ ὡς 'Αττικὰ ὁ Φώτιος (ἐν λ. σέσωται). σέσωται Πλ. Κριτί. 109 D, δια- 110 Α μετὰ τῆς Δ. Γ. -ωσται, διασεσωμένος Νόμ. 848 Β, ἀλλὰ σεσῳσμένος Τίμ. 23 Α. Νόμ. 645 Β. 657 Α. δια- Νόμ. 677 Β. σέσωσμαι Εὐρ. 'Ι. Α. 1441. Ξεν. Κ. Π. 5, 4, 11. σέσωσται Αἰσχ. 'Επτ. 805. Εὐρ. 'Ι. Τ. 607. Δημ. 56, 33. 37 κἀλλ. -ώσμεθα Σοφ. Τρ.83. Εὐρ. 'Ελ. 1032. -σμένος Αἰσχ. 'Αγ. 623. Σοφ. Τρ. 735, 626. Δημ. 10, 73. 16, 31 κἀλλ. 'Ο πρκ. ὁ ἔχων σ, ἀναντιρρήτως ἐκ τοῦ σῴζω γινόμενος, πρέπει νὰ ἔχῃ τὸ ι ὑπογεγραμμένον, ὡς εὕρηται καὶ πολλαχοῦ, οἷον σέσῳσται 'Επιγρ. 'Αμοργοῦ. σεσωισμένης Αἰσχ. 'Επτ. 260. 'Ο δὲ ἄσιγμος πρκ. σέσωται, σεσωμένος, δὲν χρήζει τοῦ ὑπογεγρ. ι. 'Ομοίως σῳστός μτγν. καὶ -τέος Εὐρ. 'Ηρ. Μ. 1385. 'Αρφ. Λυσ. 501. —Παρασχηματ. Δωρ. σωννύω Δεινόλοχ. Σικελ. ἐν 'Α. Β. Ι, 114.— σώω (ἐκ τοῦ σῶς) σπαν. προστ. σώετε

Ἀπολλ. Ῥ. 4, 197, σώων (κατὰ Βουτμ.) ε 490 ἀντὶ τοῦ σῴζων, σώοντες ι 430, σώεσκον Θ 363. Παθ. σώεσθαι, σωόμενος, σώοντο Ἀπολλ. Ῥ. 2, 610. 3, 307, 2, 1010. -σαόω (ἐκ τοῦ σάος) ἐπ. ποιητ., ἀλλ' ὄχι Ἀττ., σαοῖ Θέογν. 868. Καλλιμ. Δῆλ. 22. Ἀνθ. 7, 109, σαοῦσι Τυρτ. 11, 13. Προστ. σάω (ἀντὶ σάου ἐκ τοῦ σάοε) ν 230. ρ 595. Καλλιμ. Λουτρ. Παλλ. 142. Ὁ Nauck ἀπαιτεῖ πανταχοῦ σάου, ὡς εἶνε παραδεδομένον ἐν Καλλιμ. Ἐπιγρ. 35. Ὕμν. Ὅμ. 13, 3 κἀλλ. Ὑποτ. σαῷς ἢ σοῷς (Ἀρίσταρχος: σόῃς) Ι 681. Τὸ δὲ σαῷς εἶνε ὡς τὸ ῥιγῷς· πρὸς δὲ τὸ σοῷς πρβ. σόος ἀντὶ τοῦ σάος· σαοῖς ἢ σαόῃς(;;) Nauck. γ' ἑν. σόῳ Ι, 424 (Bekk. ἐξ ἑνὸς κώδ.: σόῃ· σαοῖ ἢ σαόῃ Nauck, γ' πλ. σόωσι Ι 393(Ἡρῳδιαν.: σοῶσι Τυραννίων, σάωσι ἢ σαῶσι Ἀπίων). Παρατ. σάω Π 363. Φ 238. σάου Nauck καὶ Cobet. σαώσω Α 83. Ι 78. Ρ 144 (Ἀρίσταρχος: -σῃς). ἐσάωσα Θ 500 κἀλλ., σάωσ- Ε 23. δ 364. 513. Ἐπιγρ. π. Δημ. 18, 289. Παθ. σαώσεαι φ 309. Ἀορ. γ' πλ. ἐσάωθεν γ 185. σαώθη Πίνδ. Π. 4, 161, -θήτω Ρ 228. -θῆναι Ο 503. κ 473, -θείς Ἀπολλ. Ῥ. 3, 786. σάω μὲν ταῦτα, σάω δ' ἐμέ ν 230 κατ' ἀναφοράν: σῷζε μὲν ταῦτα (τὰ χρήματα), σῷζε δ' ἐμέ. οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν τειρόμενον σώεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων Θ 363 «οὐδὲ ἐκείνων μέμνηται, ὅτι τὸν υἱὸν αὐτοῦ πάνυ πολλάκις καταπονούμενον ὑπὸ τῶν ἄθλων τοῦ Εὐρυσθέως ἔσωσα». Γαζῆς. Τὸ πληθ. τῶν, ὅτι πολλά τινα ἐν τοῖς ἐφεξῆς μνημονεύονται. λόγῳ μὲν τὴν ἡμετέραν δύναμιν σῴζοι ἄν τις, ἔργῳ δὲ τὴν αὐτοῦ σωτηρίαν Θουκ. 6,78 ὅπου διὰ τὸ σωτηρίαν ἐνν. φυλάσσοι ἐκ τοῦ σῴζοι. θυραῖος ἐλθὼν δόμους μέγαν ἐς ὄλβον οὐκ ἔσωσεν τύχης Εὐρ. Ἴων 702 ἐκ τῶν διορθ. μνημονεύω τὴν τοῦ Musgrave: δόμου καὶ ἴσως εὐτυχής, ἤτοι: θυραῖος (ἔξωθεν) ἐλθὼν εἰς τὸν μέγαν ὄλβον τοῦ δόμου οὐκ ἴσως (οὐκ ἐξ ἴσου) εὐτυχής (ἀλλὰ πλέον)· καὶ τὴν τοῦ Bothe οὐκ ἴσωσεν τύχας. Ἀλλὰ καὶ τὸ παραδεδομένον κείμενον δύναταί τις νὰ ἑρμηνεύσῃ ὧδε: (ὁ Ξοῦθος) ἔξωθεν ἐλθὼν εἰς τοὺς δόμους τοὺς πάνυ ὀλβίους (κυρ. τὸ μέγαν ἐς ὄλβον εἶνε παράθεσις τοῦ δόμους ἐπεξηγηματική: «μέσα σὲ τόσα καλά») οὐ διέσωσεν αὐτοὺς (τοὺς πάνυ ὀλβίους δόμους, οὓς παρέλαβεν) ἀπὸ τῶν περιπετειῶν τῆς τύχης, καὶ ἄλλως καὶ διότι ἡ μὲν γυνὴ αὐτοῦ «ἔρρει συμφοραῖς, ὁ δ' εὐτυχεῖ». Περὶ τῆς γεν. τύχης πρβ. Ὀρ. 779. Σοφ. Φιλ. 919. Ἀντ. 1162. πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως ἢ σῴζοιτε Δημ. 19, 238 πόσον δικαιότερον θὰ ἦτο νὰ μισῆσθε (ἐξ αἰτίας τοῦ ἀδελφοῦ σας) ἢ νὰ σῴζητε αὐτόν, τ. ἔ. δὲν εἶνε δίκαιον ν' ἀθῳωθῇ ὁ ἀδελφός σας ἐξ αἰτίας ὑμῶν. ταῦτα, ὥσπερ ἐγὼ λέγω, οἱ Ἀθηναῖοι γιγνώσκοντες τὰ σφέτερα αὐτῶν εὖ οἶδ' ὅτι σῴζουσι Θουκ. 6, 38 ταῦτα, ὅπως ἐγὼ τὰ λέγω (ἐν τῷ προηγουμ. κεφαλ.), γνωρίζοντες οἱ Ἀθηναῖοι προσπαθοῦν, καλῶς τὸ γνωρίζω, νὰ διατηροῦν τὰ ἰδικά των. ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται σῴζειν, τὸ δ' αὑτοῦ σπουδάσας διέπτατο Εὐρ. Ἡρ. Μ. 506, ἴδε σπουδάζω. ναῦν τοι μί' ἄγκυρ' οὐχ ὁμῶς σῴζειν φιλεῖ ὡς τρεῖς ἀφέντι Ἀπ. Εὐρ. 774 μία ἄγκυρα οὐχ ὁμοίως σῴζει (τινί) τὴν ναῦν, ὡς εἰ τρεῖς ἀφείῃ. Οὕτω συντασσόμενον τὸ χωρίον δὲν ἔχει χρείαν διορθώσεως. τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε ἀλλότρια, σῴζει δ' αὐτά που τὰ σώματα· βίου δ' ἔνεστιν ἀσφάλει' ἐν ταῖς τέχναις Ἀπ. Μεν. 68. Ἐνταῦθα ἀντὶ τοῦ σῴζει εἰκάζουσι δουλοῖ ἢ χρῴζει. Ἀλλὰ καὶ τὸ σῴζει παρέχει ἔννοιαν: «τὰ πατρῷα σῴζουσιν (ἐνίοτε) καὶ αὐτὰ δήπου τὰ σώματα (αἰχμάλωτα γενόμενα). Οἷς ἐπιφέρει: ὁ δὲ εἰδήμων τέχνης τινὸς ἀσφαλῶς πορίζεται τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια. εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σῴζουσαν ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν Θουκ. 5, 69 ἐπειδὴ ἤξευραν, ὅτι ἔργων μακροχρόνιος ἄσκησις περισσότερα σῴζει ἢ (διὰ) λόγου παραίνεσις ὀλιγοχρόνιος καλῶς ῥηθεῖσα. οὐ μὴ φρενώσεις μ' ἀλλὰ δέσμιος φυγὼν σώσῃ τόδ' (τὸ δέσμιος φυγεῖν); Εὐρ.Βάκχ. 792 δὲν κυτάζεις νὰ μή με βάζῃς γνῶσιν, ἀλλ' ἀφ' οὗ ἀπηλλάγης τῶν δεσμῶν νὰ διατηρήσῃς τὴν ἐλευθερίαν σου; Παθ. ἐν σοὶ πᾶσ' ἔγωγε σῴζομαι Σοφ. Αἴ. 519 ἐν σοὶ ἔστι πᾶσα ἔμοιγε σωτηρία. Ὁμοίως Λυσ. 26, 9. ἀλλ' εἴσω φέρων, θύσας τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε, χοὔτω τὸ πρόβατον τῷ χορηγῷ σῴζεται Ἀρφ. Εἰρ. 1020 φέρε μέσα τὸ πρόβατον («διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνειν τὸ θῦμα» Σχ.) καὶ ἀφ' οὗ τὸ θυσιάσῃς, πᾶρε χωριστὰ τὰ μηρία (τὰ ὁποῖα δὲν ἦσαν βεβαίως ἀληθινά) καὶ φέρε τα ἐδῶ ἔξω, καὶ κατ' αὐτὸν τὸν τρόπον τὸ πρόβατον μένει σῶον (καὶ ἀκέραιον) εἰς τὸν χορηγόν. τῆς σῳζομένης μοίρας εὐδαίμονες ὄντες Εὐρ. Ἰ. Τ. 1490, ἴδ. μοῖρα. τὸ ἄπραγμον οὐ σῴζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον Θουκ. 3, 63 ἡ ἀπραγμοσύνη (ἡ ἀδράνεια, ἡ ῥαθυμία) οὐ σῴζεται (δὲν διατηρεῖται), ἢν μὴ τῷ δραστηρίῳ παρατεταγμένη ᾖ (ἂν δὲν συνοδεύεται μὲ τὴν δραστηριότητα). σωθέντος ἐμοῦ ὀπίσω ἐς οἶκον τὸν ἐμόν Ἡρ. 4, 97 ὅταν (ἐὰν) ἐπανέλθω σῶος (καὶ ἀβλαβής) εἰς τὸν οἶκόν μου. αὐτὸς σέσωσται Εὐρ. Ἰ. Τ. 607, ἴδ. συμφορά. Περὶ τῆς φράσεως ἀγαπητῶς σῴζεσθαι ἴδ. ἀγαπητός. δόξω τοῖς πολλοῖσι... προδοὺς σε σῴζεσθαι αὐτὸς (προδοὺς σεσῶσθαι δ' αὐτὸς Elmsl. καὶ ἄλλοι ἄλλως) εἰς οἴκους μόνος Ἰ. Τ. 679 «θὰ φανῶ ὅτι σ' ἐπρόδωκα καὶ κυτάζω νὰ σωθῶ οἴκαδε μόνος (ἐγὼ) ὁ ἴδιος» Δ. Βερν., παρατηρῶν ὅτι περιτταὶ αἱ διορθώσεις, διότι ἐκ τῶν κειμένων ἀποδεικνύεται, ὅτι καὶ ἐπὶ τούτων (τῆς

διφθόγγου αι) ἡ ἔκθλιψις σπανίως μὲν ἀλλ' ἐπιτρέπεται, καὶ πρβ. Ἡρ. Μ. 147. 417. Ἀρφ.Νεφ. 1357 κλ. Μετ' ἀπρφ. αἵ σε σῴζουσιν θανεῖν Εὐρ. Φοιν. 600 σῴζουσί σε ἀπὸ τοῦ θανάτου. Μέσ. τὰ νοήματα σῴζεσθ' αὐτῶν Ἀρφ. Σφ. 1055 τὰς γνώμας αὐτῶν διαφυλάττετε (κυρ. σῴζετε ἐν ὑμῖν αὐτοῖς). εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν (=ἀγαθῶν), ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται Σοφ. Ἠλ. 994 εἰ φρένας εἶχεν ἀγαθάς, διέσωζεν ἂν τὴν εὐλάβειαν (περίσκεψιν ἐν τοῖς λόγοις, οὕτως), ὥσπερ οὐχὶ (νῦν) διασῴζει αὐτὴν (εἰς λόγους ἀσυνέτους ἐκτρεπομένη). ἔχει δ' ἀνάγκην, ὥστε κηδεύσας καλοῖς γαμβροῖσι χαίρων σῴζεται πικρὸν λέχος ἢ χρηστὰ λέκτρα κέ Εὐρ. Ἱππ. 634 «ἔχει δ' (ὁ λαβὼν εἰς δόμους ἀτηρὸν φυτόν) ἀνάγκην (τοιαύτην), ὥστε (ἢ) καλοῖς γαμβροῖς κηδεύσας, χαίρων αὐτοῖς σῴζεται τὸ πικρὸν λέχος (ἤτοι: ἀναγκάζεται νὰ ὑπομένῃ τὴν πικρὰν γυναῖκα), ἢ χρηστὰ μὲν λέκτρα λαβὼν κέ» (περὶ ὧν ἴδε πιέζω) Δ.Βερν. ἐν δρόμῳ προστιθεὶς μέτρον τις (οὕτως ἔγραψα: τίς) ἂν σῳζόμενον ῥυθμὸν τοῦτ' ἴδοι (ἔγραψα: ἰδεῖν) διὰ πέδον (Blomf.: δάπεδον) ἀνομένων βημάτων ὄρεγμα Αἰσχ Χο.792 ὅταν τις, ἐν ᾧ τρέχει (ὁ πῶλος), προσθέτει μέτρον (κανονίζει τὸ βῆμά του), δύναται νὰ ἴδῃ τὸ ἄνοιγμα τῶν διὰ τοῦ πεδίου τούτου τελουμένων βημάτων, ὅτι διασῴζει τὸν ῥυθμόν. ἐσῳζόμην χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν Σοφ Τρ. 682, ἴδε ἐκ. ξύμφημι κἀγώ· τοιγαροῦν σῴζου τόδε Ἠλ. 1257 διὰ τοῦτο λοιπὸν προσπάθει νὰ διαφυλάξῃς ἐν σεαυτῷ τὴν ἐλευθερίαν ταύτην. τοὺς δὲ φρονήσει μὴ σῳζομένους πλέον πίνειν τοῦ μέτρου Πλ. Πολ. 621A, ἴδ. πίνω. ἃ δ' ἂν μάθοι τις, ταῦτα σῴζεσθαι φιλεῖ πρὸς γῆρας Εὐρ. Ἱκ. 916 ταῦτα συνήθως διασῴζει τις ἐν ἑαυτῷ (τούτων τὴν ἀνάμνησιν διαφυλάττει) μέχρι τοῦ γήρατος. εἴ τις ἔροιτο, ἆρα δυνατόν, ὅτου τις ἐπιστήμων γένοιτό ποτε, ἔτ' ἔχοντα μνήμην αὐτοῦ τούτου καὶ σῳζόμενον, τότε ὅτε μέμνηται μὴ ἐπίστασθαι αὐτὸ τοῦτο, ὃ μέμνηται; Πλ. Θεαίτ. 163 D ἆρα δυνατόν ἐστιν ἔτ' ἔχειν μνήμην αὐτοῦ τούτου, ὅτου τις γένοιτό ποτε ἐπιστήμων, καὶ σῴζειν αὐτὸ ἐν ἑαυτῷ, εἶτα τότε, ὅτε μέμνηται, μὴ ἐπίστασθαι αὐτὸ τοῦτο, ὃ μέμνηται; τὰ δὲ κατ' οἴκους κλύουσα συγκλήτου μνήμην σῴζομαι στρατεύματος Εὐρ. Ἰ. Α. 301 «τὰ δὲ τοῦ (ἢ: περὶ τοῦ) συνηγμένου στρατεύματος κατ' οἶκον ἀκούσασα μέμνημαι (=μνήμην σῴζομαι, κατὰ λέξ.=σῴζω ἐν ἐμοὶ τὴν μνήμην αὐτῶν, ἤτοι: διακατέχω ἐν τῇ μνήμῃ)» Δ. Βερν.

σῶμα τό, παρ' Ὁμ. πάντοτε τὸ νεκρὸν σῶμα, πτῶμα· ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας Γ 23 μεγάλῳ σώματι (νεκρῷ: πτώματι) ἐντυχών. Ἀπὸ δὲ τοῦ Ἡσιόδου καὶ ἐφεξῆς ἤρχισε νὰ σημαίνῃ καὶ τὸ ζῶν σῶμα, ὅπερ παρ' Ὁμ. λέγεται δέμας. μέγιστον σῶμα δειλαίας σποδοῦ Σοφ. Ἠλ. 758, ἴδ. σποδός. καθ' ἕκαστον δοκεῖν ἄν μοι . τὸ σῶμα αὔταρκες παρέχεσθαι Θουκ. 2, 41, ἴδε εἶδος. Ἐνιαχοῦ δὲ σημ. ὅ τι σήμερον λέγομεν: τὸ ἄτομόν μου, οἷον: ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον αὔξειν Θουκ. 1,17 ἴδ. προορῶ. ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους, πεπραμένον τὸ σῶμα (Nauck: τὸ σῶμα πεπρ.) τῆς φερνῆς ἔχων Ἀπ. Εὐρ. 775 ἔχων τὸ σῶμα αὐτοῦ πεπραμένον (πωλημένον) ἀντὶ τῆς προικός. Ὁ β' στίχος εἶνε εἰλημμένος ἐκ τοῦ Πλουτ. 498A, ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς (παρὰ Πλουτ.) ὑπάρχουσί τινα τὰ Εὐριπίδεια, ὡς τὸ οὐ πολλῆς διὰ τέφρας. περὶ τοῦ σώματος κρίνειν τινά Αἰσχίν. 2, 165 περὶ ζωῆς καὶ θανάτου. περὶ τοῦ σώματος ἀγωνίζεσθαι Λυσ 5, 1 περὶ ζωῆς καὶ θανάτου. Ἀλλ' ἐν 23, 12 ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι σημ. περὶ τῆς προσωπικῆς ἐλευθερίας. ἰὼ γοναὶ σωμάτων ἐμοὶ φιλτάτων Σοφ. Ἠλ. 1233 «γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος» Σχ. μᾶλλον μετὰ τοῦ Kaibel: γονὴ (βλαστὲ) σώματος ἐμοὶ φιλτάτου, τοῦ Ὀρέστου. εἰς τὰ σώματα ἐποιήσατο τὰς τιμωρίας Δημ. 22, 55 ἔδωκεν ἐξουσίαν νὰ τιμωρῶσιν αὐτοὺς ὡς ἀνδράποδα διὰ τῶν σωμάτων των, νὰ συλλαμβάνωσιν αὐτοὺς καὶ νὰ τιμωρῶσιν. ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποθ' ὑμᾶς περὶ πολλοῦ ποιήσεται τοὺς ἀλλοτρίους Αἰσχίν. 3, 78 ὅστις δὲν ἀγαπᾷ τοὺς προσφιλεστάτους καὶ οἰκειοτάτους συγγενεῖς του («ἀνθρώπους του», ὡς π. χ. τὰ τέκνα του), ποτὲ δὲν θὰ ἐκτιμήσῃ περισσότερον τοὺς ξένους. Καθόλου σώματα σημ. σώματα ἀνθρώπων, ἀνθρώπους· (ἡ κυβερνητικὴ) οὐ μόνον τὰς ψυχὰς σῴζει, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα ἐκ τῶν ἐσχάτων κινδύνων Πλ Γοργ. 511D ἤτοι: σὺν ταῖς ψυχαῖς (μαζὶ μὲ τὴν ζωήν, διότι ἀνωτ. γίνεται λόγος περὶ κολυμβητικῆς) σῴζει καὶ τὰ σώματα (τῶν ἀνθρώπων) καὶ τὰς οὐσίας αὐτῶν. Ταῦτα ἐπαναλαμβάνων κατ. ἐκφράζει ὧδε: σώσασ' ἃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκα, ὅπου τὸ μὲν αὐτὸν ἀντιστοιχεῖ πρὸς τὸ τὰς ψυχάς, τὸ δὲ παῖδας καὶ γυναῖκα (τ. ἔ. τὰ τέκνα του καὶ τὴν γυναῖκά του, ὄχι δὲ τὰ δουλικὰ σώματα, τοὺς δούλους, ὡς νομίζει ὁ Σπ. Μωραΐτης) πρὸς τὸ σώματα. ὅταν πολεμούντων πόλις ἁλῷ, τῶν ἑλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα Ξεν. Κ. Π. 7, 5, 73 κυρ. ὅταν πόλις πολεμούντων (ἀνθρώπων, ἀορίστως) κυριευθῇ, τῶν κυριευσάντων εἶνε καὶ τὰ σώματα καὶ τὰ πράγματα, ὅσα εὑρίσκονται ἐν τῇ πόλει (κυρ. τῶν ἐν τῇ πόλει εὑρισκομένων). Συχνὴ δὲ καὶ παρ' ἄλλοις ἡ ἀντίθεσις τῶν σωμάτων καὶ χρημάτων, ὡς Θουκ. 1, 85. 141. 2, 53 κἀλλ. Πρβ. «σώματα δ' ἁπλῶς οὐκ ἂν εἴποις ἀλλὰ δοῦλα σώματα, . . οἱ δοῦλοι» Πολυδ. 3,78,

κατ' ἀντίθ. πρὸς τὰ ἐλεύθερα σώματα Ξεν.'Ελλ. 2, 1, 19. 'Απ. 3,5, 2. Πρβ. 'Αρφ. Πλοῦτ 6 τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον ὁ δαίμων (ἡ τύχη, ὁ κακὸς δαίμων) οὐκ ἐᾷ τὸν κύριον τοῦ (οἰκείου) σώματος (ἤτοι αὐτὸν τὸν δοῦλον) κρατεῖν αὐτοῦ, ἀλλὰ τὸν ἐωνημένον (τὸν δεσπότην): «αὐτὸν ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν· μάλιστα γὰρ κύριος τοῦ σώματος ἕκαστος ἑαυτοῦ» Σχ. ἵνα αὐτῶν μὴ οἱ ναῦται τὰ σώματα χείρω ἔχωσι δαπανῶντες ἐς τοιαῦτα, ἀφ' ὧν ἡ ἀσθένεια ξυμβαίνει Θουκ. 8,45 ἵνα μὴ οἱ ναῦται αὐτῶν ἐκνευρίζωσιν (ἀδυνατίζωσι) τὰ σώματά των, ἐξοδεύοντες τὰ χρήματά εἰς τοιαῦτα πράγματα, ὡς ἐκ τῶν ὁποίων προέρχεται ἡ ἀσθένεια. 'Ενταῦθα ὁ Cobet διώρθ. χεῖρον (ἀλλὰ πρβ. 3, 82: ἀμείνους τὰς γνώμας ἔχουσι) καὶ ἐξήλειψε τὸ ἄρθρον ἡ, ἐν ᾧ τὸ ἡ ἀσθένεια ἀναφ. εἰς τὸ «χείρω τὰ σώματα». ‖ 'Εν γένει τὸ ἐκ πολλῶν μελῶν ἢ μερῶν συνιστάμενον ὅλον, ὡς Πλ.Τίμ.32C. 'Ενίοτε τίθεται τὸ σῶμα, ὅπως καὶ τὸ χρῆμα ('Ηρόδ.) εἰς γραφικωτέραν παράστασιν τοῦ δηλουμένου πράγματος· σῶμά τ' ἀμαιμάκου (Meineke: ἀνικάτου) θηρός Σοφ. Ο. Κ. 1568 «ἕνα θηρίο πρᾶμα» περὶ τοῦ Κερβέρου

σωματοφθορέω Αἰσχ. 'Αγ. 939 ἴσως ἐσφαλμ. ἀντὶ στρωματοφθορεῖν (Auratus). Καὶ εἰς ἐμὲ αὕτη φαίνεται ἡ ἀρίστη εἰκασία.

σῶος, ἴδ. σῶς.

σῶς ὁ καὶ ἡ, τὸ σῶν, προῆλθε κατὰ Blass ἐκ τοῦ *σάος, ἐξ οὗ καὶ τὸ συγκριτ. σαώτερος α 32 Ξεν. Κ. Π. 6, 3, 4. Θεοκρ. 25, 59. πρβ. τὸ ποιητ. σαόω, σαόφρων, διὰ συναιρέσεως, ὡς τὸ ἀγήρως ἐκ τοῦ ἀγήραος. 'Η κλίσις τῆς λέξεως συμπληροῦται διὰ τοῦ σῶος (ἀρχῆθεν: σῷος, πρβ. λῶον ἀντὶ τοῦ λῷον). 'Ονομ. σῶς (ὁ) Χ 352. ο 42. π. 131. 'Ηρ. 1, 24. 3, 124. 4, 76. 'Αρφ. 'Ιππ. 613. σπανίως σῶος Ξεν. 'Αν. 3, 1, 32 (Δ. Γ. σῶς). Λουκ. 'Αποκήρυττ. 5. σῶς (ἡ) 'Απ.'Αρφ. 658.Εὐρ. Κύκλ. 294. Πλ. Φαίδων 106 Α. σῴα Δημ. 56, 37. Ξεν. 'Ελλ. 7, 4, 4. Καὶ 'Ιων. σώη Βαβρ. μῦθ. 94, 8. σᾶ (ἐκ τοῦ σάη) 'Απ. 'Αρφ. 631 καὶ ἐν 'Επιγρ. Οὐδ. σῶν ἐν 'Επιγρ. 'Αρφ. Θεσμ. 821. Σοφ. Φιλ. 21. Ξεν. 'Αν. 7, 6, 32. Πλ. Φαίδων 87 Β. Πολ. 333 C. Δημ. 20, 142. σῶον διὰ τῶν 'Αττ. ἐπιγρ. ἐξασφαλίζεται, καὶ δὴ ὡς γνήσιον 'Αττ 'Ομοίως Λυσ. 20, 24. 'Ηρ. 2, 181 (Δ. Γ. σόον). Αἰτ. σῶν καὶ ὑγιᾶ Θουκ. 3,34 (κατ' 'Αρίσταρχ. καὶ ἐν 'Ιλ. α 117 ἀντὶ τοῦ σόον). σῶον Λυσ.7, 17. 'Η ὑπὸ Χοιροβ. ἐν 'Α. Β. 3, σ. 1190 μνημονευομένη γεν. τοῦ σῶ οὐδαμοῦ εὑρηται. Πλ. ὀν. σῶοι 'Ηρ. 5, 96. 8, 39 (Δ. Γ. σόοι). Θουκ. 1, 74 (ἀλλ' εἰς τὸν Θουκ. ἀποδίδει τὸ σῷ ὁ Αἴλιος Διον παρ' Εὐσταθ. σ 959: «καὶ σῷ δὲ μονοσυλλάβως οἱ σῶοι παρὰ Θουκυδίδῃ». ἴδ. καὶ 'Ε. Μ. ἐν λ. σωτηρία). Ξεν. 'Αν. 2, 2, 21 κἀλλ. (σοῖ παρ' Αἰλ. Διον.). σῶαι 'Ηρ. 1, 66. Ξεν. Κ. Π. 4, 5, 2. 'Απ. 3, 2, 1. σῶα 'Ηρ. 4,124. 6, 86 (Δ. Γ. σόα). Ξεν. 'Ελλ. 1,1, 24 κἀλλ., σπαν. σᾶ (ἐκ τοῦ σόα) 'Απ. Εὐρ. 762 καὶ Πλ. Κριτί. 111 C (κατὰ τὸν ἄριστον κώδ. Α). Γεν. σώων 'Ηρ. 2, 121. Αἰτ. σῶς Δημ. 5, 17. 8, 16 κἀλλ. σώους μόνον Λουκ.'Υπ. τοῦ ἐν τῇ προσ πταίσμ. 8. 'Ο "Ομηρος ἐκτὸς τῶν ἀνωτέρω μνημονευθέντων χωρίων, ἀλλαχοῦ μεταχειρίζεται τὸ σόος σόη σόον (αἰτ. ἀρσ.), σόοι σόα. Πρβ. τὸ σύνθ. εὔσοος εὔσους καὶ εὔσοια. σὺ δέ («σὲ δὲ» Σχ.) σῶν ἴσθι Σοφ Ο Κ. 1209 ἤξευρε σῶον τὸν ἑαυτόν σου. νῦν τοι σῶς αἰπὺς ὄλεθρος Ν 773 «οὐδὲν ἐλλείπει σοι εἰς ἀπώλειαν» Σχ. εἰς τὸν ἄφευκτον (αἰφνίδιον) ὄλεθρόν σου οὐδὲν ἐλλείπει: ὁ θάνατός σου εἶνε ἀναμφίβολος.

σωτήρ ὁ, καὶ ὡς θηλ. ἐν τύχῃ γέ τῳ σωτῆρι Σοφ. Ο. Τ. 80, ἴδ. εἰ γάρ. βροτῶν ἐν ἁλὸς ῥοθίοις τιμὰς σωτῆρας ἔχοντες Εὐρ. 'Ηλ. 993 κυρ. ἔχοντες τιμὰς σωτηρίους (σωτῆρας=σωτείρας) βροτῶν (ἤτοι: ἔχοντες τὸ προνόμιον νὰ σῴζωσι τοὺς βροτούς) ἐν κύμασι θαλάσσης. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γυνὴ σωτῆρος Αἰσχ. 'Επτ. 211 διότι ἡ πειθαρχία εἶνε τῆς εὐτυχίας ἡ μήτηρ, γυνὴ τοῦ σωτῆρος Διός.

σωτηρία ἡ: ἐξ ὑμῶν ἐμοὶ φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας Σοφ. Ο. Κ. 725, ἴδε τέρμα. μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας εἴληφας ἢ δέδωκας Εὐρ. Μηδ. 534 περισσότερον ὠφελήθης σὺ ἐκ τῆς σωτηρίας μου παρὰ ἐγώ. καλόν μοι δοκεῖ εἶναι σῳζομένους ἔνθα βουλόμεθα μισθὸν τῆς σωτηρίας λαμβάνειν Ξεν. 'Αν. 5, 6, 31. Κατὰ τὸν Πανταζίδην ἡ λέξ. σωτηρίας (διότι ἡ γρ. τῶν ἀρίστων εἶνε ἀπορίας ἢ πορείας) εἶνε ἡ ἀπαραίτητος διὰ τὸ ἐνυπάρχον σκῶμμα ἐν τῇ γνώμῃ τοῦ Ξενοφῶντος, ὅπερ τότε εἶνε εὔστοχον, ὅταν στηρίζεται ἐπὶ τῆς παρονομασίας (σῳζομένους-σωτηρίας)· ἡ δὲ γενικὴ ἐπίσης ἀναγκαία, διότι τὸ γελοῖον εἶνε, ὁ σῳζόμενος νὰ λαμβάνῃ μισθὸν διὰ τὴν σωτηρίαν του. 'Ο δὲ Οὔγ διώρθ. εὐπορίας.

σωτήριος 2: ἐξ εὐμενῶν στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον Σοφ. Ο. Κ. 487 ἐξ εὐμενοῦς καρδίας δέχεσθαι τὸν ἱκέτην (οὕτως), ὥστε σωτήριον εἶναι: σωτῆρα ἐσόμενον τῆς γῆς. σωτήριοι θεοί 'Ηλ. 281 ἰδίως ὁ Ζεύς, ὁ 'Απόλλων καὶ ἡ "Αρτεμις. τὰ κείνου σωτήρι' ἔρρει 'Ηλ. 925 πάντα τὰ σχετικά, τὰ ἀναφερόμενα εἰς τὴν σωτηρίαν ἐκείνου ἀπωλέσθη= πᾶσα ἡ ἐξ ἐκείνου σωτηρία ἀπόλωλεν· πρβ. τὰ ἄξια.

σωφρονέω: εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν Σοφ.Αἴ. 1264, ἴδ. γίγνομαι σ. 255 a. ξυμφέρει σωφρονεῖν ὑπὸ στένει Αἰσχ Εὐμ.523, ἴδ.στένος. τὸ ἔργον τοῦ καλοῦ (ὃ ἴδε) δικαιώματος ὑποπτεύοντες ἀλόγως σωφρονοῦσι Θουκ. 6, 79 παρὰ τὸ φαινόμενον εὔλογον φέρονται ἐπιφυλακτικῶς. οὐχ ὁ Διόνυσος σωφρονεῖν

ἀναγκάσει γυναῖκας εἰς τὴν Κύπριν, ἀλλ' ἐν τῇ φύσει τὸ σωφρονεῖν ἔνεστιν Εὐρ. Βάκχ. 314 δὲν εἶνε ὁ Διόνυσος ἐκεῖνος, ὅστις θ' ἀναγκάσῃ τὰς γυναῖκας νὰ εἶνε σώφρονες (ἂν δὲν εἶνε) ὡς πρὸς τὴν Κύπριν, ἀλλ' ἐν τῇ φύσει τῶν γυναικῶν ἐνυπάρχει ἡ σωφροσύνη ὡς πρὸς πάντα. Ὁ Διόν. οὔτε σωφρονεῖν ἀναγκάζει τὰς γυναῖκας οὔτε μὴ σωφρονεῖν· τὸ σωφρονεῖν οὐκ ἔξωθεν ἐγγίγνεται, ἀλλ' ἐν τῇ φύσει ἑκάστης γυναικὸς ἔνεστι. Τὸ ἁπλοῦν τοῦτο νόημα παριδόντες καὶ ἀρχαῖοι καὶ νεώτεροι σχολιασταὶ ἔγραψαν μὴ σωφρονεῖν, ἢ διόρθ. ἀναλόγως (ἀφρονεῖν: μὴ φρονεῖν: μὴ εὖ φρονεῖν κττ.). ὅστις μὴ τοῖς δεξαμένοις, ⟨οὐ δεξομένοις⟩ εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει Θουκ. 1, 40 ὅστις δὲν θὰ προξενήσῃ πόλεμον ἀντὶ εἰρήνης εἰς τοὺς δεχθέντας αὐτόν, (καὶ δὲν θὰ τὸν δεχθῶσιν, ἂν ἔχωσι φρόνησιν). Γνωστὸν δὲ ὅτι τὸ ἢν σωφρονῆτε, εἴπερ εὖ φρονῆτε, ἐὰν ἔχητε νοῦν κττ. συντάσσονται ὡς ἐκ τῆς ἐννοίας των ἢ μετὰ μέλλοντος ἢ μετὰ τοῦ δεῖ, χρή, ὁ ἀγών ἐστι· ἴδ. τὰ ἐμὰ Ἑρμηνευτικὰ καὶ Διορθ. π. Θουκ. σ. 11. ὅταν εἰς ταὐτὸν τῷ φρονεῖν τε καὶ σωφρονεῖν ἡ μεγίστη δύναμις ἐν ἀνθρώπῳ ξυμπέσῃ, τότε πολιτείας τῆς ἀρίστης καὶ νόμων τῶν τοιούτων (=ἀρίστων) φύεται γένεσις Πλ. Νόμ. 712 A ὅταν ἐν (τῷ αὐτῷ) ἀνθρώπῳ συμπέσῃ νὰ συνενωθῇ ἡ μεγίστη δύναμις μὲ τὴν (μεγίστην) φρόνησιν (σοφίαν) καὶ σωφροσύνην, τότε γίνεται φύσει γένεσις τῆς ἀρίστης πολιτείας καὶ τῶν ἀρίστων νόμων. Πρβ. τὴν αὐτὴν ἔννοιαν ἐν Πλ. Πολ. 473 D: ἐὰν μὴ ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, ἢ οἱ βασιλεῖς. . .φιλοσοφήσωσι γνησίως, καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία. . , οὐκ ἔστι κακῶν παῦλα. . .ταῖς πόλεσι κέ. λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ σωφρόνει, φησὶν Χαρμ. 164 E, ἴδε φημί. ἐσωφρόνησεν οὐκ ἔχουσα σωφρονεῖν, ἡμεῖς δ' ἔχοντες ου καλῶς ἐχρώμεθα Εὐρ. Ἱππ. 1034 «ἐσωφρόνησε θανοῦσα=ἔκαμε φρόνιμα καὶ ἀπέθανε) μὴ ἔχουσα =οὐ γὰρ εἶχεν, οὐ γὰρ ἠδύνατο) σωφρονεῖν (ζῶσα, σώφρονα βίον διάγειν), ἡμεῖς δ' ἔχοντες (σωφρονεῖν) οὐ καλῶς ἐχρώμεθα (αὐτῷ, τῷ σωφρονεῖν, ὀμνύντες ὃν ὤμνυμεν ὅρκον)» Δ. Βερν. Παθ. τῶν σεσωφρονημμένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω Αἰσχίν. 2, 5 νομίζω ὅτι μοὶ ἔχετε ἀποδώσῃ χάριν διὰ τὴν σωφροσύνην, ἣν ἔχω δείξῃ ἐν τῷ βίῳ μου.

σωφρονίζω: οὐδέ σ' αἱ τύχαι, τέκνον, ἐσωφρονήκασ' Εὐρ. Τρῳ. 350. Ὁ Hartung κατὰ τὸ Ἀπ. 458 ἔγρ. σοφὴν ἔθηκαν· ἴσως γρ. οὐδὲ σαῖς τύχαις σεσωφρόνηκας Τὰ ἄλλα σαφῆ. ἀμπνοὰς δ' οὐ σωφρονίζει ταῦρος ὡς ἐς ἐμβολήν Ἡρ. Μ. 869 δεν ἀναπνέει φρόνιμα, ἥσυχα, δὲν δύναται νὰ περιορίσῃ τὴν ἀναπνοήν του. τῶν κατὰ τὴν πόλιν τι ἐς εὐτέλειαν σωφρονίσαι Θουκ. 8, 1 πολλά τινα τῶν ἐν τῇ διοικήσει τῆς πόλεως ἔξοδα νὰ περιορίσωσιν εἰς μικρὰν δαπάνην.

σωφρονιστής ὁ: σωφρονισταὶ ὄντες τῆς γνώμης Θουκ. 3, 65 περιστέλλοντες τὴν ὁρμὴν τῆς ψυχῆς ὑμῶν.

σώφρων 2: τὸ γὰρ νοσοῦν τι ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος Σοφ. Τρ. 435, ἴδε ληρέω. φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι Θουκ. 1, 37 φασὶ δέ, ὅτι οὐδενός πω ἐδέξαντο ξυμμαχίαν διὰ τὴν σωφροσύνην (διὰ τὴν σώφρονα ἀπὸ τῶν σπονδῶν ἀποχήν, τὴν οὐδετερότητα). ὡς ἡδύ σου τοῖσι λόγοις σῶφρον ἔπεστιν ἄνθος Ἀρφ. Νεφ. 1025 οἵα ἡδονὴ μετὰ σωφροσύνης (ἢ: οἵα ἡδονὴ ἅμα καὶ σωφροσύνη) ἐπανθεῖ τοῖς σοῖς λόγοις! ὕβρις δέ τοι οὐπώποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο Ἀπ. Σοφ. 718 (Μ. Ἐ. σ. 601) Συνήθως τὸ ἥβης ἐξαρτῶσιν ἐκ τοῦ σῶφρον, ἀλλὰ κατὰ τὴν γνώμην μου ἐξαρτᾶται ἐκ τοῦ ὕβρις: ἡ ὕβρις τῆς ἥβης οὐδεπώποτε ἀφίκετο εἰς τὴν σωφροσύνην. Πρὸς τὴν ἔννοιαν δὲ ταύτην συμφωνοῦσι καὶ τὰ ἑξῆς: ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ πάλιν (τ. ἔ. παρελθούσης τῆς ἥβης) φθίνει. τὸ σῶφρον ἔλαβεν ἀντὶ συμφορᾶς Εὐρ. Ὀρ. 502, ἴδ. λαμβάνω. τὸ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα Θουκ. 3, 82 ἡ σωφροσύνη (ἡ σώφρων ἀποχή) ἐνομίσθη προκάλυμμα τῆς ἀνανδρίας. μικρὰ γὰρ μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη Εὐρ. Ἠλ. 1098 «μικρὰ γὰρ σώφρονα λέχη (=γυνή) ἀμείνω ἐν τοῖς δόμοις μεγάλων (οὐ σωφρόνων)» Δ. Βερν. ὅπερ δ' ἐστὶ νόμοις καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον Θουκ. 3, 62 τῷ ἰδεώδει καλῶς συντεταγμένης πολιτείας. Κατὰ τὸν Σχ. «τοῖς σωφρονεστάτοις». σωφρόνως, οὐχ ὡς σὺ φῄς ᾠνωμένας κρατῆρι καὶ λωτοῦ ψόφῳ θηρᾶν καθ' ὕλην Κύπριν ἠρημωμένας Εὐρ. Βάκχ. 686 σωφρόνως, ὄχι ὅπως σὺ λέγεις, ὅτι μεθυσμέναι ἐκ τοῦ ἐν τῷ κρατῆρι οἴνου καὶ ἐκ τοῦ ἤχου τοῦ αὐλοῦ, κεκρυμμέναι ἐν τῇ ἐρήμῳ («'ς τὴ μοναξιά, «ξεμοναχιασμέναι») ἀναζητοῦσι κατὰ τὸ δάσος τὴν Ἀφροδίτην. σωφρονέστερον Θουκ. 1, 84 ἴδ. παιδεύω.

Τ

τάλαντον τό: πρὸς τοῖς ἄλλοις σημ. καὶ βάρος τι ὡρισμένον (ἐπὶ χρυσοῦ)· ὥσπερ, εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ; Ξεν. 'Απ. 3, 6, 14 ἐάν τις δὲν θὰ ἠδύνατο νὰ σηκώνῃ ἓν τάλαντον, πῶς κτλ. Ἡ ἑρμηνεία: «ν' ἀποφέρῃ ἐκ τῆς ἐργασίας του, νὰ κερδαίνῃ ἓν τάλαντον» δὲν μοι φαίνεται ὀρθή. «ὁ φίλος τοῦ Ἀντιγόνου τάλαντον αἰτήσας καὶ μὴ λαβὼν ᾔτησε προπομποὺς καὶ φύλακας. Ὅπως, ἔφη, μὴ ἐπιβουλευθῶ προστάξας κατ' ὤμου τὸ τάλαντον φέρειν» Πλουτ. 633 DE ἤτοι: προστάξας ἀχθοφόρον νὰ φέρῃ αὐτὸ ἐπὶ τῶν ὤμων του. σὺν δ' ἐπίπαν ζυγὸν ταλάντου Αἰσχ. Ἱκ. 829, ἴδ. ἐπίπαν.

ταλαντοῦχος 2 ὁ τάλαντον ἔχων, δηλ. ὁ τὴν ζυγαριάν, τὴν πλάστιγγα κρατῶν· οὕτω καλεῖται ὁ Ἄρης. ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς πυρωθὲν ἐξ Ἰλίου φίλοισι πέμπει βαρὺ ψῆγμα δυσδάκρυτον Αἰσχ. Ἀγ. 445 ὁ δὲ διὰ ψήγματος (χρυσοῦ, ἴδ. τὴν λέξ.) ἀνταλλάσσων τὰ σώματα (τῶν νεκρῶν) Ἄρης καὶ κρατῶν τὴν πλάστιγγα ἐν τῇ διὰ τοῦ δόρατος γενομένῃ μάχῃ πέμπει ἐξ Ἰλίου πρὸς τοὺς φίλους βαρὺ ψῆγμα ἐκ τῆς πυρᾶς ληφθὲν (συλλεχθέν) δυσδάκρυτον.

τάλας -αινα -αν. Παρὰ Τραγικοῖς τὸ τάλας ἔχει δύο σημασίας: ἄθλιος, καὶ μισητός· πρβ. δύστηνος, τλήμων, κακοδαίμων. Κατὰ τοὺς ἀρχαίους γραμματικοὺς «τὸ τάλαν ὀνοματικόν ἐστιν ἐπίρρημα». Τὸ δίδαγμα τοῦτο ἐπαναλαμβάνουσι πολλαχοῦ ὁ Ἡρῳδιανός (ἴδ. 1 σ. 508, 35. 536, 30. 2 σ. 12, 30), ὁ Ἀπολλώνιος, ὁ Δράκων, ὁ Ἀμμώνιος. Ὡρμήθησαν δὲ οἱ γραμματικοὶ εἰς τὴν διδασκαλίαν ταύτην ἐκ τῆς παρὰ κωμικοῖς χρήσεως τῆς κλητ. τάλαν καὶ ἐπὶ τῶν θηλυκῶν (ἴδε π. χ. Ἀρφ. Ἐκκλ. 124. Λυσ. 102. Βατρ. 559). Ῥητῶς δὲ παρατηρεῖ ὁ Ἀπολλώνιος ἐν τῷ περὶ Ἐπιρρημ. (σελ. 570,14) «ἀπὸ κλητικῆς πολλάκις ἐπιρρηματικαὶ συντάξεις γίνονται, ὡς Δάματερ, Ἥρακλες, τάλαν». Καὶ ὅμως παρὰ πάντα ταῦτα ὁ Κ. Κόντος ἐν Γλωσσ. Παρατηρήσ. σ. 248 διορθῶν τὸ χωρίον τοῦ Ἡρῳδιανοῦ ἔγραφε: «τὸ δὲ τάλαν Ἀττικόν ἐστι»!!

τἆλλα ἢ τάλλα; Ὀρθοτέρα φαίνεται ἡ γρ. τἆλλα, διότι ἐκ βαρείας καὶ ὀξείας (τὰ ἄλλα) δὲν δύναται νὰ προκύψῃ κατὰ κρᾶσιν ἡ περισπωμένη. Ὁμοίως καὶ ἐν τοῖς τοιούτοις: τἄπη, τἄργα, τοὔπος, τοὔργον κττ.

τἀμά ἀντὶ τοῦ τὰ ἐμά.

τάμε, ταμέσθαι, ἴδ. τέμνω.

ταμία, ἐπ. καὶ Ἰων. ταμίη, ἡ: ταμίαι ἀνδράσι πλούτου Πίνδ. Ὀ. 13, 7 αἱ ὁποῖαι διαφυλάττουσιν εἰς οὓς ἀνθρώπους τὸν πλοῦτον.

ταμίας, ἐπ. καὶ Ἰων. ταμίης, Αἰολ. τομίας (θηλ. ταμία Ἰων ταμίη) ὁ τέμνων καὶ νέμων ἑκάστῳ τὸ μερίδιόν του. ταμίαι παρὰ νηυσὶν ἔσαν σίτοιο δοτῆρες Τ 44 καὶ ὅσοι παρὰ ταῖς ναυσὶν ἦσαν ταμίαι, δοτῆρες (διανομεῖς) τοῦ σίτου. γνώμης οὐκέτ' ἐγὼ ταμίης Θέογν. 504 οὐκέτ' ἐγὼ κύριος φρενῶν: δὲν εἶμαι πλέον ἐγὼ κύριος τοῦ λογικοῦ μου. οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ταμίαν ὁμοίως γενέσθαι Θουκ. 6, 78 δὲν εἶνε δυνατὸν νὰ ἔχῃ τις ὁ ἴδιος εἰς τὴν ἐξουσίαν (διάθεσίν) του καὶ τὴν ἐπιθυμίαν του συγχρόνως καὶ τὴν τύχην. οὐκ ἔστι πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας, ὅτι χρὴ τετελέσθαι Ἀπ. Σοφ. 531 οὐδείς, πλὴν τοῦ Διός, ἐστὶ κυβερνήτης (διευθυντής, κύριος) τῶν μελλόντων, τί δηλ. χρὴ τετελέσθαι. τὸ ὅτι χρὴ τετελέσθαι ἐπιφέρεται εἰς συμπληρωματικὴν ἐπεξήγησιν. Καὶ κωμ. οἰκείων ἀνέμων ταμίας Ἀπ. Εὐβούλ. 107 ὁ πρωκτός.

ταμιεύω καὶ ὡς ἀποθ. μέσ. ταμιεύομαι εἶμαι ταμίας ἢ ταμία, ἐπιστάτης τοῦ ταμιείου, διαχειρίζομαι, διευθύνω, διοικῶ· καὶ Ζηνὸς ταμιεύεσκε (= ἐταμίευε) γονὰς χρυσορύτους Σοφ. Ἀντ. 950 «ἐν αὐτῇ εἶχε τὰς γονὰς τοῦ Διός, ὅ. ἐ. ἔγκυος ἦν» Σχ. ἡ Δανάη ἐφύλαττεν ἐν ἑαυτῇ ὡς ταμία τὸ ἐν εἴδει χρυσοῦ ῥυὲν εἰς τοὺς κόλπους αὐτῆς σπέρμα τοῦ Διός. τοσοῦτοι δ' εἰσὶ ποταμοί, ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι ὁπόσοις ἂν ὑμῶν (= ἀποχωρίζειν ὡς ταμίας τοσούτους ὑμῶν, ὁπόσοις ἂν) βουλώμεθα μάχεσθαι Ξεν. Ἀν. 2, 5, 18 ἐφ' ὧν (οὖσιν, ἱσταμένοις, φυλάττουσιν) ἡμῖν ἔξεστιν ἀπολαμβάνειν ὡς ἐκ ταμιείου τοσούτους ὑμῶν (τῶν Ἑλλήνων), ὁπόσοις ἂν βουλώμεθα μάχεσθαι. Αὕτη εἶνε ἡ μόνη ὀρθὴ ἑρμηνεία τοῦ χωρίου. Οἱ περὶ τὸν Τισσαφέρνην, προκαταλαβόντες ἐπίκαιρον θέσιν ἐπὶ τοῦ ποταμοῦ δύνανται ν' ἀποχωρίζωσιν ὅσους ἐκ τῶν Ἑλλήνων θέλουν, (φυσικῷ τῷ λόγῳ, καθ' ὃν χρόνον οἱ Ἕλληνες διαβαίνουν τοὺς ποταμούς), ἵνα τοὺς φονεύωσι. Τὸ πρῶτον καὶ κύριον εἶνε ἡ ἐπὶ τῶν ποταμῶν κατάληψις ἐπικαίρου θέσεως (τοῦτο δηλοῖ τὸ ἐφ' ὧν). Τὰ ἄλλα παρέπονται ὡς ἐκ τῆς ἐννοίας τοῦ ταμιεύεσθαι (= ὡς ταμίαν ἀπολαμβάνειν, ἀποχωρίζειν· ἴδ. Πλουτ. Τιμολ. κεφ. 27), καὶ ἰδίως τὸ ὅτι δύνανται νὰ ἀποχωρίζωσι καὶ φονεύωσι τόσους ἐκ τῶν Ἑλλήνων, ὅσοι ἑκάστοτε ἐπιχειροῦν νὰ διαβῶσι τοὺς ποταμούς. Τούτων οὕτως ἐχόντων, ὁ Κ. Λουκ. Δημητριάδης (ἐν Ἀθηνᾶς τόμ. 15φ σελ. 517 κέ.) ἑρμηνεύων τὸ

ἐφ' ὧν διὰ τῆς φράσεως: «κατὰ τὴν διάβασιν τῶν ὁποίων», προφανῶς παρερμηνεύει τὸ χωρίον. Τὸ ἐφ' ὧν δὲν δύναται νὰ σημαίνῃ τοιοῦτόν τι. Ὁμοίως: παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσοις ἂν βουλώμεθα αὐτῶν μάχεσθαι 3, 3, 47 οἵτινες (κυρ. «ποῦ») παρέδωσαν ἑαυτοὺς εἰς ἡμᾶς ν' ἀποχωρίζωμεν ὡς ταμίαι ἓν μέρος ἐξ αὐτῶν οὕτως, ὥστε νὰ πολεμῶμεν μὲ ὅσους ἐξ αὐτῶν θέλομεν. Ὁμοίως ἐξηγητέον τὸ ἐν 4, 1, 18· πρβ. Ξεν. Κ. Π. 3, 3, 47. οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βουλόμεθα ἄρχειν Θουκ. 6, 18 δὲν δυνάμεθα ἀκριβῶς νὰ ὁρίζωμεν (ὑπολογίζωμεν), μέχρι ποίου σημείου θέλομεν νὰ ἐπεκτείνωμεν τὴν ἀρχὴν ἡμῶν. ὅταν ἡδυπαθῆσαι βουληθῶ, οὐκ ἐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι, πολυτελῆ γὰρ γίγνεται, ἀλλ' ἐκ τῆς ψυχῆς ταμιεύομαι Ξεν. Συμπ. 4, 41 ὅταν θελήσω νὰ καλοπεράσω, δὲν ἀγοράζω ἐκ τῆς ἀγορᾶς τὰ πολύτιμα (ὄψα καὶ φαγητά), διότι εἶνε πολὺ ἀκριβά, ἀλλὰ λαμβάνω αὐτὰ ἐκ τῶν ἀποταμιευμάτων (ἐκ τοῦ ταμιείου) τῆς ψυχῆς μου. ἐκ τῆς τούτου χειρὸς τεταμιεύμεθα τοὺς νόμους Λυσ. 30, 3 ἔχομεν λάβῃ τοὺς νόμους ἐκ τῆς χειρὸς τούτου, κανονίζοντος αὐθαιρέτως τὴν θέσιν καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν τῶν νόμων (οὓς εἴχαμεν ἐμπιστευθῆ εἰς αὐτόν).

τάμνω, ἴδ. τέμνω.

τᾶμος = ἆμος, ἐν τῷ τᾶμος ἄϋπνος κλυτὸς ὄρθρος ἐγείρησιν (ὑποτ.) ἀηδόνας Ἀπ. Ἰβύκ. 7 ὅτε ὁ ἄϋπνος κλυτὸς ὄρθρος ἐγείρει τὰς ἀηδόνας (Herw.). Πρβ. τέως = ἕως.

τάν Δωρ. = τὴν καὶ ἣν καὶ ταύτην.

τάν ἢ τᾶν, ἀκλ. μόνον παρ' Ἀττ. ἐν τῇ φράσει ὦ τᾶν, ἢ ὦ τάν· «ὦ τάν: ὦ οὗτος, ὦ ἑταῖρε, ὦ τάλαν, ὦ μέλε· ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ γυναικῶν λέγεται μόνων, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. Πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τάν, ὡς παρὰ Κτησιφῶντι. Οἱ δὲ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βαρύνουσι· καὶ βέλτιον· ἀδύνατον γὰρ μίαν λέξιν εὑρεθῆναι δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἐτάν, ἀγνοῶν ὡς ἀπὸ τοῦ ἔτης ἡ κλητικὴ ἐστιν ἔτα, καὶ Δωρικῶς ἔταν. Ἀριστοφάνης (Βατρ. 953): «τοῦτο μὲν ἔασον, ὦ τάν· οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου»: τὰ περὶ δημοκρατίας καὶ ἰσότητος, φησίν, ἔασον· ἐμὸν δέ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου, οὐ σόν. — Οὐ πρὸς ἕνα μόνον τὸ ὦ τάν, ἀλλὰ καὶ πρὸς δυο· Ἀριστοφάνης Πλούτῳ (66) «ὦ τάν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ», καὶ Κρατῖνος «ἆρά γε, ὦ τάν, ἐθελήσετον; (-σετε;)» Σχολ. εἰς Πλ. Ἀπολ. 25C καὶ Σουΐδας. Ἐκ τῆς περὶ τοῦ τονισμοῦ τῆς λέξεως παρ' Ἀττικοῖς παρατηρήσεως νομίζεται, ὅτι οἱ Ἀττικοὶ ἔγραφον ὦταν ἐν μιᾷ λέξει. Περὶ τῆς καταγωγῆς τῆς λέξεως ὑπάρχει ἀνέκαθεν διαφωνία. Οὐχ ἧττον ἀξία παραθέσεως εἶνε ἡ παρ' Ἡσυχίῳ γλῶσσα: «τᾶν, σὺ Ἀττικῶς», πρὸς ὃ παραβάλλουσι τὸ Σανσκριτ. tvam (σύ).

τᾶν γεν. πλ. Δωρ. = τῶν.

τἄν Ἀττ. κατὰ κρᾶσιν ἀντὶ τοὶ ἄν.

τἀν Ἀττ. κατὰ κρᾶσ. ἀντὶ τὰ ἐν.

ταναϋφής 2 λεπτοΰφαντος, μακρός, ποδήρης. Οὕτω διορθωτέον παρὰ Σοφ. Τρ. 623 τό γ' εὐυφῆ. Ἴσως γρ. τ' εὐυφῆ καὶ κατωτ. διδούς τε.

τἀντός = τὰ ἐντός.

τανύδρομος 2 Αἰσχ. Εὐμ. 370: σφαλερὰ τανυδρόμοις κῶλα, ἴδ. βαρυπεσής.

τανύω τείνω, ἐκτείνω (ῥ. τα- = τεν-, ἴδ. τείνω. Τὸ ῡ μόνον ἐν Ἀνακρεοντείοις 35, 5) ἐπ. ποιητ., ἀλλ' οὐχὶ Ἀττ., σπαν. νέ. Ἰων. καὶ μτγν. πεζ., τανύσω μτγν., ἐν- φ 127 (-τανύειν Ἀρίσταρχ.), ἄλλως τανύω (ὡς μέλλων) φ 174. ἐτάνυσσα, τάνυσσα, τάνῠσα Ὅμ., τανύσας καὶ Ἱπποκρ. 8, 458. παρα- 4, 188. ἐν- Ἡρ. 5, 25 (Δωρ. -ύσαις Πίνδ. Ὀ. 2, 91. συν- Π. 1, 81). Μέσ. τανύω ἐμαυτῷ, μτβ. ἐτανυσσάμην Ὕμν. Ἑρμ. 51. Καλλιμ. Ἄρτ. 27. τανυσσ- Ἀπολλ. Ῥ. 2, 91, -υσσάμενος Δ 412. (ἀμτβ. = τανυσθείς ι 298). Παθ. τάνῠται κατὰ τὰ εἰς -μι, ὡς ἐκ τοῦ τάνυμι, Ρ 393. ἐτανύσθην ἐπ., ἐξ- Η 271, γ' πλ. τάνυσθεν Π 475. π 175. Μέλ. παθ. τανύσσεται Ἀπ. Ἀρχιλόχ. 4. τετάνυσται ι 116. (τετανυμένος Γαλην. 13, 991). τετάνυστο Κ 156. δ 135. ε 68 καὶ μτγν. ἐπικ. Θεόκρ. 12, 157 (τετάνυντο Μανέθ. 2, 137). τετανύσσεται Ὀρφ. Λιθ. 319. παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν α 138 κἀλλ. «κατὰ μῆκος ἐπέθηκε» Σχ. τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον Ρ 400 τοιοῦτον Ζεὺς ἀγῶνα (ταλαιπωρίαν) χαλεπὸν (ὀλέθριον) ἀνδρῶν τε καὶ ἵππων ἐνέτεινε (διήγειρεν) ἐπὶ τῷ Πατρόκλῳ (πεπτωκότι) (πρβ. παθ. 543). ὁμοιΐου πολέμοιο πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν Ν 359, ἴδ. ἐπαλλάσσω. πᾶσαν εὐφροσύναν τάνυεν Πίνδ. Ι. 4, 129 πᾶσαν χαρὰν (διασκέδασιν, ἀπόλαυσιν) ἐξέτεινε. τανύοντο δὲ μώνυχες ἵπποι ἄψορρον προτὶ ἄστυ Π 375 «ἔτρεχον δὲ (κυρ. ἐκτεινόμενοι ἔτρεχον, δρόμῳ ἐφέροντο) οἱ μονώνυχες ἵπποι εἰς τοὐπίσω» Γαζῆς. τὼ (ἵππω) δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν Π 475 οὗτοι δὲ ἔλαβον τὴν (προτέραν) εὐθεῖάν των θέσιν (πλησίον τοῦ ῥυμοῦ), ἐτεντώθησαν δὲ (πάλιν, ὥστε ἐστάθησαν κανονικῶς πλησίον τοῦ ῥυμοῦ, διότι προηγουμένως διαστήτην (ἀπεχωρίσθησαν) ἐντὸς τῶν ἡνιῶν (αἵτινες ἕνεκα τῆς προηγ. διαστάσεως τῶν ἵππων ἔπεσαν κατὰ γῆς καὶ ἀνακατώθησαν).

τάξις ἡ: τάξις τάξιν παρεκάλει νεὼς μακρᾶς Αἰσχ. Πέρ. 383 κυρ. ἡ τάξις ἑκάστου πολεμικοῦ πλοίου παρήγγελλε τάξιν (τ. ἔ. τὸ ἄλλο νὰ φυλάξῃ τὴν τάξιν του), ἤτοι: δι' ἀμοιβαίας παρακελεύσεως ἐτάχθησαν κατὰ

σειρὰν τὰ πολεμικὰ πλοῖα. οὐ γὰρ ἀφαιρεῖσθαι τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν, οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν Δημ. 18,13, ἴδ. ἐπήρεια. Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει Σοφ. Αἴ.4, ἴδ. ἔσχατος. τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον Δημ. 18,173 ἴδ. λείπω. στρατὸν γὰρ ἐν ὅπλοις ὄντα κἀπὶ τάξεσι φόβος διεπτόησε πρὶν λόγχης θιγεῖν Εὐρ. Βάκχ. 303 στρατὸν γὰρ ἔνοπλον ὄντα καὶ παρατεταγμένον ὁ φόβος (ἐμπεσών) διαλύει καὶ διασπᾷ.

ταπεινός 3: ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε Θουκ. 2, 61 τὸ φρόνημα ὑμῶν ἔγινε πολὺ ταπεινὸν ἢ ὥστε νὰ διαφυλάττητε μετὰ καρτερίας ὅσα ἀπεφασίσατε. ἔσται ταπεινός, οἷον ἐξαρτύεται (= ὅτι τοιοῦτον ἑτοιμάζεται) γάμον γαμεῖν Αἰσχ. Πρ. 940.

τᾶρα Ἀττ. κατὰ συναλοιφ. ἀντὶ τοὶ ἄρα.

τᾰραγμός ὁ: ἔστιν γὰρ ἡ ταραγμὸς ἐμπέπτωκέ μοι Εὐρ. Ἑκ. 857 «ἔστι γάρ τι (τοῦ πράγματος τούτου) καθ' ὃ τετάραγμαι» Σχ.

τᾰράσσω (ῥ. ταραχ-, ταρχ, τρᾱχ, πρβ. τραχύς) Δωρ. Ἰων. καὶ Τραγ. καὶ Θουκ., ταράττω Ἀττ. Ξεν. Πλ. Ῥήτορ., ὁμαλόν. πρκ. μετὰ σημ. μτβ. δὲν εὑρίσκεται, ἀλλὰ συνετεταράχειν Δί. Κάσσ. 42, 36. ἀμτβ. Ἰων. τέτρηχα εἶμαι τραχύς, ἀνήσυχος Ἀπ. Φιλητ. 3, 7 Schn. Ἀπ. Ῥ. 4, 447, -ηχώς Α 346. Ἀπ. Ῥ. 1, 1167. 3, 276. 1393. Νικ. Θηρ. 267 (ἐνεστ. μτχ. τρήχοντα Αὐτ. 72, τρήχοντι 521). τετρήχει Β 95. Μέλλ. ἐνεστ. παθ. ταράξομαι Θουκ. 7, 36, 6. 67, 2. Ξεν. Κ. Π. 6, 1, 43. — ἐταράχθην. Παρασχηματ. θράσσω ποιητ. (ἀλλ' οὔτε παρ' Ὁμ. οὔτε παρ' Ἡσι.) Πίνδ. Ἰ. 6, 39. Ἀπ. Σοφ. 179. καὶ θράττω Πλ. Θεαίτ. 187 C. Φαίδων 86 E. ἔθραξα Πλ. Παρμενίδ. 130 D. Φαῖδρ. 242 C. θρᾶξαι Αἰσχ. Πρ. 655. θρᾱξοῦμαι Ἡσύχ. ἐθράχθην Ἀπ. Σοφ. 952. οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ Πίνδ. Ὀ. 2, 63 ἴδ. ἀκμή. τὸ δὲ τεόν, εἰ μισθοῖο συνέθευ παρέχειν φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλλᾳ (Heyne: ἄλλα χρή) ταρασσέμεν (χαρασσέμεν Bergk, παρασσέμεν Jurenka κτλ.) Πινδ. Π. 11, 41 ἐὰν συνεφώνησας ἐπὶ μισθῷ νὰ παρέχῃς τὴν ὑπάργυρον (πληρωμένην) φωνήν σου, σὸν ἔργον εἶνε νὰ περιφέρῃς (νὰ στρέφῃς) ἄλλοτε πρὸς ἄλλο μέρος τὴν φωνήν σου. Ὁ Σχ. ὧδε «εἰ δὲ ἀληθῶς. . μισθοῦ τὴν σὴν φωνὴν ὑπέσχου παρασχεῖν, ἄλλοτε ἄλλα ὀφείλεις ἀνακινεῖν ἐγκώμια» ἔχων τὴν γρ. τὸ δ' ἑτεὸν καὶ ἄλλα χρή. δεινὰ ταράσσει σοφὸς οἰωνοθέτας οὔτε δοκοῦντ' οὔτ' ἀποφάσκοντα Σοφ. Ο. Τ. 483 δεινὴν ταραχὴν ποιεῖ ἐμοὶ οὔτε δοκοῦντι οὔτε ἀποφάσκοντι. Μᾶλλον: ταράσσει (με: ταραχὴν ἐμποιεῖ) δεινὰ ἀγγέλλων οὔτε πιστευτὰ (ἀρέσκοντα) οὔτε ἀπίστευτα (κυρ. ποῦ δὲν λέγουν ὄχι). θύσω (Διονύσῳ, εἰρωνικῶς), φόνον γε θῆλυν, ὥσπερ ἄξιαι (ἄξιος Wilamow.), πολὺν ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς Εὐρ. Βάκχ. 796 θὰ θυσιάσω, ἀλλὰ θύματα γυναικεῖα, ὅπως «τὸ ἀξίζουν», φονεύσας διὰ συντόνου καταδιώξεως πολλὰς ἐξ αὐτῶν ἐν ταῖς πτυχαῖς τοῦ Κιθαιρῶνος. Τὸ ταράξας σημ. κυρ. ἀφ' οὗ ταῖς κάμω ἄνω κάτω διὰ τῆς καταδιώξεώς μου. ὥς μοι ὑφ' ἥπατι δεῖμα χλοερὸν (οἷον: ὁ ὠχρὸς φόβος) ταράσσει (ταραχὴν ἐμποιεῖ) Ἰκ. 599. Κατ' ἄλλους ἐκ τοῦ ταράσσει (ταραχὴν καὶ ἀπορίαν ἐμβάλλει) ἐξαρτ. τὸ πᾶ- κριθήσεται. ὥς μου τὸν θῖνα ταράττεις Ἀρφ. Σφ. 696, ἴδε θίς. λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον Ἀπ. Ἀμειψ. 18 ἴσως ἐνν. ταράξας (ἀφ' οὗ ἀνακατώσῃς) πίε τὸν ζωμὸν τοῦ θαλασσίου λαγοῦ. Ὅπου παρατηρητέον ὅτι οὐ μόνον τὸ πῖθι, ἀλλὰ καὶ τὸ ταράξας λέγεται ἐπὶ φαρμάκου· ἴδ. Φιλοστρ. β. Ἀπολλ. 6, 32. Πλουτ. 983 F. ‖ ἐγείρω· σὺ καὶ τόδε νεῖκος ἀνδρῶν ξύναιμον ἔχεις ταράξας Σοφ. Ἀντ. 793 σὺ ἔχεις διεγείρῃ καὶ τὴν παροῦσαν φιλονεικίαν συναίμων ἀνδρῶν. ἵν' εἰδῆθ' ἡλίκα πράγμαθ' ἡ μιαρὰ κεφαλὴ ταράξασ' αὕτη δίκην οὐκ ἔδωκε Δημ. 18, 153 γιὰ νὰ ἠξεύρητε τί δουλειαὶς μᾶς ἐσκάρωσεν (ἐκίνησεν, ἐμηχανορράφησεν) ἡ μ. κεφ. χωρὶς νὰ τιμωρηθῇ: καὶ δὲν ἐτιμωρήθη. Πρὸς τὸ μιαρὰ (κακή, ἀναιδής) κεφαλή ἀντιτίθ. τὸ φίλη κεφαλή. γόος ἔνδικος ματεύει τὸ πᾶν ἀμφιλαφὴς ταραχθείς Αἰσχ. Χο. 329, ἴδε ματεύω.

τᾰραχή ἡ: δείσαντες μή. . .ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ Θουκ. 7, 86 μήπως διαταράξῃ αὐτοὺς ἐν μέσῳ τῆς εὐτυχίας των.

ταρβέω: τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας Αἰσχ. Εὐμ. 703 τοιοῦτον σεβασμὸν μετὰ φόβου τρέφοντες, ὡς εἶνε δίκαιον (ἢ τοιοῦτον σεβασμὸν καὶ φόβον ἐν δικαιοσύνῃ τρέφοντες). Συνήθως: τοιοῦτον σεβάσμιον δικαστήριον φοβούμενοι δικαίως.

τάρβος τό: ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι; Σοφ. Ἠλ. 412 ἔχεις ἐλπίδα τινὰ καὶ ἐνθάρρυνσιν ἐκ τοῦ τρομεροῦ ὀνείρου; μέριμναι ζωπυροῦσι τάρβος τὸν ἀμφιτειχῆ λεών Αἰσχ. Ἑπτ. 276 ἀνάπτουσι τὸν τρόμον μου πρὸς τὸν ἀμφιτειχῆ λεών. ᾧ μή 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ Σοφ. Ο. Τ. 296 ὁ μὴ τὸ ἔργον ταρβῶν (δεδιώς), οὐδὲ τὸν λόγον φοβεῖται.

τᾶργα οὕτω γρ. μᾶλλον ἢ τἆργα, ἴδ. τἄλλα.

τᾰρῑχεύω: ταῦτα εἰπὼν (ὁ Ζεύς) ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὄα τέμνοντες καὶ μέλλοντες ταριχεύειν Πλ. Συμπ. 190 D ὅπως ἐκεῖνοι ποῦ κόπτουν τὰ σοῦρβα καὶ ἔχουν σκοπὸν νὰ τὰ κάμουν τουρσί (ὡς καὶ σήμερον). Ἡ γρ. τῶν χ/φων εἶνε ᾠά, ὃ ὀρθῶς μετέγραψεν ὁ Ruhnken εἰς ὄα ἐν τῷ Πλάτων. Λεξικῷ Τιμαίου τοῦ σοφιστοῦ, ὃς ἐξηγεῖται ὧδε: «ὄα: ἀκροδρύων εἶδος μήλοις μικροῖς ἐμφερές»· ἴδε καὶ

Πολυβ. 6, 80. Ἐγὼ δὲ νομίζω, ὅτι καὶ τὸν καὶ πρέπει νὰ ἐξαλείψωμεν ἢ νὰ τρέψωμεν εἰς ὡς. κακῶς ταριχευθέντα (=ἀποξηρανθέντα ἐκ τῆς κακοπαθείας, κατασκελετωθέντα) παμφθάρτῳ μόρφῳ Αἰσχ. Χο. 294 «ἀφ' οὗ γίνουν πετσὶ καὶ κόκκαλο»· ἴδ. πάμφθαρτος.

ταρπήμεναι, ταρπῆναι, ἴδ. τέρπω.

ταρσός ὁ, Ἀττ. ταρρός: ταρσῷ κατήρει πίτυλον ἐπτερωμένον Εὐρ. Ἰ. Τ. 1346, ἴδ. πίτυλος.

τάσσω (ῥ. ταγ-) Τραγ. Θουκ., τάττω Κωμ. Ξεν. Πλ. Ῥήτορ., ὁμαλόν, καὶ πρκ. τέταχα. Μέσ. μέλλ. τάξομαι ὡς ἁπλ. Παλ. Δ., ἀλλὰ ἐπι- παθ. Εὐρ. Ἱκέτ. 521, ἀντι- Φοίν. 622. Παυσ. 9, 17, 2. Μέλλ. συντελ. παθ. ταχθήσομαι Διόδ. Σ. 11, 41, ἐπι- Ἀττ. πεζ. Μέλλ. β' σπάν. καὶ μτγν. ἐνταγήσομαι Ὀρειβάσ. 8, 1.—ἐτάχθην (μτγν. ἐτάγην Περικτ. π. Στοβ. 79, 50, ἐπι- Ἀπολλόδ. 1, 9, 23 κἀλλ. τέταγμαι ποιητ. καὶ πεζ., τετάχαται Θουκ. 3, 13, ἀντι- Ξεν. Ἀν. 4, 8, 5. ἐτετάχἄτο 5, 6. 7, 4. δι- 4, 31. Μετ' ὀλ. μ. τετάξομαι Ἀττ. ποιητ. καὶ πεζ., τακτός, -τέος. κόσμον φυλάσσουσ', ὅντιν' ἂν τάξῃ πόλις Εὐρ. Ἱκ. 245 κυρ. =φυλάττουσα τὴν τάξιν, ἥντιν' ἂν τάξῃ (ὁρίσῃ) πόλις. Σύστοιχος σύνταξις. Ἄλλοι ὑπονοοῦσι τὸ φυλάσσειν εἰς τὸ τάξῃ. ὁποῖος ἤθελ'· οὐκ ἐγὼ ἔτασσον τόδε Βάκ. 478 ὁποῖος ἤθελε νὰ εἶνε· δὲν ὥριζον ἐγὼ τοῦτο: ἐγὼ δὲν ἐμποροῦσα νὰ τὸν διατάξω ποίαν μορφὴν νὰ λάβῃ. οὐδένα κόσμον ταχθέντες ἐτράποντο Ἡρ. 9, 69 κυρ. σύστ. σύνταξις: οὐδεμίαν τάξιν ταχθέντες (=οὐδένα κόσμον κεφ. 65 μὲ καμμίαν τάξιν, χωρὶς νὰ ἔχουν καμμίαν τάξιν). Καὶ μέσ. ἐν Εὐρ. Ἡρακλ. 664 τάσσεταί θ' ὃν ἦλθ' ἔχων καὶ παρατάσσει (διὰ τῶν ἀξιωματικῶν) τὸν στρατόν, ὃν ἦλθεν ἔχων. ἐπὶ σκηπτουχίᾳ ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανὼν Αἰσχ. Πέρ. 300 ταχθεὶς ἐπὶ τῇ ἀρχιστρατηγίᾳ (ὡς ἀρχιστράτηγος), ἀποθανὼν (διὰ τοῦ θανάτου του) ἠρήμου τὴν τάξιν (τῆς ἀρχιστρατηγίας), ὥστε γενέσθαι ἄνανδρον (ἄνευ ἀνδρὸς ἄρχοντος): ἐποίησεν αὐτὴν ἔρημον ἑαυτοῦ. Ἀλλ' ἴσως ἐνν. τὴν ἄνευ ἀνδρῶν ἀπολειφθεῖσαν ἀρχιστρατηγίαν, φονευθέντων δηλ. τῶν ἄλλων στρατηγῶν. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου Εὐμ. 278 ἐν δὲ τῇ παρούσῃ περιστάσει ἔλαβον παρὰ σοφοῦ διδασκάλου τὴν ἐξουσίαν νὰ ὁμιλῶ. ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τ' ἦσαν (ἐνν. τάξασθαι) Θουκ. 2, 83 κυρ. ἐτάξαντο κυκλικὴν τάξιν τῶν νεῶν: παρέταξαν τὰ πλοῖά των εἰς σχῆμα κύκλου, ὅσον τὸ δυνατὸν μεγίστου. ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς 2, 90 παρατάξαντες τὰς ναῦς εἰς τέσσαρας γραμμὰς (ὥστε νὰ ὑπάρχῃ βάθος τεσσάρων νεῶν). ἐτάξαντο παρὰ πᾶν ὡς ἀμυνούμενοι, ᾗπερ ἦν ἐπίμαχον 4, 35 ἔταξαν ἑαυτοὺς καθ' ὅλον τὸ μῆκος (τοῦ ἐρύματος) ἀκριβῶς εἰς ὅλα τὰ σημεῖα, ὅπου ἠδύνατο νὰ γίνῃ προσβολή, ἵνα ἀποκρούσωσιν αὐτήν. κτείνειν ὃν ἂν χρῇ· τοῦτο γὰρ τετάγμεθα Εὐρ. Ἄλκ. 49 (οὐκ οἶσθ' ἂν εἰ πείσειάς με: δὲν ἠξεύρεις ἂν ἐμπορεῖς νὰ με πείσῃς) κτείνειν ὃν ἂν ᾖ πεπρωμένον (κτείνειν = ὃν ἂν χρῇ)· τοῦτο γὰρ τετάγμεθα (εἴμεθα βαλμένοι, ἔχομεν ἔργον, ἐνν. ποιεῖν). τῆς πρώτης (τάξεως) τεταγμένος Λυσ. 16, 15 εἰς τὴν πρώτην τάξιν, σειράν. οἱ δ' Ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον Θουκ. 2, 84 τεταγμένοι εἰς γραμμὴν (εἰς μέτωπον), ἧς τὸ βάθος ἦτο ἓν πλοῖον (ὅπως ἠδύνατο νὰ εἶνε καὶ δύο καὶ τρία), περιέπλεον κύκλῳ καὶ συνέστελλον εἰς μικρὸν χῶρον. Ἡ κατὰ δηλοῖ τὴν κατὰ βάθος ἔκτασιν τοῦ μετώπου, τ. ἔ. ἔχοντες βάθος μιᾶς νεὼς εἰς ὅλα τὰ σημεῖα τοῦ μετώπου. Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται φόνου; Εὐρ. Ἰ. Τ. 1046 «ἐν τίνι μέρει τῶν κατὰ τὸ μίασμα ἔσται ὑφ' ἡμῶν τεταγμένος; Πυλάδου ἐν τῷ μιάσματι τί τὸ ἔργον;» Δ. Βερν. ἐν πᾶσιν ἐμαυτὸν ἔταττον Δημ. 18, 221 ἐπέβαλλον εἰς ἐμαυτὸν ὅλας τὰς θέσεις. Καὶ μετ' ἀπρφ. ἑαυτὸν τάξας τῶν ἀπιστούντων εἶναι Φιλίππῳ 19, 302 κυρ. τάξας ἑαυτόν, ὥστε εἶναι (ἵνα εἴη) τῶν (ἕνα τῶν) ἀπιστούντων Φιλίππῳ. τάξαντες (ἐνν. τὸ εἰσάγειν) ἀργυρίου πολλοῦ Θουκ. 4, 26 ὁρίσαντες τὴν εἰσαγωγὴν (τοῦ σίτου καὶ τῶν ἄλλων) ἀντὶ πολλῶν χρημάτων: προσενεγκόντες πολλὰ χρήματα τῷ εἰσάξοντι. χρήματα τοῖς πᾶσι τάξαντες φέρειν 1, 19 ἐπιτάξαντες (ἐπιβαλόντες, ὁρίσαντες) τοῖς πᾶσι χρήματα τελεῖν. ὀφλόντων αὐτῶν καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων διὰ πλῆθος τῆς ζημίας (διὰ τὸ μέγεθος τοῦ προστίμου), ὅπως ταξάμενοι ἀποδῶσι 3, 70 διὰ νὰ πληρώσωσιν ἐν προθεσμίαις, ὁρίσαντες προθεσμίας. Κόλχοι δ' ἐτάξαντο ἐς τὴν δωρεήν Ἡρ. 3, 97 = ἔταξαν ἑαυτοὺς εἰς τὴν δωρεὰν (ἤτοι: ἔταξαν ἑαυτοὺς εἰς τοὺς ἄγοντας τὴν δωρεάν): κατηρίθμησαν ἑαυτοὺς μεταξὺ τῶν προσφερόντων ἑκουσίως δῶρα. χρήματα ἐτάξαντο (= ἔταξαν ἑαυτοῖς) ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν Θουκ. 1, 99 ἀνεδέχθησαν (ἀνέλαβον) νὰ πληρώνωσι χρήματα ἀντὶ τῶν πλοίων, δηλ. τὸ ἀνάλογόν των· ἢ ὧδε: εἰς χρήματα νὰ πληρώνωσι τὸ ἀνάλογόν των. χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι καὶ τὸ λοιπὸν φέρειν Θουκ. 1, 101 ἀναλαβόντες τὴν ὑποχρέωσιν ν' ἀποδώσωσιν εὐθὺς τὰ ἀπαιτούμενα χρήματα καὶ τοῦ λοιποῦ νὰ πληρώνωσι φόρον. Τὸ μὲν ἀποδοῦναι δηλοῖ τὸ ἐφάπαξ, τὸ δὲ φέρειν τὸ διαρκές. Τὸ χρήματα κοινὸν ἀντικ. τοῦ τε ἀποδοῦναι καὶ τοῦ φέρειν. φόρον ἐτάξαντο Ἡρ. 3, 13 = ἔταξαν ἑαυτοῖς φόρον, ἤτοι: ἀνέλαβον τὴν ὑποχρέωσιν νὰ πληρώνωσι φόρον.

ταυροσφαγέω ἐς σάκος Αἰσχ. Ἑπτ. 43 σφάζω ταῦρον καὶ χέω τὸ αἷμά του εἰς τὴν ἀσπίδα.

ταυρόω: τοκάδος δέργμα λεαίνης ἅτε ταυροῦται (Δ.

Βερν.: ἀποταυροῦται) δμωσίν Εὐρ. Μήδ. 187 ταυροῦται ἡ Μήδεια τοῖς δμωσὶν τὸ δέργμα (ὡς τὸ ὄμμα ἐν 92) ὡς (=ἅτε ταυροῦται τὸ δέργμα) τοκάδος λεαίνης (Δ. Βερν.). Ἐν Αἰσχ. Χο. 275 ἡ ἀντίληψις εἶνε, οἵα καὶ ἐν Σοφ.Ο. Τ. 478, ὅπου ὁ φυγόδικος φονεύς, ὁ ὑπὸ τῶν χρησμῶν τοῦ θεοῦ καταδιωκόμενος, παραβάλλεται πρὸς ταῦρον, ὅστις ἀποχωριζόμενος ἀπὸ τῶν ἄλλων συντρόφων, περιπλανᾶται μόνος: φοιτᾷ ὑπ' ἀγρίαν ὕλαν ἀνά τ' ἄντρα καὶ πέτρας ἅτε ταῦρος «σὰν τὸ ἔρημο τὸ ζῶον»· ἴδ. ἀποχρήματος.

ταύτῃ ἐπίρρ. οἱ μὲν οὖν ταύτῃ πάντες δὴ προσωμολόγουν Ξεν. Ἀν. 7, 4, 24 οἱ εὑρισκόμενοι ἐν τούτῳ τῷ τόπῳ.

***ταφ-**, θαπ-, ἴδ. τέθηπα.

τάφος ὁ: πῶς ἂν ἔρημον τάφον Ἄδμητος κεδνῆς ἂν ἔπραξε γυναικός; Εὐρ. Ἄλκ. 96 πῶς ἤθελε τελέσῃ τὴν ταφὴν τῆς γυναικός του ἄνευ νεκρικῆς πομπῆς (συνοδείας); Εἰς τὸ ἔρημον ἐνν. γονέων, ἀδελφῶν, συγγενῶν, οἰκείων, φίλων, λαοῦ· ἤτοι τὸ ἔρημον μόνον λέγει πλειότερα, ἢ μετὰ γενικῆς (κατα Δ. Βερν.).

τάφος τό (πρβ. τέθηπα) θάμβος· τάφος δ' ἕλε πάντας φ 122 θάμβος κατέλαβε πάντας.

τάχα ἐπίρρ. τάχ' ἂν ἴσως Πλ. Πολιτικ. 264 C ταχέως ἴσως, γρήγορα ἴσως. Ὁμοίως Σοφ. Αἴ. 691. Θουκ. 6, 10. 34. 78. Ἀρφ. Σφ. 1456. Πλ. Σοφ. 247 D. Δημ. καὶ συχν. ἴδε ἴσως. Ὀρθῶς δὲ ἐν Εὐρ. Ἰ. Τ. 1055 ἐγράφη ἐκ διορθ. ἴσως ἂν πάντα (ἴσως ἅπαντα χ/φα) συμβαίη καλῶς.

τάχισθ' = τάχιστα.

ταχύνω: ὡς δύνασαι . . . ταχύνας σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν τῷδε Σοφ. Αἴ. 1164 σπεῦσον ὡς τάχιστα εὑρεῖν (κυρ. νὰ ἰδῇς νὰ εὕρῃς) κοίλην τινὰ κάπετον τῷδε· πρβ. 1404 οἱ μὲν κοίλην κάπετον χερσὶ ταχύνατε σπεύσατε παρασκευάσαι ταῖς χερσὶν (ὀρύξαι) κοίλην κάπετον. τάδε τοί με σπερχόμενος ταχύνει Εὐρ. Ἄλκ. 256 ἐπισπεύδων με ταχύνει λέγων τάδε: «τί μέλλεις (=βραδύνεις, ἀργεῖς); ἐπείγου, σὺ κατείργεις («κατέχεις» Σχ.)».

ταχύπομπος 2 Αἰσχ. Ἱκ. 1057. Τὸ χωρίον: τί ποτ' εὔπλοιαν ἔπραξαν ταχυπόμποισι διωγμοῖς; διὰ τί τάχα ἔτυχον εὐπλοίας (κυρ. κατώρθωσαν νὰ πλεύσωσι ταχέως) διὰ διωγμῶν ταχέως ἐπακολουθούντων (ταχέως ἐφεπόμενοι καὶ διώκοντες);

ταχύπορος 2 Αἰσχ. Ἀγ. 491: πιθανὸς ἄγαν ὁ θῆλυς ἔρος (Blomfield: ὅρος) ἐπινέμεται ταχύπορος ἡ γυναικεία ἐπιθυμία λίαν ἄπιστος προχωρεῖ ταχέως (κυρ. ταχέως ἐξευρίσκουσα πόρους, μέσα).

ταχύπους: κῶλον ταχύπουν Εὐρ. Βάκχ. 167. Τὸ χωρίον: ἡδομένα δ' ἄρα, πῶλος ὅπως ἅμα ματέρι φορβάδι, κῶλον ἄγει ταχύπουν σκιρτήμασι Βάκχα χαίρουσα δὲ ἡ Βάκχη, ὡς πῶλος κατόπιν τῆς φορβάδος μητρός της, ταχύπους διὰ σκιρτημάτων βαίνει.

ταχύρροθος 2 ταχέως τρέχων, ταχέως διαδιδόμενος. πρὶν ἀγγέλλους σπερχνούς τε καὶ ταχυρρόθους λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο Αἰσχ. Ἑπτ. 272 πρὶν ἀγγέλους τ' ἐπισπεύδοντας καὶ λόγους ταχεῖς (οἷον: ταχέως πετομένους) ἄλλους ἐπ' ἄλλοις ἀφικέσθαι, ταχείας τῆς ἐπικουρίας δεομένους· ἴδε φλέγω.

γὰρ οὐδεὶς ἔτλα τὸ πάλιν εἰσορᾶν 777, ἴδε πάλιν. τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο Α 586 «ὑπόμεινον, μῆτερ ἐμή, καὶ ἀνάσχου» Γαζῆς. οὔτε λόχονδ' ἰέναι τέτληκας θυμῷ Α 228 «οὔτε εἰς ἐνέδραν πορευθῆναι σὺν τοῖς ἀριστεῦσι τῶν Ἑλλήνων καρτερίαν ἔσχες ἐν τῇ ψυχῇ» Γαζῆς. ἔτλα (=ἠνέσχετο, ὑπέμεινε) δὲ σοῖσι μηλονόμας ἐν δόμοις γενέσθαι Εὐρ. Ἀλκ. 572. ὥστε μὴ πρὸς ἁγνὴν σπείρας ἄρουραν, ἵν' ἐτράφη, ῥίζαν αἱματόεσσαν ἔτλα Αἰσχ. Ἑπτ. 756, ἴδ. ῥίζα.

τλήμων -ονος 2, ὑπομένων, καρτερικός· βροτῶν τλήμονι καὶ πανούργῳ χειρί Αἰσχ. Χο. 378, ἴδε ἀναπέμπω. εἰ μὴ τλημονεστάτη (=ἀθλιωτάτη) γυνὴ πασῶν ἔβλαστε (=ἔφυ) Σοφ. Ἠλ. 439. ἄκεά τ' οὐ βέβαια τλάμων μάταν παρηγορεῖ Εὐμ. 509, ἴδ. παρηγορῶ. δμωΐδες δὲ καινοπήμονες νέαι τλήμονες εὐνὰν αἰχμάλωτον ἀνδρὸς εὐτυχοῦντος, ὡς δυσμενοῦς ὑπερτέρου ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν, παγκλαύτων ἀλγέων ἐπίρροθον Αἰσχ. Ἑπτ. 350 αἱ δὲ δοῦλαι, αἱ τὸ πρῶτον δουλείας γευσάμεναι, αἱ νέαι, οἴσουσιν (ὑπομενοῦσι = τλήμονες ἐνν. ἔσονται, ὡς πρὸς αἰτ.) αἰχμάλωτοι τὴν εὐνὴν τοῦ κρατοῦντος πολεμίου, ὥσπερ φόβος ἐστὶ μὴ νυκτὸς ὑπηρετήσωσι καὶ ἰσχυροτέρῳ πολεμίῳ, ὅπερ ἐπαυξήσει τὰς λύπας αὐτῶν, ἐφ' αἷς ἀεὶ θρηνοῦσι. Καὶ ὁ Σχολ. οὕτως ἑρμηνεύει τὸ τλήμονες: «μεταστᾶσαι εἰς δουλείαν οἴσουσι τὴν τῶν πολεμίων εὐνήν». Εἰς τὸ τλήμονες ἐνν. κυρ. εἰσί, διότι ὁ ποιητὴς μετατίθεται νοερῶς εἰς ἣν θέσιν περιγράφει. Περὶ δὲ τῆς πρὸς αἰτ. συντάξεως πρβ. Ἀγ. 1075 πολλὰ συνίστορα, Περσ. 984 μύρια πεμπαστάν, Χο. 23 χοὰς προπομπός, καὶ τὸ Σοφ. Ἀντ. 787 καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδείς, ὅπου ἐνν. τὸ ἐστί, ὡς καὶ ἐν τῷ προκειμένῳ χωρίῳ. τέλος νύκτερον «ἀντὶ τοῦ νύκτα περιφραστικῶς» Σχ. Ἀλλὰ καὶ ἂν ἐκλάβωμεν αὐτὸ ἀντὶ τοῦ τέλος γαμήλιον μετὰ τοῦ Weckl., πάλιν ἔχει καλῶς τὸ νόημα, ἴδε ἐπίρροθος. οἰωνὸν προέηκεν, τλήμονα γαστρὸς ἔριθον Ὕμν. Ἑρμ. 296 ἀφῆκεν (ἐξέπεμψεν) οἰωνόν, τολμηρὸν ὑπηρέτην τῆς γαστρὸς (ἐνν. πορδήν). Ἐπιφέρεται δ' ὁ πταρμὸς (ἐπέπταρε), ἕτερος οἰωνός, εὐπρεπέστερος, ἵνα συγκαλύψῃ τὸν προηγηθέντα ἀπρεπέστερον. ‖ δυστυχής· ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενὸς Αἰσχ. Ἀγ. 1301 γνώριζε ὅτι εἶσαι μὲν δυστυχής, ἀλλ' ἡ δυστυχία σου προέρχεται ἐκ γενναίας καρδίας. Παρὰ τοῖς τραγικοῖς τὸ τλήμων = ἄθλιος, ἐξώλης.

τλῆναι, ἴδε * τλάω.

τλησικάρδιος 2 Αἰσχ. Ἀγ. 438, ἴδ. πένθεια.

τό, ἴδ. ὁ.

τόθεν καὶ ὡς ἀναφ. = ὅθεν· Αἰσχ. Πέρ. 101. Τὸ χωρίον: τόθεν (= ὅθεν) οὐκ ἔστιν ὑπὲκ (Emperius: ὑπέρ) θνατὸν ἀλύξαντα φυγεῖν ὁπόθεν δὲν εἶνε δυνατὸν ὁ θνητὸς διασωθεὶς νὰ ἐκφύγῃ.

τοι ἐγκλ. μόριον, ἐκφράζον διαβεβαίωσιν ἐξ ὑποκειμένου (πίστευσέ με, ἤξευρε, νὰ ἠξεύρῃς, πρβ. πού, οἶμαι). Ἴσως εἶνε παλαιὰ δοτ. τῆς ἀντων. τοῦ β' προσ. ἀντὶ τοῦ σοί. Ἄλλοι ἄλλως. εἰ γὰρ σὺ μὲν παῖς ἦσθ', ἐγὼ δὲ σὸς πατήρ, ἔκτεινά τοί σ' ἂν Εὐρ. Ἱππ. 1043 θὰ σὲ ἐφόνευα, πίστευσέ με. Ἀτρείδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν ὀτρύνεις; οὐ μέν τοι, ὅση δύναμίς γε πάρεστιν, παύομαι κἑ. ἀληθῶς δὲν εἶμαι, ὡς νομίζω (= τοι), ἀργός. Ἢ ἐξαίρει τὸ πρόσωπον, μεθ' οὗ τίθεται· εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι πρώτη θάνοις ἂν Σοφ. Ἠλ. 582 σὺ βεβαίως πρώτη ἤθελες φονευθῇ. ὦ σέ τοι Ἀρφ. Ὄρν. 274 = ὦ σέ τοι καλῶ (ἴδ. στ. 406). σέ τοι λέγω Ηλ. 1099. Εὐρ. Ἴων 219. Ἰ. Α. 855.

τοι Δωρ. Ἰων. = σοι

τοι, ταί ἐπ. καὶ Ἰων. ἀντὶ οἱ (οἵ), αἱ (αἵ).

τοῖο Ἰων. = τοῦ.

τοῖος 3: πέλαγος μέγα τοῖον γ 321 «ἔτσι δὰ μεγάλο» (ἐν ᾧ δεικνύει τοῦτο διὰ χειρονομίας). σαρδάνιον μάλα τοῖον υ 302 ὅπερ λέγει, ἐν ᾧ ἀπομιμεῖται τὸν γέλωτα τοῦτον. σιγῇ τοῖον ἀναστάντες τελέωμεν μῦθον δ 776 ἃς σηκωθῶμεν ἔτσι δὰ σιγὰ σιγὰ (καὶ σηκωνόμενος ἀπομιμεῖται ὅ τι λέγει) καὶ ἃς ἐκτελῶμεν τὸ σχέδιον. Ἐκ τούτου δὲ προέρχεται ἡ παρ' Ἡσυχίῳ σημ. «τοῖον· οὕτως ἀγαθόν· τάσσεται καὶ ἐπὶ θαυμασμοῦ». Ὅθεν Αἰσχ. Ἱκ. 400 εἴ πού τι μὴ τοῖον (τ. ἔ. τοιοῦτον οἷον εὐχόμεθα) τύχοι. ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές Ἑπτ. 567 ἀληθῶς θαυμάσιον ἔργον καὶ εἰς τοὺς θεοὺς προσφιλὲς εἶνε.

τοιόσδε: εἴη δ' ἂν ἡ ἐξουσία, ἣν λέγω, τοιάδε μάλιστα, εἰ αὐτοῖς γένοιτο, οἵαν ποτέ φασι δύναμιν τῷ Γύγου τοῦ Λυδοῦ προγόνῳ γενέσθαι Πλ. Πολ. 359C εἰ κτήσαιντο, οἵαν ποτέ φασι δύναμιν τὸν Γύγου τοῦ Λ. προγόνου κτήσασθαι. καὶ (ἵνα) μὴ ἐξατιμάζητον (ἐνν. τοὺς φυτεύσαντας) εἰ τυφλοῦ πατρὸς τοιώδ' ἐφύτην Σοφ. Ο. Κ. 1378 καὶ ἵνα μὴ ἀτιμάζητε τοὺς γονεῖς ὑμῶν, εἰ (ὅτι) ἐκ τυφλοῦ πατρὸς τοιοῦτοι (τ. ἔ. ἀσεβεῖς, ἄστοργοι) ἐγένεσθε.

τοιοῦτος, τοιαύτη, τοιοῦτο καὶ τοιοῦτον· τοιοῦτος ἄρα ἐστὶν ἑκάτερος αὐτῶν οἷσπερ ἔοικεν Πλ. Πολ. 349D = οἷοι ἐκεῖνοι, οἷσπερ ἔοικεν. ὡμολογοῦμεν, ᾧ γε ὅμοιος ἑκάτερος εἴη, τοιοῦτον καὶ ἑκάτερον εἶναι 350C = τοιοῦτον καὶ ἑκάτερον εἶναι, οἷός ἐστι (ἐκεῖνος), ᾧ γε ὅμοιος ἑκάτερος εἴη. οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν, ᾧ (= οἷον ἐκεῖνο, ᾧ) ἀπεικάζεις Φαίδων 92B. αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν τοιοῦτον ὄντα Εὐρ. Ἑκ. 1236, ἴδ. χαίρω. Σημειωτέον δὲ ὅτι, ὅπως ἡ οὗτος ἀναφ. εἴς τι οὐσιαστικόν, οὕτω καὶ ἡ τοιοῦτος, ὡς ἐκ τῆς ἐννοίας αὐτῆς, εἴς τι ἐπίθετον ἢ ἐπιθετικὴν ἔννοιαν· π. χ. ἐν τῇ φράσει «τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν» τοῦ Ἀριστοτελικοῦ ὁρισμοῦ τῆς τραγῳδίας (ἴδε τραγῳδία) τὸ τῶν τοιούτων

= τῶν ἐλεεινῶν καὶ φοβερῶν, ἤ: «τῶν ἐλέου καὶ φόβου αἰτίων», ὃ προηγήθη. Ὁμοίως ἐν Ποιητ. σ. 1453b 15: ἀνάγκη δὲ ἢ φίλων εἶναι πρὸς ἀλλήλους τὰς τοιαύτας πράξεις ἢ ἐχθρῶν, ὅπου τὸ τὰς τοιαύτας = οἰκτρὰς καὶ δεινὰς (ἃ προηγήθησαν). ἡ πόλις πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν Θουκ. 3, 42 ὅπου τὸ τοὺς τοιούτους ἐνν. τοὺς φιλομεμφεῖς, καὶ ἰδίᾳ τοὺς προσκατηγοροῦντας ἐπὶ χρήμασιν ἐπίδειξιν. Πρβ. Πλ. Πολ. 530Α. 606 D 608 Α καὶ συχν.

τοῖχος ὁ: ὑπερβάλλει δὲ θάλασσα ἀμφοτέρων τοίχων Θέογν. 673 ἡ δὲ θάλασσα ὑπερπηδᾷ (περνᾷ ἐπάνω ἀπὸ) καὶ τὰ δύο τοιχώματα, κράσπεδα τοῦ πλοίου. μετακυλινδεῖν αὑτὸν ἀεὶ πρὸς τὸν εὖ πράττοντα τοῖχον (ἐνν. νεώς) Ἀρφ. Βάτρ. 537. Παροιμ. «πρὸς τὸν εὖ πράττοντα τοῖχον ῥέπειν» περὶ τῶν ἐπιβατῶν, οἵτινες, ὅταν τὸ ἓν μέρος τοῦ πλοίου κατακλύζεται ὑπὸ τῶν κυμάτων, μεταβαίνουσιν εἰς τὸ ἄλλο τὸ ἀσφαλέστερον: «ἐπὶ τῶν περὶ τὸ λυσιτελοῦν αὐτοῖς ἀεὶ στρεφομένων. Εἴρηται δ' ἐκ μτφ. τῶν ἐπιβατῶν τῆς νεώς, ὅταν θατέρου μέρους αὐτοῖς κατακλυζομένου πρὸς τὸ ἕτερον οὗτοι μεθίστανται» Σχ. Ἀντὶ δὲ τοῦ εὖ πράττοντα λέγεται καὶ εὐτυχῆ τοῖχον, ὡς οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης σ' ἀποστερεῖν Ἀπ. Εὐρ. 89 ἴσως: οὐ γάρ ποτε εἴων (α' πρόσ.) σε ἀποστερεῖν τῆς δίκης Σθένελον, χωροῦντα εἰς τὸν εὐτυχῆ τοῖχον. Παρομοίως πρέπει νὰ ἐξηγηθῇ καὶ τὸ ἐπὶ τὸν εὐτυχῆ πηδῶσ' ἀεὶ κήρυκες Εὐρ. Ὀρ. 895 οἱ κήρυκες μεταπηδῶσι («μεταβαίνουσι») πάντοτε πρὸς τὸ ἀσφαλέστερον μέρος. «καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει» Σχ., ὡς καὶ κατὰ τῶν μάντεων καὶ κατὰ τῶν γυναικῶν. Καὶ μτφ. ἐκ τοῦ πλοίου τὰ πλάγια, αἱ πλευραὶ τοῦ ἀνθρωπίνου σώματος παρ' Εὐρ. Τρῳ. 118: εἰς ἀμφοτέρους τοίχους μελέων, ὅπου τὸ μελέων προστίθεται εἰς διασάφησιν.

τόκα Δωρ.= τότε.

τοκάς-δος ἡ: τοκάδος δέργμα λεαίνης Εὐρ. Μήδ. 187, ἴδ. ταυρόω. Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον καλῆς καὶ γενναίας καὶ τὸ κάλλος ἅψασθαι γυναικὸς Πλουτ. Ἀλεξ. 21 ὅπου ἂν γράψωμεν τοκάδος ἀντὶ τὸ κάλλος (διὰ τὸ ἀρχῆθεν δυσνόητον τὸ κάλλος) ἔχομεν κάλλιστον νόημα: καλῆς καὶ γενναίας καὶ τοκάδος γυναικός.

τόκος ὁ: οὔτε τόκοισιν ἰηΐων καμάτων ἀνέχουσι γυναῖκες Σοφ. Ο. Τ. 173, ἴδ. ἀνέχω. φθίνουσα. . .τόκοις ἀγόνοις γυναικῶν Αὐτ. 27, ἴδ. ἄγονος. τόκοις βαρύνεται Εὐρ. Ἰ. Τ. 1228 εἶνε ἐπίτοκος, «ἑτοιμόγεννη»· πρβ. «βαρεμένη».

τόλμα καὶ τόλμη ἡ: τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις ἕσποιτο Πίνδ. Ὀ. 9, 82 «ἐμοὶ δὲ παρέποιτο ἐν τοῖς λόγοις ὁμοῦ μὲν εὐτολμία, ὁμοῦ δὲ δαψίλειά τις δυνάμεως» Σχ. τόλμα εἶνε ὁ παλαιότερος τύπος (καὶ παρ' Ηρ. 7, 135), ὃν καὶ οἱ Ἀττ. πεζ. (ὡς π. χ. ὁ Πλάτων) μεταχειρίζονται· οἱ δὲ σκηνικοὶ ποιηταὶ ἐνίοτε τοῦ μέτρου χάριν μετεχειρίσθησαν τὸ τόλμη (πρβ. Ἀ. Β. 66, 23 «τόλμη καὶ τόλμα, πρύμνη καὶ πρύμνα, νάρκη δὲ διὰ τοῦ η). Ἐκ τούτου παρέλαβον καὶ οἱ μτγν. τὸν τύπον τόλμη, ὃν ἐπεισήγαγον οἱ ἀντιγραφεῖς καὶ εἴς τινας τῶν ἐνδόξων συγγραφέων. Ὁ τύπος τόλμα εἶνε Δωρ. παρὰ Πινδ., παρεδόθη δὲ καὶ ἐν Εὐρ. Ἴων. 1416, ἀλλὰ τόλμα 1264. Ἀνδρ. 702. τόλμης εἶμι πρὸς τὸ καρτερόν Εὐρ. Μηδ. 393, ἴδ. καρτερός.

τολμάω, Ἰων. τολμέω: τόλμησόν ποτε πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν Αἰσχ. Πρ. 1031 τόλμησον τέλος («ἀποφάσισε μιὰ φορά, τέλος πάντων») φρονεῖν ὀρθῶς πρὸς τὰς παρούσας (σοι) συμφοράς. τολμᾶν τὰ βέλτιστα Θουκ. 3, 56 = σὺν τόλμῃ πράττειν τὰ βέλτιστα. τοὺς πόνους ἀγαθοὶ τολμῶσι Εὐρ. Ἰ. Τ. 115 τολμῶσιν ὑπομένειν τοὺς πόνους: σὺν τόλμῃ ὑπομένουσι τοὺς πόνους. τέως μὲν ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ ω 162 μέχρι μέν τινος ὑπέμενεν ἐν τοῖς μεγάροις αὐτοῦ βαλλόμενος καὶ ὀνειδιζόμενος καρτερικῇ ψυχῇ (μετὰ καρτερίας ψυχῆς, καρτερικῶς). τολμῶν ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη πατὴρ Εὐρ. Ἠλ 277 = τολμῶν (τοιαῦτα) τολμήματα, οἷα ὁ πατὴρ ἐτολμήθη (= ἔπαθεν) ὑπὸ τῶν ἐχθρῶν πικρὰν δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι Σοφ. Ἠλ. 470 νομίζω, ὅτι θὰ εἶναι δι' ἐμὲ ἐν τῷ μέλλοντι πικρὸν τὸ τόλμημα, τὸ ὁποῖον θ' ἀποτολμήσω. τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ὅ σ' ἱστορῶ Τρ. 404 εἰπέ, ἂν ἐμπορεῖς καὶ εἶσαι εἰς τὰς φρένας σου, ἐκεῖνο, τὸ ὁποῖον σὲ ἐρωτῶ. Τὸ εἰ φρονεῖς σημ. κυρ. δὲν θὰ τολμήσῃς (δὲν θὰ ἐμπορέσῃς νὰ εἰπῇς), ἂν εἶσαι εἰς τὰς φρένας σου. μόνος γὰρ εἴμ' αὐτῶν ἀνὴρ τολμῶν τόδε Εὐρ. Βάκ. 962 διότι ἐξ αὐτῶν ἐγὼ εἶμαι ὁ μόνος «ἄνδρας», ὅστις ἀποτολμῶ τοῦτο τὸ τόλμημα. πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί Αἰσχ. Πρ. 347, ἴδ. μετέχω.

τόλμημα τό: τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα Ἀπ. Εὐρ. 38 ἡ ἀνάγκη διεξάγει τὰ πλεῖστα τολμήματα: ἐκ τῆς ἀνάγκης προέρχονται τὰ πλ. τολμ. Τὴν αὐτὴν ἔννοιαν ἔχει τὸ διαφέρω ἐν Θουκ. 6, 54.

τομαῖος 3 καὶ 2: ἄκος τομαῖον ἐλπίσασα πημάτων Αἰσχ. Χο. 537 ἐλπίσασα (τὰς χοὰς ἔσεσθαι) ἄκος τμητικὸν τῶν πημάτων (διὰ τομῆς θεραπεῦον τὰ πήματα). Τὸ ἄκ. τομαῖον πημάτων προϋποθέτει τὸ τέμνειν πήματα ἐπὶ τοῦ χειρουργοῦντος, περὶ οὗ ἴδε Ἀγ. 840. Πρβ. ἄκος τεμεῖν Εὐρ. Ἀνδ. 121 καὶ ἄκος ἐντέμνειν Αἰσχ. Ἀγ. 17 κυρ. περὶ τῶν ῥιζοτόμων, οἵτινες ἐντὸς τῆς γῆς ἐμπηγνύντες τὸ μαχαίριον τέμνουσι τὴν ῥίζαν εἰς τὴν βοτάνην, τὴν ἐσομένην αὐτοῖς ἄκος· ἴδε ἀντίμολπος. ἄκη τομαῖα καὶ λυ-

τήρια Αἰσχ. Ἱκ. 274 τὰ τῇ τομῇ ῥιζῶν (βοτανῶν κτλ). παρασκευασθέντα ἰαματικὰ καὶ ἐξαγνιστικὰ φάρμακα· πρβ. Πινδ. Π. 4, 221.

τομή: τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν Α 234 τοῦτο (τὸ σκῆπτρον) ὄντως οὐδέποτε φύλλα καὶ κλάδους ἀναβλαστήσει, ἐπειδὴ πρῶτον (ἀφ' ὅτου ἅπαξ) τὸν κορμὸν (ἐξ οὗ ἀπεκόπη) ἀπολέλοιπεν ἐν ὄρεσιν. σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχὸς Αἰσχ. Χο. 229 ἐξέτασον, ἀφ' οὗ προσθέσῃς τὸν βόστρυχον εἰς τὸ μέρος τῆς κόμης, ἀφ' οὗ ἀπεκόπη (ἵνα πεισθῇς). ἐν τομῇ ξύλου Σοφ. Τρ. 700 = ἐν ᾧ ξύλον (τι) τέμνεται. ἡ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ' ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς χαλκέοισι κάδοις δέχεται Ἀπ. Σοφ. 491 ἡ δὲ (Μήδεια) ὀπίσω ἀπὸ τῆς χειρὸς ἀποτρέπουσα τὸ ὄμμα δέχεται ἐν χαλκοῖς κάδοις τὸν ἐκ τῆς τομῆς («ἀπὸ ἐκεῖ ποῦ εἶνε κομμένη ἡ βοτάνη») ἀποστάζοντα ἀργ. ὀπόν. στονόεντος ἐν τομᾷ σιδάρου Σοφ. Τρ. 886 τὸ πλῆρες: ἐμήσατο θάνατον ἐν τομᾷ (=τῇ τομῇ) τοῦ στονόεντος σιδήρου, ἤτοι: τῇ πληγῇ τοῦ τομοῦ στον. σιδήρου, κυρ. μὲ τὸ κόψιμον τοῦ στεναγμὸν ποιοῦντος σιδήρου. ἀπὸ τῆς τομῆς (τῶν δοκῶν) ἑκατέρωθεν Θουκ. 2, 76 ἀπὸ τῶν δύο ἄκρων τῶν δοκῶν· τομή δὲ δηλοῖ τὸ μέρος, ἀπὸ τὸ ὁποῖον ἀπεκόπη ἡ δοκὸς (ἐκ τοῦ δένδρου). Τὸ ἑκατέρωθεν εἶνε κυρ. ἐπεξήγησις εἰς τὸ ἀπὸ τῆς τομῆς. λοξὸς μὲν ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς Ὠρίων Ἄρατ. 322 «μέμφοιτο δ' ἄν τις Ἀράτῳ ὡς μὴ ἀκριβῶς προσέχοντι τῇ Ὠρίωνος θέσει· οὐ γὰρ ὑπὸ τὸ διχοτόμημα τοῦ Ταύρου ἐστίν, ἀλλ' ἔτι τοῦ Ταύρου ἀνατολικώτερος. . . . τομὴν οὖν λέγει τὸ διαχωρίζον ἕκαστον μέρος τῶν ζῳδίων, τὸ δὲ ὑποκέκλιται ἀντὶ τοῦ ἐξωρθωμένος ἐστίν, ἀλλὰ σχῆμα ἔχων κυνηγετικόν, καὶ ὥσπερ ἐπισπεύδων κυνηγετεῖν . . ἔχει γὰρ τὴν δεξιὰν ὥσπερ ῥόπαλον φέρουσαν, καὶ ἐπιβλέπει διὰ τοῦ νεύματος σπουδὴν ἐπιδεικνύμενος» Σχ. ἐς Βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν ἢ Ζέφυρον βλεπέτω Θεοκρ. 10, 46 ἡ τομὴ τοῦ σωροῦ βλεπέτω ὑμῖν κέ. «ὅταν τὰ δράγματα δεθῇ, τοὺς στάχυας σωρεύουσι πρὸς ἀλλήλους νενευκότας ἔσωθεν· τὰ δὲ κῶλα αὐτῶν, ἅ τινες αὐλοὺς καλοῦσιν, ἔξω ἐστραμμένα ἐῶσιν, ὅπως διὰ τῶν αὐλῶν ὁ σῖτος ῥιπιζόμενος πιαίνηται, καὶ ἄβροχος καὶ ἄσηπτος διαμένῃ (οὕτως ἐγὼ ἀντὶ τοῦ διαμείνῃ) Σχ. ἰώ μοί μοι πικρᾶς πελέκεως τομᾶς σᾶς Εὐρ. Ἠλ. 160 «ἰώ μοί μοι (ἕνεκα τῆς) πικρᾶς σῆς (ὑπὸ τοῦ) πελέκεως τομῆς» Δ. Βερν. τεμεῖν δὴ χρεὼν κατὰ δύναμιν τὸ μεῖζον καὶ τὸ δυσχερέστερον κακὸν ἀπὸ τοῦ ἐναντίου· σχεδὸν οὖν ἐν τοῖς ὀνείδεσιν ἔχει τινὰ τομὴν ἡ τούτων τῶν ὀνομάτων ἐπιφορά Πλ. Νόμ. 944 Β διακρῖναι (ἀποχωρίσαι) δὴ χρή, κατὰ δύναμιν, τὸ μεῖζον καὶ τὸ δυσχερέστερον κακὸν ἀπὸ τοῦ ἐναντίου· ἔχει οὖν διάκρισίν τινα ἐν τοῖς ὀνείδεσιν ἡ τῶν ὀνομάτων τούτων χρῆσις.

τόμιον (κυρ. οὐδ. τοῦ τόμιος) τό, τὸ εἰς θυσίαν τεμνόμενον (θῦμα), ἐφ' οὗ ἐγίνοντο ὅρκοι: τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος; ΚΑΛΟΝΙΚΗ: εἰ λευκόν ποθεν ἵππον λαβοῦσαι τόμιον ἐντεμοίμεθα; Ἀρφ. Λυσ. 192 ἆρά γε εἰ (δηλ. τί λέγεις, ἄν) λαβοῦσαί ποθεν λευκὸν ἵππον θύσαιμεν τοῖς ἥρωσιν (ἴδ. ἐντέμνω). «Πρὸς τὸ αἰδοῖον παίζει τὸ λευκὸν ἵππον. . ἢ παίζει κατὰ τὸν τύπον τῶν Ἀμαζόνων· γυναῖκες γὰρ οὖσαι λευκοὺς ἵππους ἔθυον» Σχ. Πρβ. καὶ Παυσαν. 3,20,9. Συνήθ. πληθ. τόμια «τὰ ἱερά, ἃ σφάζοντες ὀμνύουσι» Ἡσύχ. θὲς ἐς τὸ πρόσθεν (πρβ. Ἀρφ. Ἱππ. 751) ὑπτίαν τὴν ἀσπίδα (ἴδ. Ξεν. Ἀν. 2, 2, 9), καί μοι δότω τὰ τόμιά τις Ἀρφ. Λυσ. 185, διότι ἄνευ τῶν τομίων δὲν εἶχε κῦρος ὁ ἐπίσημος ὅρκος. Λεπτομερείας περὶ τούτου παρέχει ὁ Ἀριστοτ. ἐν Ἀθην. Πολ. κ. 55: «δοκιμασθέντες δὲ τοῦτον τὸν τρόπον (οἱ ἄρχοντες) βαδίζουσι πρὸς τὸν λίθον (τὸν ἐν τῇ ἀγορᾷ), ἐφ' οὗ τὰ τόμι' ἐστίν (ἵνα ὁρκισθῶσι τὸν ἐπίσημον ὅρκον), ἐφ' οὗ καὶ οἱ διαιτηταὶ ὀμόσαντες ἀποφαίνονται τὰς διαίτας (ὅτι δηλ. εὐόρκως θὰ ἐκπληρώσωσι τὰ καθήκοντά των) καὶ οἱ μάρτυρες ἐξόμνυνται τὰς μαρτυρίας (ὅτι δηλ. δὲν θὰ μαρτυρήσωσι ψευδῆ) κέ.» Ἐν δὲ τῷ Ἀρείῳ Πάγῳ ὁ κατήγορος πρέπει νὰ ὁρκισθῇ «στὰς ἐπὶ τῶν τομίων κάπρου καὶ κριοῦ καὶ ταύρου, καὶ τούτων ἐσφαγμένων ὑφ' ὧν δεῖ καὶ ἐν αἷς ἡμέραις καθήκει» Δημ. 23, 68. Ἴδε καὶ Παυσαν. 5, 24, 9· πρβ. Πλάτ. Νόμ. 753 D.

τόνος ὁ: ἵνα ἀνακωχεύῃ τὸν τόνον τῶν ὅπλων Ἡρ. 7, 36, ἴδε ἀνακωχεύω. κορμοὺς ξύλων . . ἐτίθεσαν κατύπερθε τῶν ὅπλων τοῦ τόνου Αὐτ. κατ.= καθύπερθεν τῶν ἐντεταμένων ὅπλων (σχοινίων). εὐθὺν τόνον ποσσὶ τρέχων Πίνδ. Ὀ. 10, 64, ἴδ. εὐθύτονος.

τοξεύω: τοξεύσασα τῆς εὐδοξίας Εὐρ. Τρ. 643 σκοπεύσασα (ἀποβλέψασα εἰς) τὴν εὐδοξίαν. ἐς τοῦθ' ἱκοίμην, τοῦδε τοξεύω, τέκνον Ἴων 1411 εἰς τοῦτο ἀποβλέπω. γλῶσσα τοξεύσασα μὴ τὰ καίρια Αἰσχ. Ἱκ. 441 γλῶσσα ἐκτοξεύσασα τὰ ἄκαιρα (ἔπη): πειρακτικοὺς λόγους (ἐναντίον ἄλλου). ταῦτα νοῦς ἐτόξευσεν μάτην Εὐρ. Ἑκ. 603 ματαίως ἔρριψεν ὁ νοῦς μου τὰς σκέψεις ταύτας (οἷον βέλη): μάταιαι εἶναι αἱ σκέψεις αὗται, ἃς ἐξετόξευσεν ὡς βέλη ὁ νοῦς μου. Πρόκειται περὶ τοῦ πολυθρυλήτου ζητήματος «εἰ διδακτὸν ἀρετή». ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους Πίνδ. Ἰ. 2,5 ἴδε παίδειος. ἔκανεν ἄλοχον, ἔκανε δὲ τέκεα τοξήρει ψαλμῷ, τοξεύσας Εὐρ. Ἡρ. Μ. 1064 ἔκτεινε μὲν τὴν ἄλοχον, ἔκτεινε δὲ τὰ τέκνα τῇ τοῦ τόξου ψαύσει, οἷς τὸ προστιθέμενον τοξεύσας ὡς περιττὸν ἐξήλειψεν ὁ Madvig. ἡ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν Ἀπ. Εὐρ. 850 ἡ τυραννὶς δεινῶς περιμάχητός ἐστιν, κυρ. πανταχόθεν προσβάλλεται διὰ

δεινῶν ἐρώτων. ὅστις καθ' ὑπερβολὰν τοξεύσας ἐκράτησε τοῦ πάντ' εὐδαίμονος ὄλβου, ὦ Ζεῦ, κατὰ μὲν φθίσας τὰν γαμψώνυχα παρθένον κέ. Σοφ. Ο. Τ. 1196 δστις ὑπερβολικῶς εὐτυχήσας ἀπέκτησας, ἐπέτυχες («ἐγκρατὴς ἐγένου»), τὴν πανευδαίμονα εὐτυχίαν. Τὸ ὦ Ζεῦ («φεῦ, διὰ μέσου» Σχ.) εἶνε λυπηρὸν ἐπιφώνημα πρὸς τὸ ἐκράτησας τοῦ πάντ' εὐδαίμονος ὄλβου. Δὲν ἔπρεπε λοιπὸν διὰ τὸ ὦ Ζεῦ νὰ διορθώσῃ ὁ Ἑρμ. ἐκράτησε. Τὸ αὐτὸ ἀκριβῶς συμβαίνει καὶ ἐν Τρ. 995. ὅπερ ὤφειλε ν' ἀποτρέψῃ τοὺς ἐκδότας ἀπὸ τῆς παραδοχῆς τῆς τοῦ Ἑρμ. διορθώσεως. ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος Αἰσχ. Εὐμ. 679 ἡμεῖς μὲν πλέον ἔχομεν ἐκτοξεύσῃ ὅλα μας τὰ βέλη.

τοξήρης 2: χεὶρ τοξήρης Εὐρ. Ἄλκ. 35, ἴδ. χαλκήρης καὶ φρουρῶ.

τοξόδαμνος Αἰσχ. Πέρ. 86, ἴδ. ἐπάγω.

τόξον τό: Σκυθικῷ τε τόξῳ τὸ τρίτον ἦν προσεμφερές Ἀγάθ. Ἀπ. 4, ἴδ. τρίτος. μεθῆκα τόξα Εὐρ. Ἴων 256 ἔρριψα τὰ ὅπλα: δὲν λέγω πλέον τίποτε. δίδυμ' Ἔρως ὁ χρυσοκόμας ἐντείνεται τόξα χαρίτων Εὐρ. Ἰ. Α. 449 «ὁ χρυσ. Ἔρως δίδυμα τόξα χαρίτων (τῶν ἐξ αὐτοῦ δηλ., ἤτοι: ἐρωτικῶν, ὅθεν καὶ τὸ μέσ. ἐντείνεται) ἐντείνει» Δ Βερν. Μτφ. τόδ' ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις, ὅτῳ τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ Ἀπ. Ἀδέσπ. Τραγ 3. (Πλουτ. 33Ε) ὅταν ἐπιτύχῃ τις ἐκεῖνο, τὸ ὁποῖον θέλει (ἐκεῖνο, εἰς τὸ ὁποῖον ἀποβλέπει: «σημαδεύει)· πρβ. Σοφ Ἀντ. 1149. Ο. Κ. 1196. Πλ. Πολ. 694C.

τοξουλκός 2 τὸ τόξον ἕλκων, ἐντείνων· τοξουλκῷ λήματι πιστούς Αἰσχ. Πέρ. 56 πεποιθότας εἰς τὴν εὐτολμίαν τὴν ἕλκουσαν τὸ τόξον, εἰς τὴν περὶ τὸ τοξεύειν ἱκανότητα. αἰχμὴ τοξουλκός 242 τὸ βέλος τοῦ τοξουλκοῦ (τοῦ τοξότου), ἴδ. πρέπω.

τόρνευμα τό: τόρνευμα ποδός Εὐρ. Ἡρ. Μ. 978, ἴδ. ἐξελίσσω.

τορός 3: τορὸς Φοῖβος Αἰσχ. Χο. 32 σαφὴς Φοῖβος· ἴδ. ὀνειρόμαντις. τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς Αἰσχ. Ἀγ. 266, ἴδε σύνορθρος. τορῶς Αἰσχ. Ἱκ. 955 διαπεραστικά, ἴδ. ἐφηλόω.

τοσόσδε: ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετήν . . . δεικνύναι Θουκ. 1, 37 ὅσον ἀπροσβλητότεροι ἦσαν παρὰ τῶν ἄλλων, τόσον φανερώτερον ἐπετρέπετο εἰς αὐτοὺς νὰ δεικνύωσι τὴν ἀρετήν των. ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῷδε μανότερον μετεβάλλοντο Ξεν. Κ. ΙΙ. 7, 5, 6. Ἐν τοῖς χωρίοις τούτοις καὶ τοῖς ὁμοίοις οἱ ἐκδόται, εἰσηγουμένου τοῦ Hertlein, ἔγραψαν τὸ τοσῷδε ἐν διαστάσει (τόσῳ δὲ) ἐπὶ τῷ λόγῳ, ὅτι καὶ ἐνταῦθα εἶνε ὁ δὲ τῆς ἀποδόσεως, ὅπως μετὰ τὸ ἄρθρον καὶ τὰς δεικτικὰς ἀντωνυμίας. Ἀλλὰ τὸ πλημμελὲς τῆς ἐν διαστάσει γραφῆς ὑποδεικνύει μὲν καὶ τὸ ἐν Θουκ. 8, 24, 4, ὅπου ἀντὶ τοῦ τόσῳ τὸ Βατικανὸν χ/φον παρέχει τοσῷδε, καὶ ἄλλα χωρία, ὅπου τὸ τοσόσδε ἀναφέρ. εἰς τὰ ἡγούμενα ὡς Θουκ. 6, 2, 6. 7, 57, 11 κτλ., ἀλλ' ἔτι μᾶλλον τὸ Ὁμ. Ξ 94: «καί οἱ πειθοίατο λαοὶ τοσσοίδ', ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις», ὅπου δὲν δυνάμεθα νὰ γράψωμεν τὸ τοσσοίδ' ἐν διαστάσει. Ὁμοίως χ 41. Αἰσχ. Ἑπτ. 757. Ἀγαμ. 851. Ἐπὶ δὲ τούτοις οὐδὲν χ/φον παρέχει τὴν ἐν διαστάσει γραφήν. ἐς τοσόνδε τοῦ χρόνου Σοφ. Ἠλ. 961 μέχρι τοσούτου χρόνου, ποῦ βλέπετε (=-δε). Καὶ ἁπλῶς ἐς τοσόνδε Ο. Τ. 1212 = μέχρι τοσούτου χρόνου. τοσόνδε (τόσον μόνον: τόσον δά, ὅσον δεικνύει ὁ λέγων) μέντοι χάρισαί μοι Πλ. Πολ. 457 Ε.

τόσσαι Αἰολ.= τυχεῖν, τόσσαις=τυχών. Πινδ. Π. 3, 48: ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι τόσσαις ἄϊεν ναοῦ βασιλεὺς Λοξίας, κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών, πάντα ἴσαντι νόῳ ἐν τῇ μηλοδόκῳ Πυθῶνι διατρίβων τὸ ἤκουσεν ὁ βασιλεὺς τοῦ ναοῦ Λοξίας ἐν τῷ πανδιήμονι νῷ αὐτοῦ, τῷ ἀλαθήτῳ συμβούλῳ του, καταπείσας τὴν ψυχήν του (πεισθείς). Περὶ τῆς παρὰ πρβ. Δημ. 10, 17. Πλάτ. Θεαίτ. 170 D.

τότ' ἢ τόθ' Αἰσχ. Ἀγ. 762 εἰς ἐκεῖνον ἢ εἰς τοῦτον τὸν καιρόν: ἐνωρίτερα ἢ βραδύτερα.

τού, τούν, τούγα Βοιωτ., ἴδε σύ.

τουδὶ γεν. τοῦ ὅδε ἢ τοῦ τόδε.

τοὐκ = τὸ ἐκ.

τοὐμὸν = τὸ ἐμόν.

τούν, τούνη, ἴδε τού.

τραγαλίζω = τρωγαλίζομαι, ῥοκανίζω (κόκκαλον), (ξερο)κοκκαλίζω, ἀπλήστως περιτρώγω.

τραγόκτονος: ἡδὺς (ἡδύ γ' Dobree), ἐν οὔρεσιν ὅς ἂν ἐκ θιάσων δρομαίων πέσῃ πεδόσε, νεβρίδος ἔχων ἱερὸν ἐνδυτόν, ἀγρεύων αἷμα τραγοκτόνον, ὠμοφάγον χάριν Εὐρ. Βάκχ. 135 νόστιμος εἶνε, ὅταν τις (ὅστις) ἐκ τῶν δρομαίων θιάσων (ἀποσπασθεὶς) πέσῃ κατὰ γῆς, φορῶν τὸ ἱερὸν τῆς νεβρίδος ἔνδυμα, ἀγρεύων τὸ αἷμα τοῦ φονευομένου τράγου, διὰ νὰ φάγῃ ὠμὸν κρέας. Συνήθως γράφεται τραγοκτόνον, ἀλλ' ἐπειδὴ ἐνταῦθα ὑπάρχει παθ. ἔννοια, ὀρθῶς ὁ Bruhn ἔγρ. τραγόκτονον· πρβ. Ἀπ. Αἰσχ. 327 αἵματος χοιροκτόνου (ὃ ἴδε). Πρβ. καὶ Ὀρ. 833. 1649. Ἡρ. Μ. 1201. Τὸ δὲ χάριν ὠμοφάγον ἐξηγητέον κατὰ τὸ ἐμήν, σὴν χάριν, χάριν ἄχαριν, χάριν ἀκάρπωτον Σοφ. Αἴ. 176, ἤτοι: ἕνεκα τοῦ ὠμὸν κρέας φαγεῖν. Τοῦτο δὲ παρατηρῶ διὰ τοῦ Bruhn, καθ' ὃν τὸ χάριν ὠμοφάγον = ἡδονὴν τὴν (!) τοῦ ὠμὰ φαγεῖν· ἀλλὰ κατὰ τὴν ἐκδοχὴν ταύτην, θὰ εἶνε παράθεσις εἰς τὰ προηγ., ἤτοι: «τὸ αἷμα τραγοκτόνον (ἢ τὸ ἀγρεύειν αἷμα τραγοκτόνον) ἔσται ἡδονὴ ὠμοφάγος», ἅπερ εἶνε ἀσυνάρμοστα.

τραγῳδία ἡ: «περὶ δὲ τραγῳδίας λέγωμεν, ἀπολαβόντες αὐτῆς ἐκ τῶν εἰρημένων τὸν γενόμενον ὅρον τῆς

οὐσίας· ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, ἡδυσμένῳ λόγῳ, χωρὶς ἑκάστου τῶν εἰδῶν ἐν τοῖς μορίοις, δρώντων καὶ οὐ δι' ἀπαγγελίας, δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν» Ἀριστοτ. Ποιητ. κεφ. 6 (1449b 23) ἂς ὁμιλήσωμεν νῦν περὶ τῆς τραγῳδίας, ἀφ' οὗ ἀποχωρίσαντες ἐκ τῶν εἰρημένων ἐξαγάγωμεν τὸν συναγόμενον ὁρισμὸν τῆς οὐσίας τῆς τραγῳδίας. Τραγῳδία λοιπὸν εἶνε ἀπομίμησις πράξεως σοβαρᾶς καὶ τελείας (τ. ἔ. ἐχούσης ἀρχήν, μέσον καὶ τέλος), ἐχούσης δὲ μέγεθος εὐσύνοπτον. Ἡ ἀπομίμησις αὕτη γίνεται διὰ λόγου ἡδυσμένου (τ. ἔ. παρέχοντος τέρψιν διὰ τοῦ ῥυθμοῦ, τῆς ἁρμονίας καὶ τοῦ μέλους). Ταῦτα δὲ δὲν εὑρίσκονται πάντα ὁμοῦ ἐν ἑκάστῳ μέρει, ἀλλ' ἄλλα μὲν εἶνε ἁπλῶς μετρικά, ἄλλα δὲ μελικά. Τέλος δὲ ἡ ἀπομίμησις αὕτη ἐκτελεῖται διὰ παραστάσεως ὑποκριτῶν καὶ ὄχι δι' ἁπλῆς ἀπαγγελίας, συμπληροῦσα καὶ ἐκτελοῦσα διὰ τοῦ ἐλέου καὶ τοῦ φόβου τὴν ἐξιλέωσιν τῶν δεινοπαθημάτων, ἅτινα προξενοῦσι τὸν ἔλεον καὶ τὸν φόβον, οὕτως, ὥστε οἱ μὲν δράσαντες τὰ κακὰ ἔργα νὰ τιμωρῶνται, οἱ δὲ παθόντες νὰ ἱκανοποιῶνται. Μετέφρασα ἢ μᾶλλον παρέφρασα, καὶ δὴ ἐπὶ τὸ ἀναλυτικώτερον, κυρ. ἵνα γίνω καταληπτός· ἄλλως δὲ πανταχοῦ τῆς Ποιητικῆς ἡ φράσις εἶνε λίαν συμπεπυκνωμένη (ἴσως διότι ἡ Ποιητικὴ αὕτη θὰ ἐχρησίμευε πιθανῶς τῷ φιλοσόφῳ ὡς πρόχειρόν τι ὑπόμνημα, περιέχον μόνον τὰς ἀναγκαιοτάτας εἰς εὐρυτέραν προφορικὴν ἀνάπτυξιν σημειώσεις). Ἡ φράσις ἡ διεγείρασα τὰς πλείστας ζητήσεις εἶνε ἡ τελευταία: δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν, ἧς τὸ νόημα εἶνε προφανῶς τὸ ἀκόλουθον: Ἐν τῇ τραγῳδίᾳ παριστάνονται διάφορα δεινοπαθήματα, φόνοι, κακώσεις, ποικίλα κακὰ ἔργα κττ., ἅτινα διεγείρουσιν ἔνθεν μὲν τὴν φρίκην καὶ τὸν φόβον, ἔνθεν δὲ τὸν ἔλεον καὶ τὴν συμπάθειαν τῶν θεατῶν. Ἀλλὰ ταῦτα τὰ γεγονότα, τὰ παθήματα, ὡς λέγει ὁ Ἀριστοτέλης, δὲν ἀρκοῦσιν, ὅπως ἀποτελέσωσι τὴν τραγῳδίαν. Ἵνα γίνῃ ἡ τραγῳδία, πρέπει νὰ τιμωρῶνται μὲν οἱ δράσαντες τὰ φοβερὰ καὶ κακὰ ἔργα, τὰ διεγείροντα τὴν φρίκην τῶν θεατῶν, ἱκανοποιῶνται δὲ οἱ παθόντες τὰ ἐλεεινὰ παθήματα, οἱ ἐξεγείραντες τὸν ἔλεον καὶ τὴν συμπάθειαν ἡμῶν. Ἡ τραγῳδία λοιπόν, κατὰ τὸν Ἀριστοτέλην, περαίνει, φέρει εἰς πέρας καὶ συμπληροῖ τὴν τῶν φοβερῶν καὶ ἐλεεινῶν παθημάτων ἐξιλέωσιν. Αὕτη εἶνε ἡ ἀρίστη ἑρμηνεία τοῦ Ἀριστοτελικοῦ ὁρισμοῦ τῆς τραγῳδίας, ἣν διὰ μακρῶν ἐξέθηκε καὶ διεπίστωσεν ἀποχρώντως ὁ Δημ. Βερναρδάκης ἐν τῇ ἐκδόσει τῶν Φοινισσῶν τοῦ Εὐριπίδου τῆς Ζωγραφείου Βιβλιοθήκης. Εἰς τὸν πρόλογον τῆς ἐκδόσεως ταύτης παραπέμπω τοὺς ἐπιθυμοῦντας νὰ ἔχωσι περισσοτέρας πληροφορίας.

τράνωμα τό: Ἐμπεδ. Ἀπ. 4, ἴδ. ἀκοή.

τραυματίας ὁ ἐν Πινδ. Ἀπ. 223: χρυσέων βελέων ἐστὶ τραυματίας ἐπὶ τῶν χρυσῷ διαφθειρομένων.

τράχηλος ὁ, ἴδ. πίθος.

τραχύνω, Ἰων. τρηχύνω, πρκ. ἀποτετράχυκα Διον. Ἁλ. περὶ συνθ. 22 τετράχυσμαι (Δ. Γ. -υμαι) Ἀριστοτ. Ζ. Ἱ. 4, 9, 20 ἐκ — Λουκ. Ἀλ. 51. τετράχυμαι Πλουτ. Νουμ. 8, ἀλλ' ἡ ὀρθὴ γρ. εἶνε τετράχυμμαι Σχολ. Ἀπολλ. 3, 276. τετράχυνται γ' ἑν. ἐν Ἀριστοτ. Προβλ. 11, 22. τετραχύνθαι Αὐτ. καὶ Πλ. Πρωτ. 333 Ε. Μτφ. τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται Αἰσχ. Ἑπτ. 1036 «λέγε πολλάκις (ὅσον καὶ ἂν θέλῃς), τραχὺς ἔσται ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναστείλῃς (-τελεῖς;) με θάψαι» Σχ.

τρεῖς (Αἰολ. τρῆς) οἱ, τρία οὐδ., τριῶν, τρισί(ν) (τριοῖσι Ἀπ. Ἱππών. 51), τρεῖς, τρία· τρία ἔπεα διαρκέσει Πινδ. Ν. 7, 48 τρία ἔπη ἐπαρκέσει, ἤτοι: ὀλίγα λόγια ἀρκοῦσιν εἰς δήλωσιν τοῦ πράγματος, τὰ ἐφεξῆς: οὐ ψεῦδις ὁ μάρτυς (Νεοπτόλεμος) ἔργμασιν ἐπιστατεῖ. Ἄλλοι δὲ συνάπτουσι πρὸς τὰ προηγ. εὐώνυμον ἐς δίκαν τρία ἔπεα διαρκέσει, κατὰ τὸν Σχ. «τρεῖς οὖν φησι λόγους ἱκανοὺς εἶναι εἰς τὴν εὐώνυμον δίκην· οἷον ἱκανὰς εἶναι τρεῖς αἰτίας, ἃς ἐξαριθμεῖται, τοῦ δικαίως αὐτῷ συμβεβηκέναι τὸν θάνατον: [ὅτι] τὸ ὑπὲρ τῶν κρεῶν εἰπεῖν ἀνῃρῆσθαι, καὶ ὅτι οἱ Δελφοὶ ἐδακρύνθησαν ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ καὶ ὅτι πεπρωμένον ἦν αὐτὸν ἀναιρεθῆναι» Σχ. ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί Ἀπ. Ἀρφ. 549 τὸ μὲν ἀπὸ Θηραμένους σημ. κυρ. ἀπὸ Θηραμένους ὁρμώμενος, ἤτοι μνήμων τοῦ Θηραμ. Τὰ δὲ τρία κακὰ ἑρμηνεύει ὁ Θουκ. 8, 70 «ἄνδρας τέ τινας ἀπέκτειναν. . .καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο» (ἐξώρισαν). Ταῦτα δὲ ἐγένοντο τῇ Ὀλ. 92, 1. ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο Ἀρφ. Ἱππ. 1187 «τρία καὶ δύο: τρία μέρη ὕδατος ἐπιδεχόμενον καὶ δύο οἴνου· ἀρίστη δὲ κρᾶσις οἴνου δύο μέρη καὶ ὕδατος τρία» Σχ. οἴμ' ὡς ἁπαλὸς καὶ λευκός (ὁ οἶνος)· ἆρ' οἴσει τρία; Ἀπ. Κρατίν. 183 «ἆρ' οἴσει τρία: ἐπὶ οἴνου ἐλέγετο, ἐπεὶ τὸ πάλαι ἐκιρνᾶτο τρία ὕδατος λαμβάνων, τὸ δὲ τέταρτον οἶνον» Ἡσύχ. πρβ. καὶ Πολυδ. 6, 18 «ἐπῄνουν δ' οἶνον τὸν τρία φέροντα («ποῦ σηκώνει»), τ. ἔ. ὕδατος τὸ τριπλοῦν». Τὴν ἔννοιαν ταύτην τοῦ φέρειν ἔχει καὶ τὸ σύνθετον ἐν Ἀρφ. Πλοῦτ. 853 οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι «ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου, ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν· εἴρηται δέ, ὅτι πολυφόρον ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον κλ.» Σχ. Κατὰ ταῦτα πρέπει νὰ ἑρμηνευθῇ καὶ τὸ Ἀπ. Διφίλ. 107 ἡ τύχη ἓν ἀγαθὸν ὑποχέασα τρί' ἐπαντλεῖ κακά τ. ἔ. ἀφ' οὗ ὑποχυθῇ ἓν ἀγαθόν, οἷον ἓν μέρος οἴνου, εἶτα ἐπιχέονται τρία κακά, οἷον τρία μέρη ὕδα-

τος. οὐχ' τρί' ἐστιν· ἓν κεῖμαι, λοιπὸν τἄλλα μέ τις βαλέτω Ἀνθολ. 2, 1, 11 μίαν φορὰν ἔπεσα, λοιπὸν ἄς με ῥίψῃ τις κάτω (παλαίσας) ταὶς ἄλλαις δύο φοραίς· ἴδ. πάλαισμα. οὗ (τοῦ Παλαμήδους φόνου) γ' οὐ μετῆν μοι, διὰ τριῶν δ' ἀπόλλυμαι Εὐρ. Ὀρ. 434 τοῦ (Παλαμήδους) γε φόνου οὐκ ἐκοινώνουν, ἀπόλλυμαι δὲ διὰ τριῶν: «πρῶτον τῶν πολιτῶν (τιμωρούντων με φόνου μητρός, Κλυταιμνήστρας), δεύτερον Οἴακος (τιμωροῦντός με φόνου ἀδελφοῦ (Παλαμήδους, οὗ φόνου Οἴαξ ᾐτιᾶτο Ἀγαμέμνονα)» Σχ. Τὸ δ' ἐφεξῆς τίς δ' ἄλλος ἐπάγεται, ἵνα πληρώσῃ τοὺς τρεῖς.

τρέμω: τρέμων τὰ πράγματα Ἀρφ. Ἱππ. 265 «εὐλαβούμενος καταστῆναι εἰς πράγματα» Σχ. ποῦ δὲν θέλει νὰ ἔχῃ δίκας κττ.

τρέπω (πρβ. torqueo, τράπω Δωρ. καὶ Ἡρ., ὃς καὶ τρέπω). τρέψω (Δωρ. ἐπιτραψῶ Ἐπιγρ. Κρητ.). ἔτρεψα (τὸν μέλλ. καὶ ἀόρ. μετὰ τοῦ ε καὶ Ἡρόδ.). ἀόρ. β' ἔτραπον ἐπ. ποιητ., ἐνίοτε καὶ ἀμτβ. (Ἡσ. Θε. 58. μόνον κατὰ τὸ φαινόμενον Π 657). τέτροφα Ἀρφ. Νεφ. 858. Ἀπ. Ἀναξανδρ. 51, ἀνα- Σοφ. Τρ. 1008. Ἀνδοκ. 1, 131. Αἰσχίν. 1, 190 (μετὰ τῆς πλημμ. Δ. Γ. ἀνατετραφ-. ὁμοίως τέτραφα Δείναρχ 1, 108, ἀνα- 30, -τετραφώς 3, 4. ἐπι- Πολύβ. 30, 6, 6). Μέσ. τρέπω ἐμαυτὸν ὁμαλ. Μέλλ. τρέψομαι. ἐτρεψάμην συνήθως ὡς μτβ., ὅθεν καὶ ἔτρεψα εἰς φυγήν (ἴδ. α 422, σ 305. πλημμ. γρ. ἐν Ἡρ. 7, 105, συχν. μτγν.)· τοὐναντίον ἐτραπόμην ἀμτβ., ὅθεν καὶ ἔφυγον, Ἡρ. 1, 80. 3, 13 καὶ Ἀττ., παθητ. ἀν- Πλ. Κρατ. 395 D. Ἐπὶ τῆς αὐτῆς σημ. ἐτρέφθην (-άφθην Ὅμ. καὶ Ἡρ.) ο 80. Θέογν. 379. Εὐρ. Ἠλ. 1046. Ὁμ. Ἐπ. 14, 7. Ἡρ. 4, 12. 9, 56. Ξεν. Ἑλλ. 3, 4, 14. 5, 20. Κυνηγ. 12, 5. Ἀν. 5, 4, 23 κατὰ τοὺς ἀρίστους κώδ. ἐπιτρεφθῆναι παθ. Ἀντιφ. 4 β 4. γ 5. δ 3. ἀλλὰ συνήθ. ἀόρ. β' ἐτράπην (περὶ τοῦ ἐπ. ταρπείομεν ἴδ. τέρπω). Μελλ. συντελ. τραπήσομαι μτγν. Περὶ τῆς διαφ. τῶν χρόνων ἴδ. καὶ κατ. πρκ. τέτραμμαι, γ' πλ. τετράφαται Θεογν. 42. Πλ. Πολ. 533 Β, ἐπι- Β 25. 62. ἀπρφ. τετράφθαι, τετράφατο Κ 189. Μέλλ. τετράψομαι [Πεισίστρ.] παρὰ Διογ. Λ. 1, 2, 6. τρεπτός μτγν., τρεπτέος, τραπητέον, Λουκ. Ῥητόρ. Διδ. 8. Ὁ παλαιὸς ἀόρ. τοῦ ἀμτβ. (παθητ.) εἶνε ἐτραπόμην (παρὰ δ' Ὁμ. καὶ ἐτρεψάμην)· τὸ ἐτραπόμην τοῦτο διετηρήθη μὲν καὶ παρ' Ἀττικοῖς, ἀλλὰ περιωρίσθη ἡ χρῆσις αὐτοῦ διὰ τοῦ νέου σχηματισμοῦ ἐτράπην. Ὁ α' ἀόρ. ἐτρέφθην δὲν εἶνε παλαιός, παρὰ δ' Ὁμ. σχεδὸν ἐλλείπει· μεταχειρίζονται αὐτὸν ὁ Ἡρόδ. καὶ ἄλλοι, εἰς οὓς δὲν ἤρκει ὁ ἐτραπόμην ἕνεκα τῆς ὁμοιότητος πρὸς τὸν παρατατ. Παρασχηματ. τραπέουσι η 125 (πατῶ σταφύλια), ἐπι- Κ 421 ἐπιτρέπουσι, καὶ παρατ. τρόπεον Σ 224 ἐγύριζαν. ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος; Αἰσχ. Εὐμ. 437, ἴδ. ἐπιτρέπω. τὰς δ' ἐς πῦρ ἔτρεψε Σ 469 ταύτας δὲ (τὰς φύσας) ἔστρεψεν (ἐγύρισε) πρὸς τὸ πῦρ· πρβ. 412. εἴωθε τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ εἰς ὕβριν τρέπειν Θουκ. 3, 39 ἡ ἀπροσδόκητος εὐπραξία συνηθίζει νὰ παρεκτρέπῃ εἰς ὕβριν ἐκείνας τῶν πόλεων, εἰς τὰς ὁποίας (ἡ εὐπραξία αὕτη) ἤθελεν ἔλθῃ εἰς ἀνώτατον βαθμὸν καὶ ἐν βραχυτάτῳ χρόνῳ. ἀνὰ πρόθυρον τετραμμένος Τ 212 μὲ τὸ πρόσωπον πρὸς τὴν θύραν ἐστραμμένος (ἔχων τοὺς πόδας πρὸς τὴν θύραν ὡς μέλλων νὰ ἐξέλθῃ ἐκ τῆς οἰκίας). τέτραπτο πρὸς ἰθύ οἱ Ξ 403 ἦτο ἐστραμμένος κατ' εὐθεῖαν πρὸς αὐτόν. κατὰ πληθὺν τράπε θυμὸν Ἀθήνη Ε 676 ἔτρεψε τὸν νοῦν του, τὴν προσοχήν του, πρὸς τὸ πλῆθος τῶν Λυκίων. πρὸς ἀσφάλειάν τινα τρέψαι Θουκ. 3, 13 καὶ νὰ τρέψωσιν ἡμᾶς πρὸς (καὶ ν' ἀναγκάσωσιν ἡμᾶς νὰ ζητήσωμεν) ἀσφάλειάν τινα (ἐνν. τὴν γενομένην ἐκ τῆς πρὸς τὴν Σπάρτην συμμαχίας). ἐς γέλωτα τρέπω Ἡρ. 7, 105 τὸ γυρίζω 'ς τὸ γέλοιο Ὁμοίως Θουκ 6, 35. Ἀρφ. Σφ. 1260. κατέστησαν ἐς ἀλκὴν μηδένα τρέπεσθαι Θουκ. 2, 84 ἐποίησαν (ὥστε) μηδένα τρέπεσθαι εἰς ἀλκήν: ἔφεραν εἰς θέσιν (ἠνάγκασαν), ὥστε κανεὶς νὰ μὴ σκέπτεται ν' ἀντισταθῇ. πρὸς τὸ ἀνέλπιστον τραπόμενοι (κυρ. τρέψαντες ἑαυτοὺς) τῇ γνώμῃ 2, 51 παραδοθέντες εἰς τὴν ἀπελπισίαν μὲ τὸν νοῦν των, κατὰ διάνοιαν (ἄλλοι: ἐν πλήρει ἐπιγνώσει τῆς καταστάσεώς των). εἰδὼς τοὺς ἀνθρώπους . . . πρὸς τὰς συμφορὰς καὶ τὰς γνώμας τρεπομένους 1, 140 (συμφώνως) πρὸς τὰ συμβαίνοντα (πρὸς τὰς περιστάσεις) μεταβαλλομένους καὶ τὰς γνώμας (= μεταβάλλοντας καὶ τὰς ἑαυτῶν γνώμας). πρὸς τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν 1, 50 πρὸς τοὺς ἀνθρώπους ἐτράπησαν, δηλ. νὰ φονεύωσιν αὐτούς. οὔκουν τραπέσθαι σμικρὸν εἰς Ἅιδου τόδε; Εὐρ. Ἠλ. 662 «τὸ νὰ ἔμπῃς εἰς τὴν πύλην μόνον τῶν δόμων μου (τόδε = ἐπ' αὐτὰς δόμων πύλας εἰσιέναι) δὲν εἶνε λοιπὸν τὸ αὐτὸ καὶ νὰ πάρῃς ὀλίγον τὸν κατήφορον πρὸς τὸν Ἅιδην; Εἰς τὴν ἐπίπλαστον λιτότητα τοῦ αὐτὰς (= μόνας) τοῦ πρεσβύτου ἀντιτάσσει ἡ Ἠλέκτρα τὴν εἰρωνικὴν λιτότητα τοῦ σμικρόν = ὀλίγον» Δ. Βερν. αἰχμὴ τράπετο Λ 237 ἐκάμφθη, ἐλύγισεν. οἱ νέοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας Ξεν. Ἀπ. 2, 1, 21 ἐὰν θὰ εἰσέλθωσιν εἰς τὸν βίον βαδίζοντες τὴν ὁδὸν τῆς ἀρετῆς ἢ τὴν ὁδὸν τῆς κακίας (κυρ. τὴν ὁδὸν τὴν ἄγουσαν διὰ τῆς ἀρετῆς ἢ τὴν ὁδὸν τὴν ἄγουσαν διὰ τῆς κακίας). ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετραμμένοις τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι Θουκ. 2, 40 τὸ χωρίον ἔγινε σκοτεινότερον διὰ τῆς ἀντιθ. τοῦ τοῖς αὐτοῖς πρὸς τὸ ἑτέροις, σαφέστερον θὰ εἶχεν ὧδε: «ἔνι (= ἔνεστί) τε τοῖς μὲν τετραμμένοις πρὸς τὰ πολιτικὰ τούτων τε ἅμα καὶ

καὶ τῶν οἰκείων ἐπιμελεῖσθαι, τοῖς δὲ (τετραμμένοις) πρὸς ἔργα (ἔνεστι) καὶ τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι, τ. ἔ. εἰς ἐκείνους μὲν ἀποδίδει ἐπιμέλειαν τῶν τε οἰκείων καὶ τῶν πολιτικῶν, εἰς τούτους δὲ γνῶσιν καὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν πολιτικῶν. Τοῖς αὐτοῖς (ἐξ ἡμῶν) ἐνν. τοὺς (ἐξ ἡμῶν) μὴ τετραμμένους πρὸς ἐπιτηδεύματα, τοὺς πολιτικοὺς καὶ ῥήτορας· τὸ δὲ πρὸς ἔργα τετραμμένοις = περὶ ἐπιτηδεύματα ἀσχολουμένοις. Τοὐναντίον δὲ ἐν Σπάρτῃ πάντες μὲν οἱ Σπαρτιᾶται περὶ τὰ πολεμικὰ ἐσπούδαζον, ὀλίγιστοι δὲ περὶ τὰ πολιτικά. Τὰ ἐπιτηδεύματα ἤσκουν οἱ Λακεδαιμόνιοι. Αἱ διορθ. (ὡς καὶ ἕτερα πρὸς ἔργα) περιτταί. μὴ ἐν ἐμοὶ αὐτὰ (ἐνν. καταθεῶ), ἀλλ' εἰς σὲ τρέψας πάντα καταθέασαι, οἷά σοι φαίνεται Ξεν. Κ. Π. 5, 5, 28 μὴ καταθεῶ αὐτὰ ἐν ἐμοὶ ὄντα, ἀλλὰ τρέψας αὐτα πάντα εἰς σὲ καταθέασαι, οἷα (αὐτά) σοι φαίνεται· ἤτοι: διὰ νὰ ἐννοήσῃς αὐτὰ ποῦ σοι λέγω, πρέπει νὰ ἔλθῃς (νοερῶς) εἰς τὴν θέσιν μου. οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος Σοφ. Φιλ. 897 δὲν γνωρίζω πῶς πρέπει νὰ γυρίσω τὸν ἀνοικονόμητον λόγον, ποῦ εἶπα. Προτιμητέα λοιπὸν ἡ γραφὴ ὅπῃ καὶ πρβ. τὸ τῆς συνηθείας «γυρίζω τὰ λόγια μου». τὰς δ' ἐμβάδας ποῖ τέτροφας; Ἀρφ. Νεφ. 858 τὰς δ' ἐμβάδας σου τί τὰς ἔκαμες; ποῖ τρέπεται τὰ χρήματα τἄλλα; Σφ 665 ποῦ πηγαίνουν τὰ ἄλλα χρήματα (κυρ. εἰς τί χρησιμοποιοῦνται); ηὖδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν Αἴ. 772 προέτρεπεν αὐτὸν νὰ τρέπῃ φονικὴν χεῖρα ἐναντίον τῶν ἐχθρῶν, ἤτοι: ἡ θεὰ παρεκίνει αὐτὸν νὰ ἐπιτεθῇ κατὰ τῶν ἐχθρῶν. πολυπραγμοσύνη (Δ. Γ. -νης) νυν ἐς κεφαλὴν τράποιτ' ἐμοί Ἀρφ. Ἀχ. 833 ἡ πολυπραγμοσύνη μου λοιπὸν ἂς πέσῃ ἐπάνω εἰς τὸ κεφάλι μου. Ὁ δὲ Σχ. ἔχων πρὸ ὀφθαλμῶν τὴν γεν. πολυπραγμοσύνης ὑπονοεῖ τὸ ἕνεκα: «ἕνεκα τῆς πολυπραγμοσύνης, ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι εἰς τὴν κεφαλήν μου, ὅτι πολυπραγμονῶ εἰπών σοι χαίρειν.» Περὶ τῆς φράσεως πρβ. Ἡρ. 2,39. ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τραποῦ (Δ. Γ. τράπου) Ἀρφ. Βάτρ. 1248 ἐπιλαβοῦ τῶν χορικῶν μελῶν αὐτοῦ. εἴ πως κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβήσειαν Θουκ. 7, 79 μήπως τρέψαντες αὐτοὺς κατὰ μικρὸν μέρος ἐμβάλωσιν εἰς φυγὴν καὶ ἀταξίαν ὅλον τὸ στράτευμα. εἰς τὰ ἔργα κοινῶς τρέπεσθαι Θουκ. 6, 17 κοινὴν ἐνέργειαν νὰ ἔχῃ· κυρ. ἀπὸ κοινοῦ νὰ τρέπηται εἰς τὰ ἔργα, εἰκὸς μὲν καὶ ξυγγνώμη ἐν τῷ τοιῷδε καθεστῶτας ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι 5, 88 εἰκὸς μὲν καὶ ξυγγνωστὸν (ἀνθρώπους) ἐν τοιαύτῃ καταστάσει ὄντας ἐπὶ πολλὰ τρέπεσθαι (πρβ. νὰ βάζῃ πολλὰ ὁ νοῦς των: νὰ πηγαίνῃ εἰς πολλὰ ὁ νοῦς των) καὶ λέγοντας καὶ διανοουμένους (καὶ ἐν λόγοις καὶ ἐν δόξαις, καὶ ἐν γνώμαις). οὐκ εἶχεν ὅποι τρέψειε (Ant. Contus: στρέψειε τὰ χρήματα Λυσ. 32, 20 δὲν ἠδύνατο νὰ δείξῃ εἰς τί ἐξώδευσε τὰ χρήματα. καὶ ποῖ τρέπεται δὴ ἔπειτα τὰ χρήματα τἄλλα; Ἀρφ. Σφ. 665, ἴδε ἀνωτ. ἠρώτων ὅποι τετραμμένα εἴη τὰ χρήματα Ἰσαῖ. 6, 42 ποῦ νὰ εἶχαν μεταφέρῃ κρυφίως τὰ χρήματα. τὰ καλὰ τρέψαντες ἔξω Πινδ. Π. 3, 83 ἀφ' οὗ γυρίσουν πρὸς τὰ ἔξω τὴν καλὴν ὄψιν. || τρέπω εἰς φυγήν· τρέψω (ἐνν. φύγαδε) ἥρωας Ἀχαιούς Ο 261 θὰ τρέψω εἰς φυγήν. φύγαδ' ἔτραπε μώνυχας ἵππους Θ 157 ἔτρεψεν εἰς φυγὴν τοὺς μώνυχας ἵππους. Καὶ ἄνευ τοῦ ἵππους: φύγαδε τράπε Π 657 ἔτρεψεν εἰς φυγὴν (τοὺς ἵππους), ὅθεν: ἐτράπη εἰς φυγήν. τετραμμένου παντρόπῳ φυγᾷ γένους Αἰσχ. Ἑπτ. 936 ἀφ' οὗ τὸ γένος (τοῦ Οἰδίποδος) ἐτράπη εἰς παντελῆ φυγήν. τραπέντα ναύφρακτον ἐρεῖς ὅμιλον; Πέρ. 1030 θέλεις νὰ εἴπῃς τὸν εἰς φυγὴν τραπέντα ναυτικὸν (κυρ. ναυσὶ πεφραγμένον) ὅμιλον ἡμῶν; Καὶ μτφ. πειρασόμεθα πήματος τρέψαι νόσον Ἀγαμ. 841 θὰ προσπαθήσωμεν νὰ φυγαδεύσωμεν τὸ νόσημα τῆς πληγῆς. Εὐφυῶς ὁ Porson διώρθ. πῆμ' ἀποστρέψαι νόσου εὐτυχοῦντα μὲν σκιά τις ἂν τρέψειεν Ἀγ. 1326 ἴδε σκιά. Πρβ. ἔστι δέος μὴ τρέψηται καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων Δημ. 1, 3 φόβος ὑπάρχει μήπως τρέψῃ μὲ τὸ μέρος του (πρὸς ὄφελός του) καὶ παρασυρῇ σπουδαῖόν τι σημεῖον τῆς ὅλης πολιτικῆς καταστάσεως. τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ Ν 279 τοῦ μὲν γάρ, (δηλ.) τοῦ δειλοῦ, μεταβάλλεται τὸ χρῶμα («ἀλλάζει ἡ θωριά») ἄλλοτε ἄλλως (ἄλλο ἐξ ἄλλου γιγνόμενον). κραδίη τέτραπτο νέεσθαι δ 260 ἡ καρδία μου εἶχε μεταβληθῇ, γυρίσῃ, ὥστε νὰ θέλω νὰ ἐπιστρέψω. ἡγεμόνες δὲ τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν Θέογν. 42 ἔχουν παρεκτραπῇ, ὥστε νὰ ἐμπέσωσιν εἰς πολλὴν στενοχωρίαν. ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι Θουκ. 2, 65 ἴδε ἐνδίδωμι. νῦν κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν 5,9 ὅτι νῦν πρὸς θέαν (πρὸς ἐπισκόπησιν τοῦ χωρίου) τετραμμένοι ὀλιγωροῦσι. Ἴδε κατά. κατὰ σεαυτὸν τρέπου Ἀρφ. Ἀχ. 1019. Νεφ. 1263 πήγαινε τὸν δρόμον σου, μακρὰν ἡμῶν «μὴ ἐπιμείγνυσο ἡμῖν κακοδαιμονῶν» Σχ. κατ' ἑωυτοὺς ἕκαστοι ἐτράποντο Ἡρ. 5, 15 διηυθύνθησαν εἰς τὰ ἴδια ἕκαστοι· πρβ. τὸ κατὰ σαυτὸν ὅρα Ἀρφ. Σφ. 1493 κύταζε κατὰ τὸν ἑαυτόν σου.

τρέφω (τράφω Δωρ., καὶ Ἡσ. Θε. 480 ἀλλὰ μετὰ τῆς Δ. Γ. τρεφέμεν). Περὶ τῆς εὐκτ. τρέφοιν (ἀντὶ τοῦ τρέφοιμι ἴδ. λαμβάνω). θρέψω, ἔθρεψα, ἀόρ. β'. ἔτραφον μετὰ σημ. παθ. Ε 555. Φ 279 (ἀπρφ. τραφέμεν Η 199. Σ 436). Καλλιμ. Δί. 55, ἀν- Ἀνθ. 5, 157, ἀλλὰ μτβ. Ψ 90 μετὰ τῆς Δ. Γ ἔτρεφε, τέτροφα Σοφ. Ο. Κ. 186. Ἀνθ. ἐν Παρ. Ἐπιγρ. 111, ἴδ. κατωτ. ἀνα- Λουκ. Ἀποκ. 10 (ἀλλ' ἀμτβ. ψ 237, συν-

Ἱπποκρ. 6, 380 (Δ. Γ. -τέθραπται). τέτραφα μτγν. καὶ ἀμφίβ. Μέσ. τρέφω ἐμαυτῷ. θρέψομαι (πολλ. παθ. οὕτως ἀείποτε Ξεν.). ἐθρεψάμην. Παθ. ἐθρέφθην ποιητ., ἀλλὰ καὶ Πλ. Πολιτικ. 310 Α (θρεφθεῖσι), συνήθ. ἐτράφην ἐπ. ποιητ. καὶ πεζολ. (ὁ Βουττμ. λέγει ὅτι παρ' Ὅμ. δὲν ὑπάρχει ὁ τύπος ἐτράφην, διότι εὐκόλως ἀντικαθίσταται διὰ τοῦ ἐνεργ. ἀορ. β΄. ὡς τράφον Λ 251 ἀντὶ τοῦ τράφεν=ἐτράφησαν. τράφομεν Ψ 84 ἀντὶ τοῦ ἐτράφημεν) συχν. μτγν. τέθραμμαι, β΄ πλ. τέθραφθε, ἀπρφ. τεθράφθαι (πλημμ. αἱ Γρ. τέτραφθε, τετράφθαι). θρεπτέος. οἰκωφελίη τρέφει ἀγλαὰ τέκνα ξ 223 ἡ οἰκονομία («ἡ νοικοκυροσύνη») ἀνατρέφει λαμπρὰ τέκνα. θαρσεῖτε παῖδες μητέρων τεθραμμέναι Αἰσχ. Ἑπτ. 777 ἀντὶ τοῦ παῖδες γράφουσι ἀρίστων ἢ σεμνῶν: θαρσεῖτε ἐξ ἀρίστων μητέρων τεθραμμέναι (ἄρισται) παῖδες. Ὁμοία σύνταξις καὶ ἐν τῷ ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφείς Σοφ. Φιλ. 3 οἷον: γενόμενος θρέμμα. Ἡ γενικὴ εἶνε τῆς καταγωγῆς κυρίως, συνήθως μὲν εἰς τὸ εἶναι (αἵματος εἰς ἀγαθοῖο Ὅμ. κατάγεσαι ἐξ αἵματος ἀγ.) καὶ γίγνεσθαι, παρὰ δὲ ποιηταῖς καὶ εἰς τὸ φύειν, τεκνοῦν, βλαστάνειν, καὶ δὴ καὶ εἰς τὸ τρέφειν, περὶ οὗ ὁ λόγος. Ὁμοία σύνταξις προϋποτίθεται καὶ ἐν τῷ διοτρεφής=Διὸς τεθραμμένος. μιᾶς τρέφῃ πρὸς νυκτός Σοφ. Ο. Τ. 374 «διόλου ἐν τῷ σκότει διατρίβεις» Σχ. τρέφεσαι ὑπὸ μιᾶς (ἀδιαλείπτου) νυκτός, τῆς συνεχοῦς τυφλώσεως: εἶσαι γέννημα καὶ θρέμμα τοῦ σκότους: σκότος εἶνε ἡ τροφή σου, καὶ σκότια τὰ ἔργα σου. ἐν πολυτρόποις ξυμφοραῖς ἐπίστανται τραφέντες Θουκ. 2, 44 ἐπίστανται, ὅτι ἀνετράφησαν ἐν μέσῳ ποικίλων περιπετειῶν. Τοιούτου δ' ὄντος τοῦ νοήματος τὸ ἐπὶ πολυτρόποις ξυμφ. τοῦ Cobet ἧττον εὐαρμοστεῖ. ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους 2, 61 ἴδε ἀντίπαλος. τεθραμμένην εἰς πολυσαρκίαν Ξεν. Ἀπ. 2, 1, 22. =ὥστε εἶναι πολύσαρκον. τίς ὧδ' ἐν αὔραις τρέφεται, μηκέτι μηδενὸς κρατύνων, ὅσα πέμπει βιόδωρος αἶα; Σοφ. Φιλ. 1160. «τίς τρέφεται ἐξ ἀνέμων, μηδενὸς τῶν ἐκ γῆς τροφίμων εὐπορῶν;» Σχ. καὶ σήμερον λέγομεν: ποιὸς τρέφεται (ζῇ) μὲ ἀέρα; Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει Πίνδ. Ὀ. 1,115 ἡ Μοῦσα τὸ ποιητικόν μου βέλος τρέφουσα μὲ δύναμιν καθιστᾷ αὐτὸ ἰσχυρότατον. τόσα φάρμακα ᾔδη, ὅσα τρέφει εὐρεῖα χθών Λ 741 ὅσα φύει (παράγει, ἔχει) ἡ γῆ. τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν ν 410 ἃ (ἡ βάλανος καὶ τὸ ὕδωρ) ταῖς ὑσὶ τρέφει ἄφθονον λίπος: ἃ παχύνει τὰς ὗς. τήν ῥα (χαίτην) Σπερχειῷ ποταμῷ τρέφε Ψ 142 ἣν κόμην ἔτρεφεν τῷ Σπερχειῷ ποταμῷ· ἵνα δηλ. ἀφιερώσῃ αὐτὴν εἰς αὐτόν. Τοῖς ποταμίοις θεοῖς τοῖς ἐγχωρίοις ὡς κουροτρόφοις ἀφιέρουν οἱ νέοι τὴν κόμην. Ὁμοίως: ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ δ' αὐτὸν τρέφω Εὐρ. Βάκ. 494 διὰ τὸν θεὸν δὲ τρέφω αὐτόν, ἤτοι: ἀνήκει εἰς τὸν θεὸν ὁ πλόκαμος, ὃν τρέφω. ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει Σοφ. Αἴ. 1124 ποιεῖ σε μέγα φρονεῖν μᾶλλον: ἡ τραχύτης τῆς γλώσσης σου συντελεῖ εἰς αὔξησιν τοῦ θυμοῦ σου. ἄνωγεν ἡμᾶς Φοῖβος μίασμα χώρας.. ἐλαύνειν μηδ' ἀνήκεστον τρέφειν Ο. Τ. 98 Φοῖβος κελεύει ἡμᾶς ἐλαύνειν (ἐκδιώκειν) τὸ μίασμα τῆς χώρας καὶ μὴ τρέφειν αὐτὸ (ὥστε γενέσθαι) ἀνήκεστον. οὕτω δὲ τὸν Καδμογενῆ τρέφει, τὸ δ' αὔξει βιότου πολύπονον Τραχ. 117, ἴδ. πολύπονος. ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν μητρῷον Τρ. 817, ἴδε ὄγκος. Καὶ μέσ. ἔτεκον μὲν ὑμᾶς, πολεμίοις δ' ἐθρεψάμην ὕβρισμα κἀπίχαρμα καὶ διαφθοράν (=ὑβρίζειν κἀπιχαίρειν καὶ διαφθείρειν) Ἡρ. Μ. 458 διὰ τοὺς ἐχθροὺς σᾶς ἀνέθρεψα, διὰ νὰ σᾶς ὑβρίζουν καὶ ἐπιχαιρεκακοῦν καὶ ἀνοσίως σᾶς φονεύουν. ὁ νοῦς θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος Ἀπ. Σοφ. 864. ἴδ. ἡμέρα. βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ τὴν γῆν ῥέπων τε καὶ βαρύνων, ᾧ μὴ καλῶς ᾖ τεθραμμένος τῶν ἡνιόχων Πλ. Φαῖδρ. 247 Β ὁποῖος ἐκ τῶν ἡνιόχων δὲν εἶχε καλὰ παιδευμένον (ἀναθραμμένον τὸν ἵππον τοῦτον). τραφεῖσαν... νυμφόκομον Ἰναχίδαις γάμον Εὐρ. Ἰ. Ἀ. 1085, ἴδ. νυμφοκόμος. θρέψε δ' (Ζεύς) αἰχμὰν Ἀμφιτρύωνος Πίνδ. Ν. 10, 13 ηὔξησε τὴν πολεμικὴν δόξαν (κυρ. τὸ δόρυ) τοῦ Ἀμφιτρύωνος. οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει Σοφ. Αἴ. 503, ἴδε λατρεία. ἂν (ἄταν) οὔπω τις ἔθρεψεν δίων Αἰακιδᾶν 644 «τοιαύτην ἄτην, οἵαν οὐδεὶς πέπονθε τῶν Αἰακιδῶν» Σχ. ἀεί τιν' ἐκ φόβου φόβον τρέφω, κείνου προκηραίνουσα Τρ. 28 πάντοτε ἔχω φόβον τινά, ὅστις διαδέχεται ἄλλον (φόβον), ἀνησυχοῦσα δι' ἐκεῖνον. τόλμα ξεῖνος ἐπὶ ξένης, ὦ τλάμων, ὅ τι καὶ πόλις τέτροφεν ἄφιλον, ἀποστυγεῖν καὶ τὸ φίλον σέβεσθαι Σοφ. Ο. Κ. 184 ἐπειδὴ εἶσαι ξένος καὶ εὑρίσκεσαι εἰς ξένον τόπον, ἀποφάσιζε («πᾶρέ το ἀπόφασιν»), ὦ ταλαίπωρε, ὅ τι καὶ ἡ πόλις ἔχει ἄφιλον (μισητόν), ν' ἀποστρέφησαι (καὶ σὺ) καὶ τὸ φίλον (τὸ ἀγαπητόν, ὅ τι ἀγαπᾷ) νὰ τιμᾷς (καὶ σύ). Ὁ Nauck ἔγραψε πόλει ἀντὶ τοῦ πόλις, διότι φρονεῖ ὅτι ὁ πρκ. τέτροφα ὡς μτβ. εὕρηται ἀπὸ τοῦ Πολυβίου καὶ ἑξῆς, ἄλλως δὲ ἔχει ἀμτβ. σημ. = πέφυκα, ὡς ψ 237: πολλὴ δὲ περὶ χροῒ τέτροφεν ἅλμη πολλὴ ἅρμη (ἁρμύρα) ἔχει πήξῃ περὶ τὸ σῶμα. Ἡμεῖς δὲ φρονοῦμεν ὅτι τῆς μτβ. σημ. ἓν ἔτι πρδγ. τοῦτο ἠδύνατο νὰ προστεθῇ εἰς τὰ ἄλλα, ἔστω καὶ μτγν. ἑρπετά, τῶν αἰεὶ τετράφαται λοφιαί Ἀπ. Καλλιμ. 228 (Σχολ. Νικ. Ἀλεξ. 611) ἑρπετὰ (ἤτοι: ὄνοι, ἡμίονοι, ἵπποι, βόες), ὧν ἀεὶ αἱ λοφιαὶ τεθραμμέναι εἰσί· τὰ διὰ μιᾶς λέξεως λεγόμενα λόφουρα. Ὁ δὲ O. Schneider, παραβάλλων τὸ Ἀριστοτ. 808b 85, συμπληρῶν γράφει: «⟨ὑβριστικὰ δ' ἐστὶν

ἅπαντα⟩ ἑρπετά, τῶν αἰεὶ τετράφαται λοφιαί», οὕτω γράφων τὸ γ' πλ. πρ. τοῦ πρκ. τοῦ τρέφω, εἰ καὶ ἀναγνωρίζει, ὅτι συγχέεται πρὸς τὸ τετράφαται τὸ ἐκ τοῦ τρέπω.

τρέχω, τράχω Δωρ., ἀποθρέξομαι 'Αρφ. Νεφ. 1005, καὶ Λουκ. Λεξ. 3, μετα- 'Αρφ. Εἰρ. 261. περι- Βάτρ. 193, Δωρ. θραξεῖται 'Ησύχ., θρέξω Λυκόφρ. 108. ἀπο- 'Απ. Πλάτ. 232. Συνήθως ἐκ τῆς ρ. δραμ- μέλλ. δραμοῦμαι, δραμέομαι 'Ηρ. 8, 102. δρᾰμῶ μτγν, ἀλλὰ ὑπερ- 'Απ. Φιλεταίρ. 3. ἀναδράμομαι 'Ανθ. 9, 575. ἀόρ. ἔδρᾰμον (ἔθρεξα ποιητ. σπάν. Εὐρ. 'Ι. 'Α. 1569, ἐν τῷ νοθευομένῳ μέρει, θρέξας 'Επίγρ. Πλουτ. 'Αριστ. 20, ἐπι- Ν 409, δια- Καλλιμ. Παλ. 23, θρέξασκον Σ 599, περιθρέξαι 'Αρφ.Θεσμ. 657 ἀνάπ.). ἀναδεδράμηκα 'Ηρ. 8, 55, κατα-, συν-, περι- 'Αττ. πεζ., καὶ πρκ. β' ἀναδέδρομα ε 412, ἐπι- ζ 45. υ 357. 'Απ. 'Ερμίππ. 82, ἀμφι- Σιμων. 'Αμ. 7, 89. Πρκ. παθ. ἐπιδεδράμηται Ξεν. Οἰκον. 15, 1· περιθρεκτέον δόκιμον, δραμητέον μτγν. 'Αντὶ τοῦ τρέχειν δρόμῳ λέγεται θεῖν δρόμῳ Θουκ. 3, 111. Ξεν. 'Αν. 1, 8, 18 καὶ συχν. 'Αρφ. Ὄρν. 205. Παρασχημ. δρομάω ποιητ., μόνον δρομάασκε 'Ησ.'Απ.221, 2 Gött. (=138 K).δεδρόμηκα Βάβρ. 60, Λεσβ. ὐπαδεδρόμακεν 'Απ. Σαπφ. 2, 10. τὸ δ' ἐν ποσί μοι τράχον ἴτω τεὸν χρέος... ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ Πινδ. Π. 8, 33 τὸ πρὸ τῶν ποδῶν μου ἀναστρεφόμενον, τὸ «πρόσφατον» (Σχ.) χρέος τοῦ πρὸς σὲ ὕμνου, ὅπερ ἔχω, ἂς φέρηται πετόμενον, ἂς ἀναπτερωθῇ διὰ τῆς ποιητικῆς μου τέχνης. αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσι 'Ησ. Ἔργ. 219 εὐθὺς γὰρ ἅμα ταῖς σκολιαῖς δίκαις τρέχει ὁ Ὅρκος (πρὸς τὸν Δία, ἵν' ἀπαγγείλῃ τὸ πρᾶγμα, τὴν γενομένην ἀδικίαν). λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω Σοφ. Αἴ. 731 = εἰς τοὔσχατον ἐλθοῦσα· πρβ. ἔρχονται πεδίοιο Β 801 κάλλ. ἰέναι τοῦ πρόσω Ξεν. 'Αν. 1, 3,1. καὶ τὰ κοινόλεκτα: «πηγαίνω τοίχου τοίχου, τοῦ πελάγου, τῆς στερεᾶς, ἢ τοῦ ὕψους ἢ τοῦ βάθους» κττ. τρέχων ὁ μῦθος ἄν σοι τἀμὰ σημήνειεν ἂν Εὐρ. Ἴων 529 προχωρῶν (ἐξακολουθῶν) ὁ λόγος ἤθελέ σοι φανερώσῃ τὰ ἐμὰ πράγματα. νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμὼν 'Αγ. 326, ἴδ. νικῶ. ἥκεις γὰρ οὐκ ἀχρεῖον ἔκπλεθρον δραμὼν ἀγῶν' ἐς οἴκους ἀλλὰ πολέμιον κτανὼν Αἴγισθον κέ. Εὐρ. 'Ηλ. 883 ἐπανήκεις γὰρ οὐκ ἄχρηστον ἔκπλεθρον ἀγῶνα διαγωνισάμενος (διαδραμών· τὸ στάδιον ἦν ἔκπλεθρον), ἀλλ' ἀποκτείνας τὸν πολέμιον ἡμῖν Αἴγισθον κέ. 'Εν τούτοις πιθανῶς ἀνευρίσκει ὁ O. Ribbeck πλάγιον ὑπαινιγμὸν ἐπικριτικὸν εἰς τὸ πλάσμα τοῦ Σοφ. περὶ τῶν Πυθικῶν ἀγώνων, ἐν οἷς ἔτυχεν οἰκτροῦ θανάτου ὁ 'Ορέστης. Τοιαύτας δὲ πλαγίας ἐπικρίσεις εὑρίσκει τις καὶ ἄλλας ἐν τοῖς δράμασι τοῦ Εὐριπίδου, ὅστις ἐφιλοτιμεῖτο νὰ ἐπικρίνῃ εὐγενῶς τοὺς ἀντιπάλους, ἀντιτάσσων ἃ ἐποίει καλλίονα κατὰ τὴν γνώμην του. τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς Εὐρ. 'Ηλ. 954, ἴδ. νικῶ. καὶ τύνη, ἔφη (ὁ Χίλων), βραδὺς καὶ τρέχεις τὸν ἡμίονον Πλουτ. 150 Β διορθοῦσι κατὰ τὸν ἡμίονον : τὸν ἡμιόνου : ὑπὲρ τὸν ἡμίονον. Αἱ διορθ. περιτταί. 'Η φράσις σημ. καὶ τρέχεις ὡς ἡμίονος, τρέχων μιμεῖσαι τὸν ἡμίονον. πρβ. δόλιχον τοῖς ἔπεσι τρέχει 'Απ. 'Επικράτ. 3 ('Αθην. 570 D) =πόρρω τῆς ἡλικίας ἤλασε. πρβ. Πλ. Πρωτ. 329 Β, ἴδ.πτύω. ἀσκέων δὲ πεντάεθλον παρὰ ἓν πάλαισμα ἔδραμε νικᾶν 'Ολυμπιάδα 'Ηρ. 9, 33 ἀσκῶν δὲ πένταθλον παρ' ἓν ἀγώνισμα τὸ τῆς πάλης ἦλθε νικᾶν 'Ολυμπιάδα (νίκην 'Ολυμπιακήν). 'Εν ταῖς τοιαύταις φράσεσι σύνηθες εἶνε τὸ παρὰ μικρὸν ἐλθεῖν, ἐνταῦθα δὲ λέγει ἔδραμε, διότι, κατὰ Stein ἐλέγετο δραμεῖν ἀγῶνα. Μᾶλλον τὸ ἔδραμε ἐνταῦθα ἐκφράζει τὸ ἐκινδύνευσε, ἐκόντευσε, νά. 'Ο δὲ Παυσαν. 3,11,6 ἀναφέρων τὸ γεγονὸς παραλείπει δύο ἀγωνίσματα.

τρέω: ἄλλης ἀνάγκης οὔτινος τρέων κότον Αἰσχ. Εὐμ. 429, ἴδ. κότος. κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγὼ 'Επτ. 384 ὁπλισμὸν (πανοπλίαν) μὲν ἀνδρὸς κανένα ἐγὼ δὲν φοβοῦμαι.

τρητός 3: τρητὸν πόνον μελισσᾶν Πινδ. Π. 6, 54 = τὴν μελόπηκτταν, τὸ μέλι· ἴδε γλυκύς.

τριάζω, ἴδ. παλαίω, πάλαισμα.

τριακοντούτης 2. Περὶ τῶν ἐκ τοῦ ἔτος συνθέτων ὁ Blass (ἐν τῇ Γραμμ. 1. σ. 544) γράφει τὰ ἑξῆς: «Τὰ σύνθετα εἰς-ετὴς ἢ('Αττ.)-έτης, οὐδ.-ετές, 'Αττ.-ετες, ὡς ἑξετὴς (ἑξέτης), ἑξετές (ἕξετες) ἔχουσι παρ' 'Αττ. καὶ 'Ηροδ. ἴδιον θηλ. εἰς -έτις, -έτιδος, κατὰ τὸ πολίτης πολῖτις κττ., ὡς ἑπτέτιν 'Αρφ. Θεσ. 480. κόρη ἑπταέτις Λουκ. Τοξ. 61. τῶν τριακοντουτίδων σπονδῶν Θουκ. 1,87. τὰς τριακοντούτιδας σπονδὰς 'Αρφ. 'Ιππ. 1388. σπονδαὶ τριακοντούτιδες 'Αχ. 194. τριακονταετίδων σπονδῶν Ξεν. 'Ελλ. 2, 3, 9. τριηκοντοέτιδας (Δ.Γ. πλημμ. τριηκονταέτιδας) σπονδάς 'Ηρ. 7, 149. μετὰ δὲ τὸν ἑξέτη καὶ τὴν ἑξέτιν Πλ. Νόμ. 794 C. ἀπὸ εἰκοσιέτιδος μέχρι τετταρακονταέτιδος Πλ. Πολ. 460 Ε· τοὐναντίον: περιόδῳ τῇ χιλιετεῖ Πλ. Φαῖδρ. 249 Α.Οἱ εἰς -αέτης (δέον εἰς -ούτης) τύποι παρ' 'Αττ. δὲν εἶνε ἀνεκτοὶ κατὰ τὸν Poppo· πρβ. τε(σ)ερακαιεβδομηκοντο(ύ)της 'Ιων. 'Επιγρ. τῆς Πάρου. Τὰ ἐπίθ. ταῦτα παρὰ μτγν. κλίνονται πολλάκις κατὰ τὴν α' κλίσιν, ὡς βοῦν τριέτην ('Επιγρ.), τὸν ὀκτωκαιδεκέτην, τὸν ἐνενηκοντούτην Δί. Κάσσ. 69, 17 κάλλ. δωδεκαετῆ 'Ιωσήπ. 'Αρχ. 15. 9, 773. τοῖς ἑκατοντούταις Φιλοστρ. 'Απολλ. 1, 14. 16. οἱ τεσσαρακοντοῦται Εὐσεβ. 'Ι. 'Εκκλ. 7, 21, 346, κατὰ τὴν παρ' 'Αττ. αἰτ. πληθ.εἰς. ας: περὶ τοὺς τριακοντούτας Πλ.Πολ.539Α. τοὺς ἤδη τριακοντούτας, τοὺς πεντηκοντούτας Νόμ. 670 Α. Τὰ εἰς -έτης ταῦτα ἐπίθετα ἐν μὲν τῇ κοινῇ

γλώσση εἶνε ὀξύτονα, ὡς διετής, τριετὴς (Ἀρκάδ. 27, 22), παρὰ δὲ τοῖς Ἀττ. εἶνε παροξύτονα, ὡς διέτης (οὐδ. δίετες). τριέτης, πεντέτης κτλ. Παρ' Ὁμήρῳ ὑπάρχει σάλος ἐν τῷ τονισμῷ, ὡς ἐξετέ' (ἐξέτε' Πτολεμ.) Ψ 266. ἀλλ' οἰέτεας Β 765, ἴδε Ἡρωδιαν. Ι 81 κἀλλ. (ὡς καὶ ἐυτείχεα αὐτ.99 Π. 57). Τὰ δὲ εἰς -ούτης εἶνε παροξύτονα, ὡς τριακοντούτης, τὸ δὲ οὐδ. τριετὲς καὶ αὐτοετὲς εἶνε προπαροξύτονα παρ' Ὁμ. ἐν ἐπιρρ. χρήσει: τρίετες β 106. ν 377. ω 141. αὐτόετες γ 322. πρβ. ἄληθες».

τριακτὴρ -ῆρος ὁ: Αἰσχ. Ἀγ. 181. Μτφ. ἐκ τῆς πάλης, ἐν ᾗ ὁ νικητὴς ὤφειλε νὰ καταβάλῃ τρὶς τὸν ἀντίπαλον (τριάζειν), ἴδ. παλαίω.

τριβή- ῆς: κτεάνων τριβὴ Αἰσχ. Χο.943, ἴδ. ἀναφυγή. οὐκ ἔστι τέχνη ἀλλ' ἄτεχνος τριβὴ Πλ. Φαῖδρ. 260 Ε ἡ ῥητορικὴ οὐκ ἔστι τέχνη, ἀλλὰ τριβή, μηχανική τις ἄσκησις ἄμοιρος τέχνης. ἡ δὲ ἑτέρα τῆς ἡδονῆς, πρὸς ἣν ἡ θεραπεία αὐτῇ ἐστιν ἅπασα, κομιδῇ ἀτέχνως ἐπ' αὐτὴν ἔρχεται.. ἀλόγως τε παντάπασιν, ὡς ἔπος εἰπεῖν, οὐδὲν διαριθμησαμένη, τριβὴ καὶ ἐμπειρία μνήμην μόνον σῳζομένη τοῦ εἰωθότος γίγνεσθαι Πλ. Γοργ. 501 Α ἡ δὲ ἑτέρα παρασκευὴ τῆς ἡδονῆς, πρὸς ἣν (ἡδονὴν) ἡ θεραπεία αὐτῇ (τῇ παρασκευῇ) ἐστιν ἅπασα, κομιδῇ ἀτέχνως (ἄνευ τέχνης) ἔρχεται ἐπ' αὐτὴν (τὴν ἡδονήν)..καὶ παντάπασιν ἀλόγως (ἄνευ λόγου), οὐδὲν διαλογισαμένη (οἷον μετ' ἀριθμητικῆς ἀκριβείας), τριβὴ (μηχανικὴ ἄσκησις οὖσα) καὶ ἐμπειρία μνήμην μόνον σῴζουσα ἐν ἑαυτῇ τοῦ συνήθως γιγνομένου. Περὶ τῆς ἀλόγου τριβῆς γράφει ὁ Quintil. Institut. 10,7, 11 τάδε: Est igitur usus quidam irrationalis, quem Graeci ἄλογον τριβὴν vocant, qua manus in scribendo decurrit, qua oculi totos simul in lectione versus flexusque eorum et transitus intuentur, et ante sequentia vident quam priora dixerunt. Ἡ ἄλογος τριβὴ ἀντιστοιχεῖ ἀκριβῶς σχεδὸν πρὸς τὴν παρὰ Γάλλοις *routine* λεγομένην, πρβ. Γερμ. Schlendrian. Ἐρινύες χρόνῳ τυχηρὸν ὄντ' ἄνευ δίκας παλιντυχεῖ τριβῇ βίου τιθεῖσ' ἀμαυρὸν Αἰσχ. Ἀγ. 469, ἴδε παλιντυχής. (οὗτος ὁ μετ' ὀρνίθων βίος) οὐκ ἄχαρις εἰς τὴν τριβὴν Ἀρφ. Ὄρν.156 οὐκ ἄχαρις εἰς τὸ χρῆσθαι αὐτῷ (ὥστε χρῆσθαι αὐτῷ· κυρ. εἰς τὸ τρίβειν αὐτόν). Πρβ. τρίβειν τὸν βίον Πλοῦτ. 52 καὶ δυστυχῆ τρίβειν βίον, περὶ ὧν ἴδε τρίβω. Ὁ Σχ.: «ἀπὸ μτφ. τῶν ἱματίων, τῶν ὑπουργούντων εἰς τρῖψιν..ἀντὶ τοῦ εἰς τὴν διατριβήν.» Ὑπάρχει δὲ καὶ διόρθωσις εἰς διατριβήν, καὶ ἄλλως περιττή, ὄχι μόνον διότι «τόπος ἄχαρις εἰς διατριβὴν» (ὥστε διατρίβειν, ἵνα διατρίβῃ τις ἐν αὐτῷ) λέγεται, ὄχι δὲ καὶ «βίος ἄχαρις εἰς διατριβήν»· διότι καὶ τοῦτο ἐν ἀνάγκῃ δύναται νὰ λεχθῇ κατὰ τὸ διατρίβειν χρόνον, ἡμέρας κττ. φίλον Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβὴν Αἰσχ. Χο. 745 τὸ μέλημα τῆς ψυχῆς μου (ὅστις τόσας μερίμνας παρέσχε μοι). τἀποκλαῦσαι ἀξίαν τριβὴν ἔχει Ηρ. 666, ἴδ. ἄξιος καὶ φέρομαι. ἀνὴρ ὅδ'..εἰς τριβὰς ἐλᾷ Σοφ. Ο. Τ. 1160 «εἰς βραδυτῆτα, εἰς διατριβὰς καὶ ἀναβολάς» Σχ.

τριβολεκτράπελος 2: Ἀρφ. Νεφ. 1003: οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷά περ οἱ νῦν «ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα καὶ ἀπόβλητα καὶ ἀνώμαλα» Σχ. Ἡ λέξις παράγεται ἐκ τοῦ τρίβολος (εἶδος ἀκάνθης) καὶ τοῦ ἐκτράπελος (ἐκτρεπόμενος τοῦ συνήθους, ἀσυνήθης· πρβ. εὐτράπελος, δυστράπελος· ἴδε καὶ μυρμηκιά). Σημαίνονται λοιπὸν ἐνταῦθα: ἔπεα πολύπλοκα καὶ δυσέλικτα καὶ ἀνιαρά, καὶ καθόλου δύσκολα. Γνωστὸν δὲ ὅτι ἠρέσκοντο οἱ Ἀθηναῖοι εἰς λόγον καινόν, ἀσυνήθη καὶ ἄτοπον καὶ δύσκολον (πρβ. π. χ. Θουκ. 3, 38). Περιττὴ λοιπὸν ἡ διόρθ. τριβολευτράπελα.

τρίβολος 2: ἐκραβδίζειν τοὺς πονηροὺς καὶ τοὺς τριβόλους Ἀρφ. Λυσ. 576, ἴδ. κλίνη.

τρίβος ἡ: παλιμμήκη χρόνον τιθεῖσαι τρίβῳ Αἰσχ. Ἀγ. 206 ποιοῦσαι τὸν χρόνον διπλάσιον (δὶς μακρότερον) διὰ τῆς χρονοτριβῆς.

τρίβω (πρβ. tribula, tribulare), τρίψω Ἀπ. Σοφ. 442. Ἀρφ. Πλ. 526. Ὄρν. 636, δια- Ἀττ. πεζ. ἔτριψα καὶ δι-, τρῖψαι (ὅτι τὸ ι εἶνε μακρόν, φαίνεται καὶ ἐκ τῶν παπύρων, τῶν Volum. Hercul., ἐν οἷς τὸ ι γράφεται διὰ τοῦ ει). συντέτριφα Ἀπ. Εὔβουλ. 62, ἐπι- Ἀρφ. Λυσ. 952, δια- Ἀττ. πεζ. Μέσ. προστρίψομαι Ἀντιφ. 4 β 8, ἀπο- Δί. Κάσσ. 62, 23, καὶ παθ. ὡς μέλλ. ἐνεστ. Θουκ. 6, 18. 7, 42. ἐτριψάμην Καλλιμ. Παλλ. 25. Γαλην. 6, 370, ἀν- Ἱπποκρ. 6, 634, ἀπ- καὶ προσ- Ἀττ. πεζ. Παθ. ἐτρίβην Ἀρφ. Ἐκκλ. 1068. Ἀνθ. 6, 24. Ἀριστοτ. Προβλ. 10, 27, Λουκ. Παράσ. 52, ἐπ- Ἀρφ. Θεσμ. 557 κἀλλ., συν- δι-, κατ- Ἀττ. πεζ., σπανιώτερον ἐτρίφθην Θουκ. 2, 77. Ἱπποκρ. 8, 380. Ἀπ. Ἀντιφάν. 102. δι- Ἰσοκρ. 4, 14. 5, 84. Δημ. 19, 164. τριφθήσομαι μτγν. τριβήσομαι Πλουτ. Δίων 25, ἐκ- Σοφ. Ο. Τ. 428, κατα- Ξεν. Ἑλλ. 5, 4, 60. τέτριμμαι (γ' πλ. τετρίφαται Ἡρ. 2, 93). ἀπρφ. τετρῖφθαι, τετρίψομαι Ἀγαθ. 1, 10. ἐπιτετρίψομαι Ἀρφ. Εἰρ. 246. ἄτριπτος υ 151. τριπτέον Γεωπ. 17, 5 (τὸ ι ἐκτὸς ἐν παθ. ἀορ. β' καὶ μέλλ. β'). εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον χρυσὸν ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ Θέογν. 450 εὑρήσεις δέ με ἐν πᾶσι τοῖς ἔργοις ὥσπερ ἄπ. χρυσόν, ὃς ἐπιτριβόμενος τῇ Λυδίᾳ λίθῳ (τῇ τὸν χρυσὸν βασανιζούσῃ) ἐρυθρός ἐστι τὴν ὄψιν (γνήσιος). τοῦ θύμου τρίβων κυκῶμαι Ἀρφ. Εἰρ. 1169 τρίβων θύμον (ἡ γεν. τοῦ θύμου μεριστική) παρασκευάζω ἐμαυτῷ κυκεῶνα: «μετὰ τὸ τὴν ὀπώραν φαγεῖν κυκεῶνα πίνουσι καὶ οὐ βλάπτονται» Σχ. πρβ. στ. 712. τρῖψαι τὴν κεφαλὴν

